3 ζύμῃ, κάλλιστον ποιήσεις φάρμακον. — Σῦκα δὲ λιπαρὰ εὖ μάλα κόπτεται σὺν τῷ σπέρματι, ὡς μηδὲ ὁτιοῦν ἀργὸν ἀφίεσθαι μέρος,
4 καὶ τούτῳ μίγνυται μύρου ἰρίνου βραχύ. Ποιεῖ δὲ πρὸς τὰς σκληρότητας τῶν νεύρων, καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων καὶ τὰ πέρα τοῦ μετρίου ἐκτεταμένα, καὶ πρὸς σκίῤῥους, μάλιστα τοὺς τῶν
5 σπληνῶν καὶ ἥπατος. Προσλαβὸν δὲ νίτρον ὀλίγον ῥήσσει κόλπους καὶ σκόλοπας ἀνάγει· εἰ δὲ μίξαις τοῖς σύκοις οὕτω πεποιημένοις γλήχωνος, ἢ ὀριγάνου, ἢ θύμου κόμης, ἢ ἀψινθίου, λεπτότατον
6 σήσας, ὑδρωπικοῖς ἁρμόσει. Καὶ ἑψηθεῖσι δὲ τοῖς σύκοις ἱκανῶς ὡς διαχεῖσθαι δύνασθαι καὶ λειωθεῖσι μετὰ τοῦ ὕδατος ἐν ᾧ ἡψήθησαν, μίγνυέ τε κρίθινον ἄλευρον ἢ πύρινον, καὶ αὖθις ἕψε μέχρι συστάσεως· ἁρμόζει δὲ φύμασι τοῖς μὴ ῥᾳδίως πεπαινομένοις.
7 Εἰ δὲ βού-

par la coction, le cataplasme ainsi préparé sera très-utile contre les *squirres* du foie et de la rate; si l'on ajoute du *thym*, du pouliot ou de
3 l'absinthe, on obtient une très-belle préparation pharmaceutique. — On pile très-fortement des figues grasses, avec leurs pepins, de manière qu'aucune partie de ces fruits n'échappe au pilon, puis on y ajoute un
4 peu d'huile parfumée d'iris. Ce cataplasme agit efficacement contre les indurations des nerfs et quand les articulations sont fléchies ou étendues outre mesure (*ankylosées*); il agit aussi contre le *squirre*, et sur-
5 tout contre celui de la rate et du foie. Si l'on ajoute un peu de soude brute, il amène la rupture des collections purulentes, et chasse les esquilles; si l'on mêle aux figues ainsi préparées du pouliot, de l'origan, ou des feuilles de *thym* ou d'absinthe réduites en poudre très-fine et
6 passée au tamis, ce cataplasme conviendra contre l'hydropisie. Ajoutez de la farine d'orge ou de froment aux figues assez fortement cuites pour qu'elles puissent devenir diffluentes; triturez ensuite avec l'eau dans laquelle on les a fait bouillir, puis mettez-les en ébullition une seconde fois, jusqu'à ce qu'elles aient acquis une consistance convenable; le cataplasme ainsi préparé convient contre les tumeurs purulentes qui mû-
7 rissent difficilement. Si vous voulez y mêler quelque substance grasse

8. νίτρου A. — 12. λειωθεῖσιν ἕψε πάλιν μετά Codd. Cf. t. II, p. 354.

λει λίπος ἐμβαλεῖν, βούτυρον μίγνυε. Εἰ δὲ πηγάνου φύλλα τρι- 8
φθέντα λεῖα μιχθείη, τὰς ἐν τοῖς ἐντέροις ὀδύνας γινομένας ὑπὸ
πνεύματος ὀνίνησιν, καὶ κύμινον ὁμοίως· μιγνύσθω δὲ καὶ ἔλαιον.

κζ'. Περὶ λουτρῶν.

Ἐπαινῶ μὲν τὴν ψυχρολουσίαν, οὔ φημι δὲ συμφέρειν αὐτὴν τοῖς 1
5 κατὰ τὸ προσ|υχὸν διαιτωμένοις, ἀλλὰ μόνοις τοῖς ἀκριβῶς βιοῦσι
καὶ πόνοις καὶ σιτίοις κατὰ τὸ ἁρμότ|ον χρωμένοις. Ἀρκεῖ δὲ τοῖς 2
πολλοῖς δεομένοις ποτὲ ψυχθῆναι μειζόνως ἐννήξασθαι ψυχρῷ θέ-
ρους ὥρᾳ νέους ὄντας καὶ εὐσάρκους καὶ προεκθερμανθέντας τρίψε-
σιν. Ἔσ|ωσαν δὲ μήτε ἐξ ἀφροδισίων, μήτε ἄλλως κοπώδεις, μήτε 3
10 ἄπεπ|οι καὶ ἐμεμηκότες, ἢ κατὰ γασ|έρα κεκενωμένοι, μηδὲ ἠγρυ-
πνηκότες· σφαλερὸν δὲ εἰ ἄλλως τις χρῷτο. Τὸ δὲ θερμὸν λουτρὸν 4

ayez recours au beurre. Si l'on y ajoute des feuilles de rue réduites en 8
poudre impalpable par la trituration, ce cataplasme soulage les douleurs
des intestins produites par les gaz; il en est de même du cumin; mais
on mettra aussi de l'huile dans le cataplasme.

27. DES BAINS.

J'approuve le bain froid; seulement je suis d'avis qu'il ne convient 1
pas aux gens qui suivent un régime de hasard, mais uniquement à ceux
qui mènent une vie régulière et qui font un usage approprié des exer-
cices et des aliments. Si parfois on a besoin d'un rafraîchissement très- 2
intense, il suffit, le plus souvent, de nager en été dans l'eau froide,
quand on est jeune et bien en chair et qu'auparavant on a produit un
développement de chaleur par des frictions. Mais ceux qui prennent ces 3
bains ne doivent pas être fatigués, ni par suite du coït, ni par toute autre
cause; ils ne doivent pas non plus être sous l'influence d'indigestions,
de vomissements, de flux de ventre ou d'insomnie; il est dangereux de
prendre des bains froids quand on ne remplit pas ces conditions. Au 4

1. μίγνυε] ἐμβαλε A. — 3. μιγνυσθαι δέ ποτε τοῖς π. δεομ. ψυχθ. ἐννήξ. A. — διὰ ἐλαίου BFP. — Ch. 27; l. 6-7. 11. δέ post σφ. om. F.

κράτιστόν ἐστι καὶ ἀσφαλέστερον κόπους λύον καὶ διαφοροῦν πληθώρας καὶ ἐκθερμαῖνον, παρηγοροῦν τε καὶ μαλάσσον, καὶ πνεῦμα διαχέον, ἔνθα ἂν στηριχθῇ, καὶ ὑπνοποιὸν καὶ εὐσαρκίαν παρέχον.
5 Ἔστι δὲ καὶ εὐμεταχείριστον παντὶ, καὶ ἀνδρὶ καὶ γυναικὶ, καὶ παιδίῳ, καὶ πρεσβύτῃ, καὶ ἰδιώτῃ. 5

κη'. Περὶ λουτρῶν ἐξ ἐπιτηδεύσεως. Ἐκ τῶν Ἀντύλλου.

1 Τὰ δὲ ἐξ ἐπιτηδεύσεως λουτρὰ θερμαίνοντα μὲν παρασκευάζομεν, ἢ ψῦξιν παῦσαι βουλόμενοι, ἢ λῦσαι κόπον, ἢ σπασμὸν παραμυθήσασθαι καὶ ἀλγήματα, καὶ ἀναθρέψεως ἕνεκα· γίνεται δὲ θερμαίνοντα ὕδατα γλήχωνος ἐνεψηθείσης, ἢ ὀριγάνου, ἢ ὑσσώπου, ἢ θύμου, ἢ θύμβρας, ἢ δάφνης φύλλων, ἢ πυρέθρου ῥίζης, καὶ τῶν 10
2 παραπλησίων· ἐμβαλοῦμεν δὲ καὶ ἔλαιον. Διαφορητικὰ δὲ ποιήσομεν ἰσχνᾶναι βουλόμενοι πᾶν τὸ σῶμα· γίνεται δὲ διαφορητικὰ

contraire, le bain chaud est excellent et plus innocent que le bain froid; il guérit la fatigue et dissipe la pléthore; il réchauffe, apaise, ramollit, et disperse les flatuosités, dans quelque endroit qu'elles se soient fixées;
5 enfin il provoque au sommeil et donne de l'embonpoint. Le bain chaud est encore d'un usage commode pour tout le monde : hommes, femmes, petits enfants, vieillards et simples particuliers.

28. DES BAINS ARTIFICIELS. — TIRÉ D'ANTYLLUS.

1 On prescrit des bains artificiels réchauffants, lorsqu'on veut supprimer un refroidissement, ou dissiper la fatigue, ou apaiser un spasme ou des douleurs, et aussi dans le but de restaurer; or on obtient des eaux réchauffantes en faisant bouillir dans l'eau commune du pouliot, de l'origan, de l'*hysope*, du *thym*, du *thymbre*, des feuilles de laurier, de la racine de pariétaire d'Espagne, ou d'autres ingrédients analogues; on
2 ajoutera aussi de l'huile. On rend les bains propres à favoriser la perspiration lorsqu'on veut amaigrir tout le corps; or les bains acquièrent

1. ἀσφαλέστατον A. — 2. μαλάσσειν F; ἐκμαλάσσειν (-σσον B) BP. — Ib. πνεύματα A. — Ch. 28; l. 9. ἑψηθέντος Codd. — 10-11. τὰ παραπλήσια F.

ἢ ἅλας ἐμβαλλόντων, ἢ αὐτὴν τὴν θάλασσαν, ἢ νίτρον. Καὶ μέλι δὲ 3
μιγνύμενον διαφορητικὸν ποιεῖ τὸ ὕδωρ, καὶ κλημάτων τέφρα, ἢ
ἀρκευθίδων ἀφέψημα. Μαλάξεως δὲ χάριν [λουτροῖς χρώμεθα] ἐπὶ 4
φλεγμονῆς καὶ σκληρίας. Ἐπὶ μὲν οὖν τῶν φλεγμαινόντων μαλάχης 5
5 ἀφέψημα ἐμβαλοῦμεν, καὶ λινοσπέρμου καὶ τήλεως, ἐπὶ δὲ τῶν
ῥευματικῶν φλεγμονῶν ἀρνόγλωσσον, ἢ πολύγονον ἐγκαθέψομεν,
ἢ σίδια, ἢ ῥόδα, ἢ βάτων ἄκρα. Ἐπὶ δὲ τῶν σπασμὸν προσδοκών- 6
των χρώμεθα μὲν καὶ τοῖς ἐπὶ τῶν χωρὶς ῥευμάτων φλεγμονῶν,
μάλιστα δὲ ὀνίνησιν ὑδρέλαιον, μαλάχης καὶ τήλεως καθεψομένων.
10 Ἐπὶ δὲ σκληρίας χωρὶς φλεγμονῆς τοῖς αὐτοῖς χρησόμεθα τοῖς ἐπὶ 7
τῶν διαφορήσεως δεομένων. Ψύχει δὲ καὶ στύφει λουτρὰ τὰ τὰς στυ- 8
φούσας καὶ ψυχούσας ὕλας ἔχοντα.

κθ'. Περὶ αὐτοφυῶν λουτρῶν.

Τῶν αὐτοφυῶν λουτρῶν τὰ μέν ἐστι νιτρώδη, τὰ δὲ ἁλμυρὰ, τὰ 1

cette propriété, lorsqu'on y ajoute du sel, de l'eau de mer ou de la
soude brute. On arrive au même résultat avec le miel, la cendre de sar- 3
ments, ou avec une décoction de baies de genévrier. On emploie les 4
bains dans le but de ramollir, lorsqu'il existe une inflammation ou une
induration. Pour les inflammations, on met dans l'eau une décoction de 5
mauve, de graine de lin ou de fenugrec; quand l'inflammation tient à
une fluxion, on y fait bouillir du plantain, de la renouée, des écorces
de grenade, des roses ou des sommités de ronce. Dans les inflamma- 6
tions qui font prévoir des convulsions, on a recours aussi aux mêmes bains
que pour les inflammations qui ne dépendent pas d'une fluxion; cepen-
dant, dans ce cas, c'est surtout un mélange d'huile et d'eau qui réussit
bien, pourvu qu'on y fasse bouillir de la mauve ou du fenugrec. Contre 7
l'induration sans inflammation, on prescrit les mêmes bains que ceux
qui favorisent la perspiration. Les bains qui contiennent des ingrédients 8
astringents et refroidissants refroidissent et resserrent.

29. DES BAINS MINÉRAUX.

Les bains minéraux sont ou alcalins, ou salins, ou alumineux, ou 1

3. [λουτροῖς χρώμεθα] conj.; om. Codd. Cf. t. II, p. 382.

δὲ σιυπληριώδη, τὰ δὲ θειώδη, τὰ δὲ ἀσφαλτώδη, τὰ δὲ χαλκαν-
2 θώδη, τὰ δὲ σιδηρίζοντα, τὰ δὲ σύνθετα ἐκ τούτων. Πάντων μὲν
οὖν τῶν αὐτοφυῶν ὑδάτων ἡ δύναμίς ἐσιι ξηραντικὴ καὶ θερμαντικὴ
3 ἐπίπαν, καὶ μάλισια ἁρμόζει τοῖς καθύγροις καὶ ψυχροῖς. Ἤδη δὲ τὰ
μὲν νιτρώδη καὶ ἅλας ἔχοντα κεφαλῇ κατάλληλα καὶ θώρακι ῥευ- 5
ματιζομένῳ καὶ σιομάχῳ καθύγρῳ καὶ ὑδρωπικοῖς· τὰ δὲ σιυπλη-
ριώδη αἵματος ἀναγωγαῖς καὶ ἐμετικῷ σιομάχῳ καὶ γυναιξὶν ἀτάκτως
4 καθαιρομέναις καὶ συνεχῶς ἐκτιτρωσκούσαις. Τὰ θειώδη δὲ νεύρων
μαλακτικὰ καὶ θερμαντικὰ καὶ πόνων παρηγορητικά, σιόμαχον δὲ
5 ἐκθηλύνει καὶ ἀνατρέπει. Τὰ δὲ ἀσφαλτώδη κεφαλήν τε συμπληροῖ 10
καὶ τὰ αἰσθητήρια κακοῖ, θερμαίνει δὲ ἐμμόνως καὶ μαλάσσει σὺν
6 χρόνῳ. Τὰ δὲ χαλκανθίζοντα σιόματι καὶ παρισθμίοις καὶ σια-
7 φυλῇ καὶ ὄμμασι διαφερόντως ἐπιτήδεια. Τὰ δὲ σιδηρίζοντα σιο-
8 μάχῳ καὶ σπληνὶ χρήσιμα. Δεῖ δὲ τὰς εἰς τὸ ὕδωρ ἐμβάσεις ἀθο-

sulfureux, ou bitumineux, ou vitrioliques (*chargés de sulfate de cuivre*), ou ferrugineux; d'autres enfin sont composés de ces diverses espèces.
2 En général, toutes les eaux minérales ont des propriétés desséchantes et échauffantes, et conviennent surtout aux constitutions froides et d'une
3 humidité très-prononcée. D'abord, les eaux alcalines et celles qui contiennent du sel sont utiles dans les fluxions du côté de la tête et de la poitrine, ainsi que dans l'excès d'humidité de l'orifice de l'estomac et dans l'hydropisie; les eaux alumineuses conviennent contre les crachements de sang, contre la tendance de l'orifice de l'estomac à produire des vomissements, ainsi qu'aux femmes dont l'écoulement menstruel se
4 fait irrégulièrement et qui ont souvent des avortements. Les eaux sulfureuses ramollissent les nerfs; elles échauffent, et apaisent les douleurs;
5 mais elles affaiblissent et retournent l'orifice de l'estomac. Les eaux bitumineuses causent de la plénitude dans la tête et font du tort aux organes des sens, mais elles réchauffent d'une manière persistante, et, si
6 l'on s'en sert pendant longtemps, elles ramollissent. Les eaux vitrioliques sont éminemment utiles pour la bouche, les amygdales, la luette et les
7 yeux. Les eaux ferrugineuses sont profitables à l'orifice de l'estomac et
8 à la rate. On doit entrer dans les bains d'eau minérale sans faire trop

9. θερμαντικά] διαλυτικά BP.

ρύβως ποιεῖσθαι, ὅπως ἡ δύναμις ἀνιεμένῳ τῷ σώματι προσιοῦσα ἐγκαταδύηται.

λ'. Περὶ δρώπακος.

Δρώπαξ τοῖς χρονίοις μάλιστα νοσήμασιν ἁρμόττει· δεῖ δὲ μεμῖχθαι αὐτῷ ὑπὲρ μὲν τοῦ θερμᾶναι περιττότερον πύρεθρον, κάχρυ, 1
5 ἄσφαλτον· εἰ δὲ ξηρᾶναι δέοι, θεῖον ἄπυρον, ἅλας, τέφραν κληματίνην· εἰ δὲ ἀμύξαι, λιμνῆστιν, εὐφόρβιον.

λα'. Περὶ σιναπισμοῦ.

Καὶ ὁ σιναπισμὸς δὲ σφοδρότερος ὢν τοῦ δρώπακος, τοῖς χρονίοις πάθεσιν ἁρμόττει· δεῖ δὲ αὐτῷ χρῆσθαι ἐπὶ μὲν τῶν ἀργοτέρων διαθέσεων καὶ μερῶν τῶν κατασάρκων καὶ δυσαισθήτων βιαίως· 1
10 μέτρον δὲ τῆς ἰσχύος ἔστω τὸ ἀνιαθῆναι μὲν ἰσχυρῶς τὸν κάμνοντα,

de mouvement, afin que, venant frapper le corps dans un état de relâchement, les substances puissent agir efficacement en l'imprégnant de leurs propriétés.

30. DE L'EMPLÂTRE DE POIX.

L'emplâtre de poix convient surtout pour les maladies chroniques; on ajoutera, si l'on veut échauffer plus énergiquement, de la pariétaire d'Espagne, de l'armarinte ou du bitume de Judée; si l'on doit dessécher, du soufre brut, du sel ou des cendres de sarments; s'il faut irriter, de l'*adarcé* ou de l'euphorbe. 1

31. DU SINAPISME.

Le sinapisme, qui agit plus violemment que l'emplâtre de poix, convient également pour les maladies chroniques; on l'emploiera sans ménagement contre les maladies accompagnées d'un notable défaut d'activité et sur les parties très-charnues, ou dont la sensibilité est émoussée; dans ces cas, on reconnaîtra qu'il agit avec assez de force, quand le 1

CH. 30; l. 3. Ὁ δρώπαξ AF. — 7. δέ om. BP. — 9. μερῶν ex em.; ἀμέτρων A; ἀμέτρων μελῶν BFP. CH. 31; Cf. t. II, p. 410-411.

μελαντέραν δὲ τὴν σάρκα γενέσθαι, καὶ ὑψηλοτέραν τῆς πέριξ,
καὶ μετὰ τὸ λουτρὸν φλυκταινωθῆναι πρᾴως τὸ δέρμα· ἐπὶ δὲ τῶν
εὐερεθίστων διαθέσεων καὶ μερῶν πρᾴως χρῆσθαι τῷ νάπυϊ, μέτρον
2 ποιουμένους τὸ ποσῶς ἐρυθροτέραν γενέσθαι τὴν σάρκα. Σκευασία
δὲ τοῦ νάπυος τοιάδε ἐστίν· πρὸ μιᾶς ἡμέρας τὰς ἰσχάδας χρὴ ὕδατι 5
ἀποβρέξαι χλιαρῷ καὶ τῇ ἑξῆς ἡμέρᾳ γενναίως ἀποθλίψαντα ἰσχυ-
ρῶς αὐτὰς λεαίνειν, εἶτα δριμὺ νᾶπυ λαβόντα, ὁποῖόν ἐστι τὸ
συριακὸν καὶ τὸ αἰγύπτιον, τρίβειν κατὰ ἰδίαν, παραχέοντα κατὰ
ὀλίγον τοῦ ἀποβρέγματος, ἔπειτα μάζας ποιῆσαι λείας, τὴν μὲν τῶν
ἰσχάδων, τὴν δὲ τοῦ νάπυος, εἶτα μίσγειν, εἰ μὲν σφοδρῶς βουλόμεθα 10
σιναπίζειν, δύο μέρη τοῦ νάπυος πρὸς ἓν τῶν ἰσχάδων· εἰ δὲ μέσως,
ἴσον ἑκατέρου· εἰ δὲ ἀνειμένως, τὸ μὲν τοῦ νάπυος τρίτον, τὸ δὲ
3 τῶν ἰσχάδων δίμοιρον. Μετὰ δὲ τὴν ἄρσιν τοῦ νάπυος καὶ τὴν τοῦ
λουτροῦ χρῆσιν, ἐὰν ὀδύνη σφοδρὰ ᾖ καὶ ἔρευθος καὶ φλύκταιναι,

malade éprouve de vives souffrances, quand la chair se noircit et dépasse le niveau des parties environnantes, et quand il y a un léger développement de bulles à la peau après le bain; quand il s'agit de maladies caractérisées par une grande irritabilité ou d'organes très-sensibles, on emploiera la moutarde avec modération, en s'arrêtant lorsque la
2 peau devient un peu plus rouge qu'auparavant. On prépare la moutarde de la manière suivante : un jour d'avance, tremper des figues sèches dans de l'eau tiède, le lendemain les exprimer fortement et les triturer vigoureusement, puis prendre de la moutarde âcre, par exemple celle de Syrie ou d'Égypte, la triturer séparément, et verser dessus petit à petit la macération, ensuite faire des pains, l'un avec les figues sèches et l'autre avec la moutarde; après cela opérer le mélange, en unissant, si on veut agir énergiquement, deux parties de moutarde à une partie de figues sèches; si l'effet doit être moyen, on mêle les deux ingrédients à parties égales; si, enfin, il doit être faible, on prendra un tiers de mou-
3 tarde et deux tiers de figues sèches. Après avoir enlevé le sinapisme et fait baigner le malade, s'il existe une forte douleur, de la rougeur et des bulles [à la peau], on y appliquera un linge trempé dans de l'huile

2. μετὰ λ. BFP. — 6. γενναίως A. — 6-7. ἰσχυρῶς A. — 8. συρικόν BP.

ὀθόνην βρέξαντες εἰς ὑδροῤῥόδινον ἐπιθήσομεν· τὸ δὲ ὕδωρ ἔστω μαλάχης ἀπόζεμα ἢ χυλὸς τήλεως· καὶ μετὰ ταῦτα κηρωτῇ ῥοδίνῃ μετὰ ψιμμιθίου χρησόμεθα. Γνωστέον δὲ ὅτι εἰ ὄξει τὸ νᾶπυ ἐμβρα- 4
χείη, ἀμυδρότερον ἔσται τὸ κατάπλασμα. Αἰγῶν δὲ σπύραθοι μετὰ 5
5 ὄξους καταπλασσόμεναι ἀνυσιμώτεραί εἰσι τοῦ νάπυος, μάλιστα δὲ ἰδίως ἐπὶ τῶν ἰσχιαδικῶν ποιοῦσιν ἄκρως.

λϐ'. Περὶ τῆς εἰς ἔλαιον ἐμβάσεως.

Αἱ εἰς ἔλαιον ἐμβάσεις ἐπιτήδειοι τοῖς χρονίως μετὰ περιψύξεως 1
πυρέσσουσι καὶ τοῖς κεκοπωμένοις καὶ ἰσχουριῶσιν. Δεῖ δὲ τὸ μὲν 2
πέμπτον μέρος τοῦ ἐλαίου πυρὶ θερμαίνειν, τὸ δὲ λοιπὸν ἐν ταῖς
10 τῶν βαλανείων ἐμβάσεσιν· αὐτάρκως γὰρ θερμὸν οὐ γίνεται ἐν τοῖς βαλανείοις.

λγ'. Περὶ ὑδρελαίου.

Οἱ εἰς ὑδρέλαιον καθιέμενοι, εἰ ἀσθενεῖς εἶεν, διὰ τῆς ἐνδρομίδος 1

aux roses, coupée d'une décoction de mauve ou d'une macération de fenugrec; après cela on se servira de cérat à l'huile aux roses, en y ajoutant de la céruse. Sachez que, si on humecte la moutarde avec 4
du vinaigre, le cataplasme ainsi préparé sera plus faible. La fiente de 5
chèvre, appliquée sous forme de cataplasme avec du vinaigre, est plus efficace que la moutarde; mais c'est surtout dans la sciatique que ce remède exerce une action très-énergique.

32. DU BAIN D'HUILE.

Le bain d'huile convient contre les fièvres chroniques accompagnées 1
de refroidissement, contre la fatigue et contre la rétention d'urine. On 2
chauffe la cinquième partie de l'huile au feu, et le reste dans les baignoires qu'on tient dans les maisons de bain; car celle qu'on emploie dans les maisons de bain n'est pas assez chaude.

33. DU MÉLANGE D'HUILE ET D'EAU.

Si les malades auxquels ont fait prendre un bain d'huile et d'eau 1

CH. 32; l. 8. *ἰσχουροῦσιν* codd. — 10. *οὐ θερμόν* F.

2 ἐμβιβαζέσθωσαν. Ἀναμικτέον δὲ τὸ ἔλαιον ἀκριβῶς τῷ ὕδατι· ἔστω δὲ μὴ ἔλαττον τοῦ ἕκτου.

λδ'. Περὶ τῶν μετασυγκριτικῶν βοηθημάτων. Ἐκ τῶν Γαληνοῦ.

1 Πάντων τῶν ἐπὶ πλεῖστον χρονιζόντων παθῶν, ὅταν μηδὲν ἀνύῃ τὰ βοηθήματα, τὴν μετασυγκριτικὴν ὑπὸ τῶν μεθοδικῶν ὀνομαζομένην θεραπείαν ἅπαντες σχεδὸν εἰώθασι ποιεῖσθαι· ἐγὼ δὲ ἐπὶ 5 ὧν ἤτοι δυσκρασία τις ὑγρὰ καὶ ψυχρὰ τοῖς πάσχουσι μορίοις ἐστὶ, τὰ διὰ νάπυος καὶ θαψίας καὶ τῶν ὁμοίων αὐτοῖς προσφέρω φάρ-
2 μακα· ταῖς ξηραῖς δὲ καὶ θερμαῖς οὐ προσφέρω. Πολλάκις δὲ ἀνύουσι τὸ δέον οἱ μὴ διαγινώσκοντες τὰς διαθέσεις ὅτι τοῖς πλείστοις τῶν ἀνθρώπων αἱ ψυχραὶ καὶ ὑγραὶ διαθέσεις ἐνοχλοῦσι μοχθηρῶς διαι- 10 τωμένοις.

λε'. Ὅσα φοινίσσει.

1 Καρδάμου τὸ σπέρμα φοινίσσει καὶ θερμαίνει, καθάπερ τὸ

2 sont faibles, on les descend à l'aide du drap. On mêle avec soin l'huile à l'eau, et on n'y met pas moins d'un sixième d'huile.

34. DES REMÈDES MÉTASYNCRITIQUES. — TIRÉ DE GALIEN.

1 Lorsque, dans les maladies de très-longue durée, les remèdes [ordinaires] ne produisent aucun effet, la plupart des médecins ont l'habitude de soumettre ces maladies au traitement que les méthodiques appellent *métasyncritique;* quant à moi, j'emploie les médicaments préparés avec la moutarde, la thapsie et les substances analogues, quand les parties malades sont en proie à une mauvaise constitution élémentaire humide et froide; mais je proscris de tels médicaments lorsque le tem-
2 pérament pèche par le sec et le chaud. Cependant ceux qui ne savent pas distinguer les divers états morbides obtiennent souvent l'effet désiré, parce que, le plus souvent, on est incommodé par des états morbides froids et humides, attendu qu'on suit un mauvais régime.

35. DES MÉDICAMENTS RUBÉFIANTS.

1 La graine de cresson d'Alep rougit [la peau] et échauffe à l'instar de

8. *οὐκ ἀνύουσι* Codd. Cf. t. II, p. 471.

νᾶπυ· ἑλενίου ῥίζα ὁμοίως. Τῇ κόπρῳ τῶν νομάδων περισλερῶν 2
πάνυ συνεχῶς χρῶμαι, καὶ μετὰ καρδάμου δὲ σπέρματος κεκομμένου καὶ διηθημένου ἀντὶ νάπυος χρῶμαι ἐπὶ ἰσχιάδος καὶ ἡμικρανίας, σκοτωμάτων τε καὶ κεφαλαίας, καὶ κατὰ πλευρὰς, ἢ ὠμο-
5 πλάτας, ἢ τένοντας, ἢ ψόας ἀλγημάτων χρονίων, καὶ πρὸς τούτοις ἐπὶ νεφριτικῶν καὶ κολικῶν διαθέσεων καὶ ποδαγρικῶν καὶ ἀρθριτικῶν, ὅταν γε μηδέπω σύσλασις ᾖ πώρων.

la moutarde; il en est de même de la racine d'aunée. Je me sers très- 2
fréquemment des excréments des pigeons fuyards; je les emploie aussi au lieu de moutarde, avec de la graine de cresson d'Alep pilée et passée au tamis, contre la sciatique, la migraine, les vertiges, les maux de tête chroniques, les douleurs chroniques aux côtés, aux omoplates, à la partie postérieure du cou ou à l'intérieur des lombes; dans les affections des reins ou du colon, dans la podagre et dans l'*arthritis*, du moins lorsqu'il ne s'est pas encore formé des *tophi*.

7. γε om. BP.

ΒΙΒΛΙΟΝ Β'.

α'. Ὅσα μέσα ἐστὶ τῶν θερμαινόντων καὶ ψυχόντων.

1 Ἀδίαντον, ἀσπάραγος ὁ μυακάνθινος, βρύον τὸ καὶ σπλάχνον, γλυκυῤῥίζης ὁ χυλὸς, ἔλαιον τὸ γλυκύτατον ἐκ δρυπεποῦς μάλιστα τοῦ καρποῦ γινόμενον, κηρὸς, κύαμος, λύκιον, λωτὸς ἢ τρίφυλλον, κιτρίου ὁ φλοιὸς, πτέρεως ἡ ῥίζα, στροβίλου τὸ ἐδώδιμον, σχῖνος, φακὴ, χία γῆ καὶ σαμία, καδμεία, λιθάργυρος. 5

β'. Ὅσα θερμαίνει.

1 Ἄγνου τὰ φύλλα καὶ τὸ σπέρμα μετρίως, ἀκαλήφης ὁ καρπὸς καὶ τὰ φύλλα, ἀμύγδαλα γλυκέα, ἀναγαλλίδες ἀμφότεραι, ἀτρακτυλὶς ἢ κνῆκος ἄγριος, ἀφάκη, τῶν βάτων ὁ πέπειρος καρπὸς, γλυκυσίδης ἡ ῥίζα, ἐλαίας ὁ καρπὸς ὁ πέπειρος, ζύμη, ἠρύγγιον, ῥητίναι πᾶσαι, σόγχος ξηρανθεὶς, σχοίνου ἄνθος, φοινίκων ὁ καρπὸς, 10 κοχλιῶν κεκαυμένων ἡ τέφρα· κυνοκράμβη πάνυ· βατραχίου ἡ ῥίζα καὶ ἡ σύμπασα πόα, γλήχων, δάφνης φύλλα, καὶ μᾶλλον ὁ καρπὸς, ἧττον δὲ ὁ φλοιὸς τῆς ῥίζης, δίκταμνον, ψευδοδίκταμνον, ἐλελίσφακον, ἐρύσιμον, ἔρια κεκαυμένα, ζιγγίβερι, θαψία, καρδάμωμον, ὀποὶ, τρίχες κεκαυμέναι, βρυωνίας ἡ ῥίζα, ἀριστολοχίαι, 15 ἀσφοδέλου ῥίζαι, δαῦκος, χαμαιδάφνη, δρακοντίου ἡ ῥίζα, ἔλαιον ῥαφάνινον, ἐρέβινθοι, ἰξὸς, καυκαλὶς, λιγυστικὸν, νάρθηκος σπέρμα, σαγαπηνὸν, σατύριον, σέλινον, σίον, σίνων, στύραξ, ὑδροπέπερι, ὑπερικὸν, ἅλες, θεῖον, αἷμα, χολὴ, οὖρον, σίελον, σάρκες ἐχιδνῶν, στέαρ, ἅλμη ταριχηρῶν ἰχθύων. 20

Ch. 1; l. 2-3. ἐκ..... γινόμενον om. BFP. Cf. t. II, p. 500. — 4. πτ. ἡ ῥ. ad Eun. Aët.; πτέρεως ῥ. B marg.; πεπέρεως ῥ. B text. P; πεπέρεος ῥ. F; om. A. — Ch. 2; 8-9. γλυκυρίζης Codd. Cf. t. II, p. 501.

γ'. Ὅσα θερμαίνει τῆς πρώτης ἀποστάσεως.

Ἀλόη, ἀνθεμὶς, ἄρον, ἀψίνθιον, ἀγαρικὸν, λάδανον, λινόσπερμον, φύλλον, νάρδου στάχυς, νάρδος κελτικὴ, οἶνος γλεύκινος, ὄροβος, πυρὸς, σῦκα ξηρά. 1

δ'. Ὅσα θερμαίνει τῆς δευτέρας ἀποστάσεως.

Ἀμόργη, ἄνηθον· τὸ δὲ χλωρὸν ἔλατον· ἀρτεμισίαι, βάλσαμον, ἐλαφόβοσκον, κάλαμος ἀρωματικὸς, κρόκος, λιβανωτὸς, μαστίχη χία, μέλι, οἶνος, πίσσα, μελισσόφυλλον, πράσιον, πρόπολις, σικύου ἀγρίου χυλὸς, σκάνδιξ, σκίλλα, σκολύμου ῥίζα, σμύρνα, τερμίνθου ὁ φλοιὸς καὶ τὰ φύλλα καὶ ὁ καρπὸς, τῆλις, χαμαιλέοντος ἑκατέρου ἡ ῥίζα, χαμαίπιτυς, ὤκιμον. 1

ε'. Ὅσα θερμαίνει τῆς τρίτης ἀποστάσεως.

Ἀβρότονον, καὶ μᾶλλον καυθὲν, αἶρα, αἰγείρου τὰ ἄνθη καὶ ἡ ῥητίνη, ἄκορον, ἄμωμον, ἀμάρακον, ἄμμι, ἄνηθον καυθὲν, ἄνισον, ἄρκευθος, ἀσάρου ῥίζα, βράθυ, ἐλλέβορος ἑκάτερος, ἐπίθυμον, μίνθη, καλαμίνθη, θύμα, καλάμου φραγμίτου ὁ φλοιὸς καυθεὶς, καρὼ, κασία, κέδροι ἀμφότεραι, κυήκου τὸ σπέρμα, κόυυζαι, κύμινον, λιβανωτοῦ ὁ αἴθαλος, μάραθρον, μελάνθιον, μήου αἱ ῥίζαι, μῶλυ ἢ πήγανον ἄγριον, ῥοδοδάφνη, οἶνος ὁ παλαιὸς, ὀρίγανοι πᾶσαι, ὀποπάναξ, πετροσέλινον, πήγανον, ῥαφανὶς, σάμψυχον, σμύρνιον, ὕσσωπον, χαμαίδρυς, χαλβάνη. 1

ς'. Ὅσα θερμαίνει τῆς τετάρτης ἀποστάσεως.

Ἀδάρκη, ἀμπελόπρασον, εὐφόρβιον, κεδρίας τὸ ἔλαιον, κόστος, 1

Ch. 3; l. 2. *ναρδόσταχυς* AP. — Ib. *γλευκίνης* F; *γλευκίτης* P; *γλευκίτις* B. — 2-3. *ὄροβος*] *ὀρός* Codd. Cf. t. II, p. 506. — 3. *τυρός* Codd. Cf. t. II, p. 506.— Ch. 4; l. 8. *ὁ... φύλλα*]*ἡ ῥίζα καὶ ὁ φλοιός* A. — Ch. 5; l. 15. *μάραθρον, μάρον, μελάνθιον, θεῖον* Codd. Cf. t. II, p. 508.

κρόμμυον, λεπίδιον, νᾶπυ, σκόροδον, σϊρουθίου ἡ ῥίζα, τιθυμάλλων οἱ ὀποὶ, τὰ καυσϊκὰ πάντα.

ζ'. Ὅσα ψύχει μετρίως.

1 Ἄγρωσϊις· ἀλσίνη χωρὶς σϊύψεως· ἄπιοι μετρίως καταπλασσόμεναι· βαλαύσϊιον, βάτου τὰ φύλλα καὶ οἱ βλασϊοὶ καὶ ὁ ἄωρος καρπὸς καὶ τὸ ἄνθος· βρόμος μετρίως· βρύον θαλάσσιον· γλαύκιον μετρίως· δορύκνιον πάνυ· ἐλαίας οἱ θαλλοὶ καὶ ὁ ἄωρος καρπὸς, ἔλαιον μύρτινον, σησάμινον, βαλάνινον· ἐλξίνη ἢ καὶ περδίκιον μετρίως· ἔλυμος, ἴου τὰ φύλλα· καλάμου φραγμίτου φύλλα μετρίως· κώνειον ἄκρως· λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, μήκωνες πᾶσαι, μηλέας ὁ καρπὸς καὶ τὰ φύλλα καὶ οἱ χυλοὶ καὶ οἱ φλοιοὶ πλὴν τῶν γλυκέων, περσικῆς ὁ καρπὸς, κιτρίου ἡ σάρξ· μύκητες ἱκανῶς· ὄμφακος ὁ χυλὸς ἱκανῶς· τὸ ἀπὸ τοῦ σίτου ἄμυλον μετρίως· ῥόδινον μετρίως· πάτος ὁ ἀπὸ παλαίσϊρας, σόγχος ὁ μὴ ξηρὸς, τρίβολοι ἀμφότεροι, φοίνικος τῶν κλάδων ὁ χυλός· σαμία γῆ μετρίως, κιμωλία γῆ· ναξίας ἀκόνης τὸ ἀπότριμμα· μολίβδαινα μετρίως· μόλιβδος, ψιμμίθιον· σάνδυξ μετρίως· τυρὸς ὁ μαλακὸς καὶ νεοπαγὴς μετρίως.

η'. Ὅσα ψύχει τῆς πρώτης ἀποσϊάσεως.

1 Ἀκακία ἄπλυτος· ἀτράφαξυς ἄνευ σϊύψεως· γίγαρτα, κέγχρος, κριθαὶ, πλάτανος, ῥάμνος, σέρις.

θ'. Ὅσα ψύχει τῆς δευτέρας ἀποσϊάσεως.

1 Ἀκακία πεπλυμένη, ἀρνόγλωσσον, βλίτον, κηκὶς ὀμφακῖτις, κολοκύνθη, ῥοῦς, σίκυς πέπων, σϊρύχνον τὸ κηπευόμενον, φακὸς ὁ ἐπὶ τῶν τελμάτων, φῦκος χλωρὸν ἀπὸ τῆς θαλάσσης ἐξαιρούμενον, ψυλλίου τὸ σπέρμα.

CH. 7; l. 3. Ἄγρωσϊις μετρίως A. — ..... ἴου τὰ φ. post φύλλα (l. 10) Codd. lb. ἐλξίνη B text. AFP. — 6-8. ἐλαίας Cf. t. II, p. 510. — 13. πηλός BFP.

ι'. Ὅσα ψύχει τῆς τρίτης ἀποστάσεως.

Ἀείζωα ἀμφότερα, ἀνδράχνη, μανδραγόρας, κιτρίου τὸ ὀξὺ, πο- 1
λύγονον, ποταμογείτων, ὑοσκύαμος ὁ καὶ τὸ ἄνθος καὶ τὸ σπέρμα
λευκὸν ἔχων.

ια'. Ὅσα ψύχει τῆς τετάρτης ἀποστάσεως.

Ὀπὸς μήκωνος. 1

ιβ'. Ὅσα ξηραίνει ἀδήκτως.

Ἀκαλήφης ὁ καρπὸς καὶ τὰ φύλλα, ἀμόργη, ἀναγαλλίδες ἀμφότε- 1
ραι, ἀρνόγλωσσον, βρόμος· ἔλαιον γλυκὺ ἄναλον πλυθὲν πάντων
μάλιστα· ἐρείκη· ζύμη ἐπισπᾶταί τε τὰ ἐκ βάθους καὶ διαφορεῖ·
θέρμος ὁ πικρός· ἵππουρις ἰσχυρῶς· ἰσάτις ἰσχυρῶς· ἰτέας τὰ φύλλα
καὶ τὸ ἄνθος μετά τινος στύψεως· ἔνιοι δὲ καὶ χυλὸν ἐξ αὐτῶν
ποιοῦντες ἀδήκτως ξηραῖνον ἴσχουσι φάρμακον εἰς πολλὰ χρήσι-
μον· οὐδὲν γὰρ πολυχρηστότερόν ἐστιν ἀδήκτως ξηραίνοντος καὶ
στύφοντος ἠρέμα φαρμάκου· καρύου λέπος καυθὲν μετὰ τοῦ λεπτο-
μερὲς εἶναι· κέγχρος· κενταύριον τὸ μικρὸν ἰσχυρῶς· κεράσου τὸ
κόμμι, κρίνον, κύαμος ἔξωθεν ἐπιτιθέμενος, κυπαρίσσου πάντα,
κυπέρου αἱ ῥίζαι, στροβίλου τὸ ἐδώδιμον ἐν ὕδατι βραχὲν, νυμφαίας
ἡ ῥίζα· σίραιον πάνυ· πενταφύλλου ἡ ῥίζα, πολυπόδιον, σμύρνα,
σαρκοκόλλα, στοιβὴ, τραγάκανθα, γῆ πᾶσα, καδμεία· ἀσσίας πέ-
τρας ἄνθος τὰς πλαδαρὰς σάρκας ἐκτήκει· πομφόλυξ συνεχῶς
πλυθεῖσα· τίτανος σβεσθεῖσα καὶ πλυθεῖσα γενναίως· ᾠῶν τὸ λευ-
κὸν καὶ λεπτόν· ὁμοίας δὲ φύσεώς ἐστι καὶ ἡ λέκιθος αὐτῶν.

ιγ'. Ὅσα ἁπλῶς ξηραίνει.

Ἄγνου τὰ φύλλα καὶ τὸ σπέρμα· ἀγρώστεως ἡ ῥίζα μετρίως· 1

CH. 11; l. 4. μήκων καὶ κώνειον ὑοσκύαμος καί..... A interl. — CH. 12; l. 7. ζήμη ἢ καὶ ἐπισπᾶται εἰς τὰ ἐκτὸς καί A. — 9. καί τινα χυλόν A. — 16. σίραιον] σίδια Codd. Cf. t. II, p. 519.

ἀδίαντον, ἀείζωα ἀμφότερα, αἰγείρου τὰ ἄνθη καὶ ἡ ῥητίνη, ἀκταῖ ἀμφότεραι· ἀμάραντος καὶ ῥεύματα ξηραίνει πινομένη· βρυωνίας ἡ ῥίζα, ἀναγύρου τὰ ξηρὰ φύλλα· ἄπιοι καταπλασσόμεναι μετρίως· ἀρισΊολοχίαι, ἀσπάραγος μυακάνθινος, ἀσπάλαθος, ἀσφοδέλου ἡ ῥίζα, καὶ μᾶλλον καυθείσης ἡ τέφρα· βαλαύσΊιον πάνυ· τῶν βάτων ὁ ἄωρος καρπὸς, βολβὸς ἐπιπλασσόμενος, παιωνίας ἡ ῥίζα· δάφνης τὰ φύλλα σφοδρῶς, καὶ μᾶλλον ὁ καρπός· δρυὸς πάντα τὰ μόρια, καὶ φηγοῦ καὶ πρίνου, ἔλαιον δάφνινον, δᾴδινον, ἔλυμος καταπλασσόμενος, ἠρύγγιον, ἰσάτις· ἰτέας τοῦ φλοιοῦ ἡ τέφρα ἰσχυρῶς· καννάβεως ὁ καρπὸς, κάρδαμον, καυκαλὶς, δαῦκος, κονία, καὶ μᾶλλον ἡ ἀπὸ συκίνης τέφρας, κράμβη· οἱ δὲ καυλοὶ καυθέντες αὐτῆς ἰσχυρῶς ποιοῦσι ξηραίνουσαν τέφραν· κρῆθμον, κρίνου τὰ φύλλα καὶ ἡ ῥίζα, λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, λιγυὺς πᾶσα, λωτὸς, νυμφαίας ἡ ῥίζα, ὀμφάκιον· πλατάνου ὁ φλοιὸς καὶ τὰ σφαιρία μετρίως· πολυπόδιον, ἄμυλον, ἅλες, ἀφρόνιτρα, γύψος· καυθεῖσα μᾶλλον· καδμεῖαι πᾶσαι, καὶ πάντα τὰ μεταλλικὰ καὶ λιθώδη καὶ γεώδη, ὄσΊρακον τὸ ἐκ τῶν κριβάνων, πυτία, κόπρος πᾶσα· ἡ δὲ τῶν χηνῶν ἄχρησΊος διὰ πολλὴν δριμύτητα· ῥύπος, σάρκες ἐχιδνῶν, κεφαλαὶ ταριχηρῶν μαινίδων κεκαυμέναι· κέρας ἐλάφου καὶ αἰγὸς κεκαυμένα, κασΊόρειον, ὀσΊᾶ κεκαυμένα ἱκανῶς· τρίχες, σηπίας ὄσΊρακον, ἔρια κεκαυμένα, καρκίνων ἡ τέφρα· γάρος ἱκανῶς, καὶ ἅλμη.

ιδ'. Ὅσα ξηραίνει τῆς πρώτης ἀποσΊάσεως.

1 Ἀνθεμὶς, ἀρκεύθου ὁ καρπὸς, ἄρον, κριθαὶ, ἄλφιτα, κρόκος, λιβανωτὸς, μάραθρον, ῥοδοδάφνη, οἶνος γλεύκινος, σικύου πέπονος τὸ σπέρμα καὶ ἡ ῥίζα ξηρανθεῖσα, τῆλις.

6. ὁ χλωρός F; χλωρῶν A. — 9. καταπλασσομένη ABFP. — 13. πᾶσαι BFP. — 15. νίτρα AF; νίτρον BP. Cf. t. II, p. 516. — 16. μελοτικά B text. P; μαλακτικά F. — 20. ἰσχυρῶς F 1° m. AP. — Ch. 14; l. 23. ἄρον ex em.; καρώ BFP; om. A. Cf. t. II, p. 520. — 25. καὶ τὸ σπ. καί F.

ιε'. Ὅσα ξηραίνει τῆς δευτέρας.

Αἶρα, ἀμάρακον, ἄσφαλτος, ἄνηθον, βάλσαμον, γίγαρτα, γιγγί- 1
διον, ἐλαφόβοσκον, κάλαμος ἀρωματικὸς, λιβανωτοῦ φλοιὸς, μα-
στίχη, μέλι, κιτρίου ὁ φλοιὸς καὶ τὸ σπέρμα καὶ τοῦ δένδρου τὰ
φύλλα, μήου αἱ ῥίζαι, νάρδου στάχυς, νάρδος κελτική, οἶνος, ὄρο-
5 βος, ὀποπάναξ, πίσσα, ῥάμνος, ῥαφανὶς, σκάνδιξ, σκολύμου ἡ
ῥίζα, σμύρνα, σχῖνος, τερμίνθου ὁ καρπὸς καὶ τὰ φύλλα, φακοὶ,
φῦκος χλωρὸν ἔτι καὶ ὑγρὸν, φύλλον, χαλβάνη.

ις'. Ὅσα ξηραίνει τῆς τρίτης ἀποστάσεως.

Ἀβρότονον, καὶ μᾶλλον τὸ καυθὲν, ἀκακία, ἄκορον, ἀλόη, ἄμμι, 1
ἄνηθον καυθὲν, ἀνίσου σπέρμα, ἄρκευθος, ἄσαρον, ἀψίνθιον, βράθυ,
10 ἐλλέβοροι, ἐπίθυμον, θύμον, καλαμίνθη, καλάμου φραγμίτου ὁ
φλοιὸς καυθεὶς, καρὼ, κασία, κέδροι, κόνυζαι, λιβανωτοῦ αἰθάλη,
μελάνθιον, κιτρίου τὸ ὑπὸ τὸ σπέρμα, οἶνος ὁ ἱκανῶς παλαιὸς,
ὄξος, ὀρίγανοι, πενταφύλλου ἡ ῥίζα, πετροσέλινον, σμύρνιον, πή-
γανον ἥμερον, πράσιον, ῥοῦς, σάμψυχον, σέριφον, ὕσσωπον, χα-
15 μαίδρυς, χαμαιλέοντος ἑκατέρου ἡ ῥίζα, χαμαίπιτυς.

ιζ'. Ὅσα ξηραίνει τῆς τετάρτης.

Ἀμπελόπρασον, κεδρίας τὸ ἔλαιον, νᾶπυ, πήγανον ἄγριον, σκό- 1
ροδον.

ιη'. Ὅσα μέσα τῶν ξηραινόντων καὶ ὑγραινόντων ἐστίν.

Ἀγρώστεως ἡ ῥίζα καταπλασσομένη, ἔλαιον τὸ γλυκύτατον. 1

ιθ'. Ὅσα ὑγραίνει πρώτης ἀποστάσεως.

Ἀλσίνη, βούγλωσσον, γλυκυῤῥίζης ὁ χυλός· θρίδαξ μετρίως· 1

Ch. 15; l. 6. φακή ABP.

ἴου τὰ φύλλα μετρίως· μηλέας περσικῆς ὁ καρπὸς, μύκητες, ῥόδινον, σατύριον, σπρατιώτης ὁ ἐν τοῖς ποταμοῖς καὶ ταῖς λίμναις.

κ'. Ὅσα ὑγραίνει τῆς δευτέρας ἀποσπάσεως.

1 Ἀνδράχνης ὁ καρπὸς σὺν τῇ πόᾳ, ἀτράφαξυς, βλίτον, κολοκύνθη, μηλέας ἀρμενιακῆς ὁ καρπὸς, σίκυος πέπων, φακὸς ὁ ἐπὶ τῶν τελμάτων. 5

κα'. Ὅσα ὑδατώδη ψυχρότητα ἔχει.

1 Ἀκακία, ἀλσίνη, ἀνδράχνη, ἀρνόγλωσσον, ἀτράφαξυς, βάτου τὰ φύλλα, βλίτον, βρύον θαλάσσιον, γλαύκιον, δορύκνιον, θρίδαξ, ἰξὸς, ἴου τὰ φύλλα, κολοκύνθη, κοτυληδὼν, κώνειον, λεύκη τὸ δένδρον, μαλάχη ἥμερος, μήκων, μῆλα, πραικόκκια, μύκητες, σίκυς ἐδώδιμος, σόγχος, ὁλόσχοινος, τρίβολος, φακὸς ὁ ἐπὶ τῶν τελμάτων, ψυλλίου τὸ σπέρμα, μόλιβδος. 10

κβ'. Ὅσα λεπτομερῆ.

1 Ἀβρότονον κεκαυμένον, ἄγνος, σκάνδιξ, αἰγείρου τὰ ἄνθη, ἀκαλήφης ὁ καρπὸς καὶ τὰ φύλλα, ἄκορον, ἄμωμον, ἀσάρου ἡ ῥίζα, βρυωνία, ἀνθεμὶς, ἀπαρίνη, ἀριστολοχίαι, ἀρνόγλωσσον ξηρὸν, ἀσφοδέλου ἡ ῥίζα, καὶ μᾶλλον καυθείσης ἡ τέφρα, βάλσαμον· βράθυ πάνυ, βάτου ἡ ῥίζα, γλυκυσίδης ἡ ῥίζα, δίκταμνον, δρακοντίου ἡ ῥίζα, ἔλαιον παλαιὸν, κίκινον, ἐλαφόβοσκον, εὐφόρβιον, ζύμη, ἰτέας ὀπὸς, καλαμίνθη, κάλαμος ἀρωματικὸς, καλάμου φραγμίτου ὁ φλοιὸς καυθεὶς, κασία, καρπήσιον, κέγχρος, κεδρίας τὸ ἔλαιον, κοκκυμηλέας τὸ κόμμι, μαστίχη, μελάνθιον, ὀπὸς κυρηναϊκὸς, ὀποβάλσαμον, πήγανον, πίσσα, πιστακίου καρπὸς, πρόπολις, τερεβινθίνη, ῥόδινον ἔλαιον, σαγαπηνὸν, σάμψυχον, σέσελι, 15 20

Ch. 20; l. 1. Ἀνδράχνη F. — Ib. ὁ... πόᾳ om. F. — Ch. 21; l. 6. ἀλσίνη om. BP. — 7-8. βλίτον... φύλλα om. FP; post δένδρον (l. 9) A. — 7. λύκιον A. — 8. ἴου τὰ φ.] ἰτέα B. Cf. t. II, p. 524. — 9. πρεκόκινα B; κόκκινα FP; μηλοκάρια A. — Ch. 22; l. 13. καὶ ὁ καρπὸς καί A. — 14. ἀριστολοχία A. — 16. πάνυ] νᾶπυ Codd. Cf. t. II, p. 529. — 18. ἰτ. ὁ καρπός F.

σικύου σπέρμα· σῦκα ξηρὰ μετρίως· σχοίνου ἄνθος, τέφρα, τίτανος, ὕσσωπον, ἅλες, ἁλὸς ἄνθος, νίτρον, ἀλκυόνιον τὸ τρίτον, ἀρσενικὸν καυθὲν, γύψος καυθεῖσα, θεῖον, καδμεία, κίσηρις κεκαυμένη, κονία, πέτρας ἀσσίας ἄνθος, μελαντηρία, μίσυ, χαλκοῦ
5 ἄνθος, χρυσοκόλλα, σάνδυξ, φῦκος, σέαρ λέοντος καὶ παρδάλεως καὶ ὑαίνης πάνυ· κασόρειον, σηπίας ὄστρακον, ἔρια καυθέντα.

κγ'. Ὅσα παχυμερῆ.

Ἀρνογλώσσου ἡ ῥίζα, βαλαύστιον, γίγαρτα, ζιγγίβερι, κρόμμυον, σίκυος, λεπίδες πᾶσαι, σῶρι, συπτηρίαι. 1

κδ'. Ὅσα ῥωστικά.

Κασία, κηκὶς ὀμφακῖτις, στοιχὰς, φοίνικος ὁ καρπὸς, ἀψίν-
10 θιον. 1

κε'. Ὅσα συμπεπτικά.

Ἄμωμον, σταφὶς ἥμερος, κηρὸς, λάδανον, κόλλα ἡ εἰς τὰ βιβλία, κρόκος, λιβανωτὸς, πίσσα, αἰγυπτία μαστίχη, ῥόδινον ἔλαιον, σμύρνα, στύραξ, χαλβάνη, χόνδρος, βούτυρον, οἴσυπος, σέαρ ὕειον. 1

κς'. Ὅσα ἐκπυητικά.

15 Ὕδωρ εὔκρατον καταντλούμενον, ὑδρέλαιον, ἔλαιον εὔκρατον, πύρινον ἄλευρον, ἄρτος πύρινος, χόνδρος, χοίρειον σέαρ καὶ μόσχειον, βούτυρον, λιβανωτὸς, πίσσα, ῥητίνη. 1

κζ'. Ὅσα μαλάστοντα.

Αἴγειον σέαρ καὶ τὸ τῆς ἀλεκτορίδος, καὶ χήνειον, καὶ ταύρειον, καὶ τράγειον, μυελὸς ἐλάφειος, μόσχειος, ἀμμωνιακὸν, στύ-
20 ραξ, χαλβάνη, βδέλλιον, ἔλαιον σικυώνιον καὶ τὸ κρίνινον, ἔλαιον τὸ γλυκύτατον, ἀνθεμὶς, ἀλθαίας ῥίζα, ἀγρίου σικύου ῥίζα, τῆς 1

Ch. 23; l. 8. συπτηρία A. — Ch. 27; l. 20. σίκυνον A.

ἀγρίας μαλάχης τὰ φύλλα, ἀναδενδρομαλάχη, μασλίχη χία, τερεβινθίνη, κολοφωνία, ὀποπάναξ, ῥύπος ὁ ἀπὸ ἀνδριάντων, πάτος, βούτυρον.

κη'. Ὅσα σκληρύνει.

1 Ἀείζωον, ἀνδράχνη, ψύλλιον, ὁ ἐπὶ τῶν τελμάτων φακὸς, σλρύ-
2 χνον. Σκληρύνεται δὲ ἢ διὰ ξηρότητα, καὶ ὑγραίνειν τὰ τοιαῦτα χρὴ, ἢ διὰ πλῆθος καὶ κενοῦν αὐτὸ, ἢ διὰ πῆξιν, ἅ τινα θερμαίνοντας μετρίως διαλύειν προσήκει καὶ μαλάσσειν τοῖς εἰρημένοις· τὰ γὰρ σφοδρῶς ξηραίνοντα πήγνυσι μᾶλλον.

κθ'. Ὅσα ὑγρασίαν ἕλκει διὰ σλόματος.

1 Πύρεθρον, λάπαθον, κάππαρις, πίονα σῦκα, δᾴδινον, μέλι, μήκων, ἀψίνθιον, ὀρίγανον, ῥάφανος, σλαφὶς ἄνευ γιγάρτων, καὶ ἡ ἑτέρα ὁμοίως, κάχρυ, νᾶπυ, λευκὸς ἐλλέβορος, ἐλατήριον, θύμος, ἅλες, ὀμφάκιον, ἄνισον, πέπερι, κόκκος κνίδιος, δαφνίδες, βάλσαμον, ἀνεμώνη, ἀμμωνιακὸν, τρὺξ ξηρὰ κεκαυμένη.

λ'. Ὅσα διὰ ῥινῶν ἄγει.

1 Ἐλατήριον, πέπερι, τεύτλων χυλὸς, κυκλαμίνου ὁ φλοιὸς τῆς ῥίζης, μέλι, θλάσπι, κόκκος κνίδιος, ἀναγαλλὶς, ἀνεμώνη, ἐλλέβορος λευκὸς, ὀμφάκιον, πράσιον, φύλλα κισσοῦ ἁπαλά.

λα'. Ὅσα ἀπὸ ὀφθαλμῶν ἄγει.

1 Μέλι, ὕσσωπον, ἔλαιον παλαιὸν, ἀναγαλλὶς, δάφνινον ἔλαιον, νάρδος, κασία, κόσλος, ὀπὸς μήκωνος, σαγαπηνὸν, δαῦκος, σέλινον, ῥοιὰ, ἀμύγδαλα, πράσιον, ἐλλέβορος ὁ λευκὸς, ἀνεμώνη, πήγανον, κασλόρειον, λίθος αἱματίτης, σλέαρ χήνειον, χολὴ, σμύρνα, χαλκῖτις, θεῖον, σλυπληρία σχισλὴ, σηπίας ὄσλρακον, φλοιὸς λιβάνου, σκίλλα, ἀμμωνιακὸν, ἰχὼρ ἥπατος, ὀμφάκιον.

CH. 29; l. 13. ἀνεμώναι BP.

λβ'. Ὅσα διὰ ὤτων ἄγει.

Μέλι, πέπερι, βοὸς χολὴ ἢ ταύρου, λινόζωστις, τεύτλου χυλὸς, καππάρεως τῶν ῥιζῶν, κόκκος κυίδιος, ἐρινεοῦ ὁ ὀπὸς, βδέλλιον, κασία, χαλβάνη, ἐλλέβορος λευκὸς, ὀμφάκιον.

λγ'. Ὅσα ἐκφρακτικὰ καὶ διακαθαρτικά.

Ἀναγύρου τὰ φύλλα ξηρὰ καὶ ὁ τῆς ῥίζης φλοιὸς, ἀγαρικὸν, ἀκαλήφης τὸ σπέρμα, ἀμύγδαλα πικρὰ καὶ τὸ δένδρον αὐτὸ, ἀδίαντον, ἄρου αἱ ῥίζαι, γλήχων, δρακόντιον, δαῦκος· γεντιανῆς ῥίζα πάνυ· ἐρέβινθοι· εὐπατόριος ἄνευ θερμότητος· θύμος, ἰσχάδων αἱ λιπαραὶ, καλαμίνθη, κασία, κοκκυμηλέας κόμμι, μελάνθιον, πήγανον, σίκυος πέπων, σπονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα, στοιχὰς, χαμαίδρυς, ὅσα τε ἄλλα κρατοῦσαν ἐν ἑαυτοῖς ἔχει τὴν πικρὰν ποιότητα· εὐθὺς δὲ τούτοις ὑπάρχει καὶ λεπτυντικοῖς εἶναι.

λδ'. Ὅσα ῥύπτει.

Αἰγεία κόπρος καυθεῖσα καὶ ἄκαυστος, τῶν ὀστρακοδέρμων πάντων τὰ ὄστρακα, σηπίας τὰ ὄστρακα, ἐχίνων ἀμφοτέρων καυθέντων ἡ τέφρα, ὀρὸς γάλακτος, μέλι, βρυωνίας ῥίζα, ἀμύγδαλα ἐδώδιμα καὶ αὐτὸ τὸ δένδρον, ἀναγαλλίδες, ἀνεμῶναι πᾶσαι, ἀριστολοχία μακρὰ, ἀρνογλώσσου τὰ φύλλα, καὶ μᾶλλον τὰ ξηρὰ, ἄρον, ἀσπάραγος μυακάνθινος, ἀσταφὶς ἀγρία, ἀσφοδέλου ἡ ῥίζα, ἀτραφάξυος ὁ καρπὸς, ἀψινθίου χυλὸς, βολβὸς ἐπιπλατυόμενος, ἐλλέβορος ἑκάτερος, ἑλξίνη ἡ καὶ περδίκιον, ἰτέας ὀπός· καλάμου φραγμίτου ἡ ῥίζα σὺν τοῖς φύλλοις ἱκανῶς ἄνευ δριμύτητος· κενταύριον τὸ μικρὸν καὶ ὁ χυλὸς αὐτοῦ, κράμβη, κρῆθμον· κριθαὶ μετρίως· κρίνου τὰ φύλλα καὶ ἡ ῥίζα λειούμενα μετρίως· κυάμου ἡ σὰρξ μετρίως· λαμψάνη καταπλασσομένη, λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, λευκοΐου πάντα, μῆον· πλατάνου ὁ φλοιὸς τῆς ῥίζης μετρίως·

Ch. 33; l. 7. θύμα F. — 9. σικύς F. — Ch. 34; l. 19. ἡ post φραγμίτου et sic sæpius. — Ib. σπονδύλου Codd. om. A.

πράσιον καταπλασσόμενον· πρόπολις μετρίως· πλελέας τὰ φύλλα, ὁ δὲ φλοιὸς καὶ ἡ ῥίζα μᾶλλον· πλισάνη· τερμινθίνη πλέον τῆς μασλίχης· σαγαπηνὸν μετρίως· σικύου πέπονος πάντα, σικύου ἀγρίου ῥίζα, σμύρνα, τεῦτλον, τιθύμαλλοι, φοῦ, χαμαίπιτυς, ἀλκυόνια πάντα· γῆ χία καὶ σαμία μετρίως, καὶ ἡ κρητική· καδμεία, κίσηρις ἄκαυσλος καὶ κεκαυμένη· λιθάργυρος μετρίως· σμύρις ἱκανῶς· τὸ ἐκ τῶν κριβάνων ὄσλρακον, κέρας ἐλάφου καὶ αἰγὸς κεκαυμένα.

λε'. Ὅσα οὐρητικά.

1 Σέλινον, πετροσέλινον, μάραθρον, δαῦκος, σμύρνιον, ἀνίσου σπέρμα, ἄμμι, ἄσαρον, ἄκορον, ἀσπάραγος βασιλικὸς καὶ ὀξυμυρσίνινος, βδέλλιον, βρυωνία, ἐρέβινθοι, θύμος, κάλαμος ἀρωματικὸς, καρὼ, καρπήσιον, καυκαλὶς, κόσλος, κύμινον, κυπέρου ῥίζαι, λιγυσλικὸν, μῆον, νάρδου σλάχυς καὶ κελτικὴ, πήγανον, πόλιον, σέσελι, σίκυος ἐδώδιμος, μηλοπέπων, σκάνδιξ, σκόρδιον, σλαφυλῖνος, σχοίνου ἄνθος, τερμίνθου ὁ καρπὸς, ἀψίνθιον· βράθυ αἷμα διὰ οὔρων κινεῖ· ἐρυθροδάνου ἡ ῥίζα οὖρα παχέα καὶ πολλὰ, καί ποτε καὶ αἱματώδη κινεῖ· καπνὸς χολώδη ἄγει πολλά· ὄροβος πλέων ληφθεὶς αἷμα διὰ οὔρων ἄγει· σκολύμου ἡ ῥίζα πλῆθος οὔρων ἄγει δυσωδῶν, εἴ τις αὐτὴν ἐν οἴνῳ καθεψήσας πίνοι, καὶ τὰς δυσωδίας δὲ ἰᾶται· μελίκρατον, ὀξύμελι, οἶνος λεπλὸς καὶ ὑδατώδης.

λς'. Ὅσα διὰ οὔρων ἐκ σπληνὸς ἄγει.

1 Τιθυμάλλου σπέρμα τοῦ χαρακίου, μελάνθιον, κύμινον, θύμον, ἀμπέλου ἀγρίας ἡ ῥίζα, καππάρεως ἡ ῥίζα, σκόρδιον, κύτισος, δρακόντιον, ἀρισλολοχίας ῥίζα, ὀρίγανος, πόλιον, κολοκυνθὶς ἀγρία, βρυωνία, κυκλάμινος, ἀνδράχνη, σκορπίου θαλασσίου πνιγέντος ἐν οἴνῳ τὸ ἀπόβρεγμα.

2. φλοιός] χυλός A. — 6. σμύρνα F. — Cu. 35; l. 10. ὁ βασιλικός A. — 10-11. ὀξυμύρσινος Codd., et sic semper. — 17. κάπνιον A; κάπνειον F.

λζ'. Ὅσα ἐξ ἥπατος ἄγει.

Ἄγνου σπέρμα, δαύκου τὰ φύλλα, μάραθρον, βάλσαμον, καπνὸς, 1
ἄνισον, φοίνικος ὀσλοῦν, δάφνης φύλλα, ἀψίνθιον, σμύρνιον, ἀναγαλλίδες, ἡδύοσμον, οἰνάνθη, ὀπὸς σιλφίου, ἠρύγγιον, κριθῶν ἀπόβρεγμα, ἀγαρικὸν, ἄσαρον.

λη'. Ὅσα ἀπὸ νεφρῶν ἄγει.

Σελίνου σπέρμα, πέπερι, σλαφυλῖνος, πράσον, κυῆκος, βρυω- 1
νίας τῶν ῥιζῶν ὁ φλοιὸς, ἄγρωσλις, σηπίας ὠὰ, θεῖον, ἐρέβινθοι λευκοί.

λθ'. Ὅσα ἀνάγει τὰ ἐκ θώρακος.

Τὰ ἐκφρακτικὰ πάντα, σλρόβιλος ὅλος χλωρὸς, πιτυΐδες, βού- 1
τυρον, κασλόρειον ἐπὶ ἀνθράκων θυμιώμενον καὶ ἑλκόμενον διὰ τῆς
10 εἰσπνοῆς· ὠφελεῖ γὰρ μάλισλα τὴν κατὰ πνεύμονα καὶ ἐγκέφαλον
ὑγρὰν καὶ ψυχρὰν δυσκρασίαν. Νάρδου σλάχυς τὰ κατὰ τὴν κεφα- 2
λὴν καὶ τὸν θώρακα ῥεύματα ξηραίνει. Ἀνάγει δὲ ἐκ πνεύμονος 3
ἐκλεικτὰ διδόμενα καὶ καταπότια κυίδης σπέρμα, δαύκου καὶ λίνου καὶ μήκωνος μελαίνης, θύμος, ῥαφανῖδος χυλὸς, νᾶπυ, ἄνισον, σή-
15 σαμον, ἐρύσιμον, σκίλλα, ὄροβοι, σικύου σπέρμα, πέπερι, πήγανον, πόλιον, ἄρον, δρακόντιον, κόσλος, νάρδος, θεῖον, σμύρνα, δαφνίδων τὸ ἐντὸς, καππάρεως ῥίζης ὁ φλοιὸς, ἀμύγδαλα πικρὰ, γλυκυσίδη, κασλόριον, ἀβρότονον, σλύραξ, βδέλλιον, σίλφιον, σλαφὶς ἄνευ γιγάρτων, σλροβίλια, ὀμφάκιον, ἀρισλολοχία, χαλβάνη,
20 πράσιον, ἠρυγγίου ῥίζα.

μ'. Ὅσα τοὺς νεφροὺς ἐκκαθαίρει.

Τὰ τμητικὰ πάντα, ἀρνογλώσσου ξηροῦ αἱ ῥίζαι καὶ τὰ φύλλα 1

Ch. 37; l. 1. κάπνιος A; καπνιός BP; καπνειός F. — Ch. 38; l. 5. πράσιον Codd. Cf. t. II, p. 567. — Ch. 39; l. 18-19. σίλφιον, ὕσσωπον, σλαφὶς B P. — 19. ἀρισλολοχία μακρά F.

καὶ ὁ καρπὸς, ἀσπάραγος μυακάνθινος, γλυκυσίδης ῥίζα, ἐρέβινθοι, ἀμύγδαλα.

μα'. Ὅσα ἀραιωτικὰ τοῦ δέρματος.

1 Χαμαίμηλα, ἀλθαία, σικύου ἀγρίου ῥίζα, ἔλαιον παλαιὸν, ἀβρότονον κεκαυμένον.

μβ'. Ὅσα ἀνασΊομωτικά.

1 Τὰ δριμέα πάντα, ἀνεμῶναι πᾶσαι, σκόροδον, κρόμμυον, ταύρου χολὴ, ἰρίνου καὶ ἀμαρακίνου ὑποσΊάθμη. 5

μγ'. Ὅσα πυκνωτικά.

1 Ὕδωρ ψυχρὸν, ἀείζωον, ἀνδράχνη, τρίβολος χλωρὸς, ψύλλιον, φακὸς ὁ ἐπὶ τῶν τελμάτων, καὶ ἁπλῶς ὅσα ψύχει μὴ ξηραίνοντα.

μδ'. Ὅσα σηπΊικά.

1 Ἀρσενικὸν, σανδαράκη, χρυσοκόλλα, πιτυοκάμπη, κεδρία, μέλας ἐλλέβορος. 10

με'. Ὅσα καθαιρετικά.

1 Ἐλατήριον, σικύου ἀγρίου ῥίζα, ὤχρα, μανδραγόρας, ἀσσίας πέτρας ἄνθος. Τὰ ὀσΊρεώδη πάντα καυθέντα καθαιρεῖ τὰ ὑπερσαρκοῦντα μετρίως, ἐχῖνοι ὁμοίως ἀμφότεροι καυθέντες σὺν τῷ σώματι παντὶ, καὶ ὁ αἱματίτης λίθος ξηρὸς λειωθεὶς ὡς χυοώδης γενέσθαι, ἰός τε καὶ κύανος καὶ ἡ τοῦ χαλκοῦ λεπὶς καὶ χρυσοκόλλα. 15

μς'. Ὅσα ἐπουλοῖ.

1 ΣτυΊηρία, κηκὶς ὀμφακῖτις, χαλκὸς κεκαυμένος, καὶ μάλισΊα ὁ πεπλυμένος, τὰ τῆς ῥοιᾶς λέμματα ξηρὰ, σκωρία μολίβδου, λιθάργυρος, μολίβδαινα, μόλιβδος κεκαυμένος, κήρυκες, τὰ ὀσΊρεώδη

Ch. 41; l. 3. Χαμ. ἄνηθα, ἀλθαίας κύαμος BFP. — Ch. 46; l. 17. ὁ om. BP; Χαμ. ἀνθέμια A. — Ch. 45; l. 15. AF.

πάντα, πορφύραι, ὕελος, κίσηρις, σπεκλάριον, γύψος κεκαυμένη, ψιμμίθιον, πομφόλυξ, σπόδιον, χρυσοκόλλα, σλίμμι κεκαυμένον, διφρυγὲς, σαρκοκόλλα. Ταῦτα τὰ προειρημένα κἂν ἐπιπάτλῃ τις 2
τοῖς ἕλκεσιν, ἐπουλούντων καλῶς πειράσεται· μετὰ δὲ τοῦ δάκνειν
5 χάλκανθον κεκαυμένον, καδμεία, λεπὶς χαλκοῦ καὶ σιδήρου, [καὶ μᾶλλον] σλομώματος, ὅ τε ἰὸς καὶ ἡ ἄσβεσλος κεκαυμένη καὶ πεπλυμένη.

μζ'. Ὅσα ἑλκοῖ ἐπιπολαίως.

Κυνοσβάτου φύλλα, τεύτλου, σκόροδον, γλήχων, ὕσσωπον, ὀρί- 1
γανον, σηπίας ὄσλρακον, ἀσφοδέλου ἡ ῥίζα, σελίνου σπέρμα, καὶ
10 τῶν ἁλυκῶν καὶ δριμέων καὶ πικρῶν.

μη'. Ὅσα καυσλικά.

Κανθαρὶς, διφρυγὲς, τρὺξ κεκαυμένη ὄξους, ἀνεμώνη ἡ τὸ φοι- 1
νικοῦν ἄνθος ἔχουσα, σκόροδον, τέφρα συκίνη, νίτρον ὀπλὸν, χαλκὸς κεκαυμένος, σλυπληρία, κήρυκος ὄσλρακον κεκαυμένον, κεφαλαὶ μαινίδων, ἀρσενικὸν, κάχρυ, σλαφὶς ἀγρία, κόκκος κνίδιος, πυ-
15 ρέθρου ῥίζα, νᾶπυ· τίτανος ἡ μὲν ἄσβεσλος σφοδρῶς, καὶ ἡ σβεσθεῖσα δὲ ἐσχαροῖ, ἡ χρονία δὲ οὐκέτι, θερμαίνει δὲ ἔτι καὶ διατήκει τὰς σάρκας.

μθ'. Ὅσα ἑλκτικά.

Ἀνεμῶναι πᾶσαι, ἀναγαλλίδες ἀμφότεραι, δίκταμνον, ἐρέβινθοι, 1
θαψία, κυκλάμινος, ναρκίσσου ἡ ῥίζα· πρόπολις ἰσχυρῶς· ζύμη,
20 κόπροι πᾶσαι, σαγαπηνὸν, ὀποὶ ὅ τε κυρηναϊκὸς καὶ ὁ μηδικὸς, σιλφίου ὀπὸς καὶ ἡ ῥίζα· σπάρτου ὅ τε καρπὸς καὶ ὁ τῶν ῥάβδων χυλὸς γενναίως· τερμινθίνη μᾶλλον τῶν ἄλλων ῥητινῶν· θεῖον, κόπρος βοῶν, καὶ μᾶλλον τῶν ὀρόβους ἐσθιόντων, καλαμίνθη καταπλασσομένη, κόσλος· ἰξὸς ἰσχυρῶς ἕλκει.

5. χάλκανθος κεκαυμένη BFP. — 5-6. l. 9-10. καὶ τὸ τῶν A. — Ch. 48; l. 11. [καὶ μᾶλλον] Gal.; om. Codd. — Ch. 47; ὄξους om. B text. FP.

ν'. Ὅσα διαφορητικά.

1 Ἀβρότονον κεκαυμένον, ἀγαρικὸν, ἀδίαντον, αἰγίλωψ· ἀκαλήφης ὁ καρπὸς καὶ τὰ φύλλα ἱκανῶς· ἀκτέα, ἄνθεμις, ἀνίσου σπέρμα, ἀριστολοχίας ἡ ῥίζα, καὶ μᾶλλον ἡ στρογγύλη, ἀσφοδέλου ἡ ῥίζα, καὶ μᾶλλον καυθείσης ἡ τέφρα, ἀτράφαξυς, βολβὸς, βράθυ, βρύον τὸ καὶ σπλάχνον, δαῦκος ἡ πόα, ἔβισκος ἢ ἀλθαία, ἔλαιον γλυκὺ 5 παλαιὸν καὶ τὸ ῥαφάνινον, θαψία· καλάμου φραγμίτου ὁ φλοιὸς καυθεὶς ἱκανῶς· κράμβη, κρίνου τὰ φύλλα καὶ ἡ ῥίζα, κυτίσου τὰ φύλλα, λάδανον, λινόζωστις, μαλάχη ἀγρία, μαστίχη χία, μέλι, περσικῆς οἱ βλαστοὶ καὶ τὰ φύλλα, ῥοδοδάφνη, ὄλυνθοι, ὀποβάλσαμον· ὀπὸς κυρηναϊκὸς σφοδρότατα· παλιούρου τὰ φύλλα καὶ ἡ 10 ῥίζα, πήγανον, πίσσα, πράσιον, τερμινθίνη, ῥόδινον ἔλαιον, ῥύπος ὁ ἀπὸ τῶν ἀνδριάντων, πάτος, σάμψυχον, σικύου ἀγρίου ἡ ῥίζα, σμύρνα, τῶν ἰσχάδων αἱ λιπαραί· τὰ τῶν ἐρινεῶν μᾶλλον· τεῦτλον χωρὶς τοῦ θερμαίνειν· ἰσχυρότερον δὲ τὸ λευκόν· χαλβάνη, ἅλες· οἱ κεκαυμένοι μᾶλλον, [καὶ τούτων ἔτι μᾶλλον] 15 ἁλὸς ἄνθος· λίτρον, ἀλκυόνια πάντα, γῆ σαμία, κύανος· τυρὸς ὀξυγαλάκτινος μετρίως· βούτυρον· πυτία πᾶσα· κόπρος πάνυ· οἴσυπος μετρίως· σάρκες ἐχιδνῶν ἰσχυρῶς· στέαρ λεόντειον τῶν ἄλλων μᾶλλον· ὀστᾶ κεκαυμένα· ἔρια κεκαυμένα, ἐχίνων ἀμφοτέρων ἡ τέφρα. 20

να'. Ὅσα στύφει.

1 Ἀγριελαία, ῥόδα, σχῖνος, ἀχράδος τὸ φυτὸν, σέλινον, ἀείζωον, μήκων, κύτισος, ἀλόη, ἀκαλήφη, γίγαρτα, ἄπιοι, κρόκος, ἀλθαία,

Ch. 50; l. 3. καὶ μ. ἡ στρογγ. Gal.; om. Codd. — Ib. ἀσφ. ἡ ῥ. om. BFP. — 6. παλαιόν] πηγάνινον A. — 7. κυτίσου] κισσοῦ BFP. — 8. μέλι om. BFP. — 10. κυρηναῖος AF. — 11. πίσσα om. BFP. — 12. τῶν om. F. — 13. λιπαρώτεραι A. — 14. ἰσχυρόν Codd. Cf. t. II, p. 585. — 15. [καὶ..... μᾶλλον] om. Codd. Cf. t. II, p. 585. — 16. κύαμος BFP; om. A. — 16-17. ἁπαλὸς τυρὸς ὀξυγ. BFP; ἁπ. τ. A. Cf. t. II, p. 585. — 17-18. βούτυρον..... μετρίως om. F. — 19. ἔρια κεκ. om. F. — Ch. 51; l. 21. ἀχράδες BFP.

τέρμινθος, βάλανος, ὑοσκύαμος, κισσὸς, νυμφαία, φοίνικες, ᾠοῦ τὸ χλωρὸν ὀπῖὸν, ϖαλίουρος, ἱππούρεως ῥίζα, αἷμα ϖεπηγὸς, κυπέρις, οἰνάνθη, κράμβη ἐξεψηθεῖσα, ϖυτία λαγωοῦ, σπόγγος κεκαυμένος, ῥάμνος. Πολλὰ δὲ καὶ ἄλλα ἐσῖὶ σῖύφοντα ϖᾶσιν ὄντα 2
5 γνώριμα.

νϛ'. Ὅσα γάλα γεννᾷ.

Εὔζωμον, μάραθρον, ἄνηθον, λέγω δὲ τὰς ϖόας ἔτι χλωρὰς καὶ 1
ὑγράς· σμύρνιον ὁμοίως· σέλινον, σήσαμον, σικύου σπέρμα, κάχρυ, σμύρνα, ϖολυπόδιον, γλαυκὸς ἐγκέφαλος, ὑγρὸν μάραθρον, βρυωνίας ῥίζα, κρῆθμον, κύμινον.

νγ'. Ὅσα ϖρὸς ἐπίσχεσιν ἐμμήνων ϖοιεῖ.

10 Πινόμενα μὲν βράθυ, μῆον, ἶρις, ϖήγανον, καλαμίνθη, γλήχων, 1
δίκταμνον, ἄσαρον, κόσῖος, κασία, ἀρισῖολοχίαι. Μίσγεται δὲ ἑκά- 2
σῖῳ ἢ ϖυρῶν ἀφέψημα, ἢ μαράθρων ἑφθῶν ὕδωρ, ἢ ϖῖισάνης χυλός· καταπλάσσεται δὲ μάραθρον, μελάνθιον, σμύρνα, κριθῶν βεβρεγμένων χύλισμα, μυὸς ἄφοδος, ἀνδράχνη, σῖέαρ χήνειον,
15 ϖῖελέας τὰ φύλλα, κηρὸς, ϑεῖον, ταυροκόλλα. Προσθετὰ δὲ σῖέαρ 3
ἐλάφου ϖρόσφατον, ὄνου καὶ χηνὸς, τρὺξ ξηρὰ κεκαυμένη, χολὴ ταύρου, ἅλες, ἔλαιον, κύπερος, ἀφρὸς νίτρου, σῖύραξ, ἀψίνθιον, ἀρτεμισία, σάμψυχον, ἐλλέβορος μέλας, κόκκος κνίδιος, λινόζωσῖις, κύμινον, τῆλις, σῖαφὶς ἐκγιγαρτισθεῖσα, κεδρίδες.

νδ'. Ὅσα γεννητικὰ σπέρματος καὶ ϖροκλητικά.

20 Τῶν ἐδεσμάτων τὰ τρόφιμα καὶ φυσώδη· φάρμακα δὲ ὅσα ϖνευ- 1
ματώδη καὶ ϑερμά. Βολβοὶ μὲν οὖν, ἐρέβινθοί τε καὶ κύαμοι καὶ 2
σῦκον ἐδέσματα ϖολύσπερμα· σκίγκος δὲ καὶ σατύριον φάρμακα·

2. ῥίζα σὺν τῇ ϖόῃ BP. — 2-3. κυπέρος BP; κύπερος F; κύπρος A. Cf. t. II, p. 587. — 3. ἑψηθεῖσα BFP. — 4. ὄντα om. A. — Ch. 52; l. 6-7. λέγω..... ὑγράς] ὄντα χλωρά BP. — 8. γλαύξ Codd. Cf. t. II, p. 596. — Ch. 53; l. 11. ἀρισῖολοχία ABP. — 15. ταύρου χολή Codd. — 16. ὁμοῦ Codd. — 16-17. χολὴ τ. om. Codd. Cf. t. II, p. 597. — 17. ἀφρόνιτρον Codd. Cf. t. II, p. 597. — Ch. 54; l. 22. καὶ σκ. δὲ καί F; καὶ σκίγγος καί P. — Ib. φάρμακον Codd.

ροφαὶ δὲ ἅμα καὶ φάρμακα τὸ εὔζωμον, τό τε τῆς λύγου σπέρμα.

νε'. Ὅσα ἐπέχει σπέρμα.

1 Ὅσα ψύχειν πέφυκεν ἐδέσματά τε καὶ φάρμακα παχύνοντα καὶ πηγνύντα ἐπέχει τὸ σπέρμα, οἷον θριδακίναι καὶ βλίτα, ἀτράφαξυς, κολοκύνθη, μόρα, μηλοπέπονες, σίκυες· ὅσα δὲ ξηραίνει, 5 τὴν ἀρχὴν οὐδὲ ἐπιτρέπει γεννᾶσθαι τὸ σπέρμα, κἂν θερμὰ τὴν φύσιν ὑπάρχῃ, καθάπερ τὸ πήγανον· εἰ δὲ μὴ θερμαίνοι, πολὺ μᾶλλον, ὡς ἡ νυμφαία.

νς'. Περὶ ἐκλογῆς τῶν ἁπλῶν φαρμάκων.

1-2 Ἀγαρικὸν ἄμεινον τὸ κτηδόνας ἔχον εὐθείας. Ἀκακίας ἐκλέγου τὸ
3 ἠρέμα κιρρὸν καὶ εὐῶδες. Ἀλόης ἐκλέγου τὴν λιπαρὰν καὶ ἄλιθον, 10 σπίλβουσαν, ὑπόξανθον, εὔθρυπτον, ἡπατίζουσαν, ῥαδίως δὲ ὑγραινομένην, ἐπιτεταμένην τῇ πικρίᾳ, τὴν δὲ μέλαιναν καὶ δυσκάτα-
4 κτον ἀπεκλέγου. Ἐγκριτέον ἀμμωνιακὸν θυμίαμα τὸ ἄξυλον καὶ λιβανωτίζον τοῖς χόνδροις, καθαρὸν, πυκνὸν, μηδεμίαν ἔχον ῥυπα-
5 ρίαν, καστορίζον τῇ ὀσμῇ, πικρὸν τῇ γεύσει. Ἄμωμον ἐκλέγου τὸ 15

56. DU CHOIX DES MÉDICAMENTS SIMPLES.

1-2 Le meilleur agaric est celui dont les lames sont droites. Choisissez
3 l'acacia modérément jaune et de bonne odeur. Préférez l'aloès qui ne contient pas de pierres, gras, resplendissant, jaunâtre, facile à casser, ressemblant au foie, qui s'humecte facilement, et dont l'amertume est très-prononcée; mais rejetez celui qui est noir et se casse difficilement.
4 Il faut préférer la gomme ammoniaque pure et compacte, exempte de toute impureté, ne contenant pas de petits morceaux de bois, dont les grains ressemblent à ceux de l'encens, dont l'odeur rappelle celle du
5 castoréum et qui est douée d'un goût amer. L'*amome* qu'on doit pré-

CH. 56; l. 12-13. δυσκατάκοιτον Codd. — 13. Ἐγκριτέον Diosc.; Σμύρνιον Codd. — 15. καστορίζον Diosc.; κορύζον A 1ª m.; κορίζον A 2ª m. B F P. — Ib. ἄξυλον Diosc.; ξύλον Ib. Ἀμμωνιακόν Codd.

πρόσφατον καὶ λευκὸν ἢ ὑπέρυθρον, οὐκ ἐκπεπιεσμένον ἢ συμπε-
πλεγμένον, λελυμένον δὲ καὶ διακεχυμένον, σπέρματος πλῆρες ὁμοίου
βοτρυδίοις, βαρὺ σφόδρα καὶ εὐῶδες, δίχα εὐρῶτος καὶ δριμύτλον
τὴν γεῦσιν, ἁπλοῦν τὴν χρόαν καὶ μὴ ποικίλον. Δολοῦσι δέ τινες 6
5 αὐτὸ τῇ ἀμωμίδι ἐμφερεῖ οὔσῃ· ἀεὶ δὲ τὰ θραύσματα παραιτοῦ
ἐκλεγόμενος τοὺς ἀπὸ μιᾶς ῥίζης κλάδους. Ἀσπάλαθος καλός ἐστιν ὁ 7
βαρὺς καὶ μετὰ τὸ φλοϊσθῆναι ὑπέρυθρος ἢ πορφυρίζων, πυκνὸς,
εὐώδης, πικρίζων τῇ γεύσει. Ἄσφαλτός ἐστι καλὴ ἡ πορφυροειδῶς 8
στίλβουσα, εὔτονος τῇ ὀσμῇ καὶ βαρεῖα· ἡ δὲ μέλαινα φαύλη· δολοῦ-
10 ται γὰρ πίτης μιγνυμένης. Ἀψίνθιόν ἐστι βέλτιον τὸ ἐν Πόντῳ 9
καὶ Καππαδοκίᾳ γεννώμενον· δολοῦται δὲ τὸ χύλισμα ἀμόργῃ ἑψη-
θείσῃ καὶ μιγνυμένῃ. Βδέλλιόν ἐστι δόκιμον τὸ τῇ γεύσει πικρὸν, 10
ταυροκολλῶδες, λιπαρὸν διὰ βάθους καὶ εὐμάλακτον, ἀμιγὲς ξύλων

férer est récent et blanc ou rougeâtre, non amassé, ni soumis à l'expression, d'une contexture lâche et déchiquetée, plein de semences ressemblant à de petites grappes de raisin, très-pesant, d'une odeur agréable et exempt de moisissure, d'un goût âcre et d'une couleur uniforme, mais non variée. Quelques-uns falsifient cette drogue avec l'amomis, 6
qui lui ressemble; rejetez toujours les morceaux cassés, et tenez-vous-en aux branches qui proviennent d'une seule souche. Le genêt antho- 7
clade de bonne qualité est lourd, et, quand on a enlevé l'écorce, il présente une couleur rougeâtre ou tirant sur le pourpre; il est compact, odoriférant et d'un goût amer. Le bon bitume est resplendissant à la 8
manière du pourpre, et présente une odeur forte et incommode; le bitume noir ne vaut rien, car on l'a falsifié en y ajoutant de la poix. La 9
meilleure absinthe est celle qui croît dans le Pont et dans la Cappadoce; on en falsifie le suc en y mêlant du marc d'huile cuit. On estime le bdel- 10
lium dont le goût est amer, qui ressemble à la colle de taureau, qui est gras à l'intérieur, qui se pétrit facilement, qui ne contient ni petits morceaux de bois, ni impuretés, et qui répand, si on le met au feu,

1. οὐκ ἐκπεπ. Aët.; καὶ πεπιεσμ. Codd.; οὐ πεπιλημένον Diosc. — 3. βοτρυδίοις Diosc.; ὀστρειδίοις F; ὀστριδίοις BP. — 5. παραιτοῦ Aët.; om. Codd. — 6. παρεκλεγόμ. Codd. — 7. καί] ὁ A. — 9. ἐν τῇ ὀσμῇ Codd. — 10. βέλτιστον BP. — 11. γενόμενον BP. — 13. καί] δέ A.

11 καὶ ῥυπαρίας, εὐῶδες ἐν τῇ θυμιάσει, ἐοικὸς ὄνυχι. Ἐλλέβορον μέλανα ἐκλέγου τὸν εὔτροφον, λεπτὴν ἔχοντα τὴν ἐντεριώνην, δριμὺν τῇ γεύσει καὶ πυρώδη· τοιοῦτος δέ ἐστιν ὁ ἐν τῷ Ἑλικῶνι καὶ Παρ-
12 νασῷ καὶ Αἰτωλίᾳ φυόμενος. Εὐφόρβιον ἐκλέγου τὸ διαυγὲς καὶ
13 δριμύ. Ἰξὸς καλός ἐστιν ὁ νέος καὶ λεῖος, πρασίζων τῷ χρώματι κατὰ τὰ ἐντὸς, ἐκτὸς δὲ ὑπόξανθος, μηδὲν ἔχων τραχὺ ἢ πιτυρῶδες· συνάγεται δὲ ἐκ δρυὸς τῆς ἐχούσης ὅμοια τὰ φύλλα πύξῳ, καὶ
14 ἐκ μηλέας καὶ ἀπίου καὶ ἐξ ἄλλων δένδρων. Ἰχθυοκόλλα καλή ἐστιν
15 ἡ λευκὴ, ὑπόπαχυς, οὐ ψωρώδης, τάχιστα τηκομένη. Κάλαμός ἐστιν ἀρωματικὸς κάλλιστος ὁ κιρρὸς, πυκνογόνατος, καὶ εἰς πολλοὺς σκινδαλάμους θραυόμενος, γέμων ἀραχνίων τὴν σήραγγα ὑπολεύ-
16 κων· ἐν δὲ τῇ διαμασήσει γλίσχρος, στυπτικὸς, ὑπόδριμυς. Καρδάμωμον ἄριστον τὸ ἐκ τῆς Ἀρμενίας κομιζόμενον· ἐκλέγου δὲ τὸ
17 δύσθραυστον, πλῆρες, μεμυκός. Κασίαν ἐκλέγου τὴν ἔγκιρρον, εὔχρουν, κοραλλίζουσαν, στενὴν, λίαν μακρὰν καὶ παχεῖαν, τοῖς

11 une odeur agréable pareille à celle de l'*onyx*. Préférez l'ellébore noir massif, à moelle tenue, d'un goût âcre et brûlant; tel est celui qui croît
12 sur l'Hélicon, sur le Parnasse et dans l'Étolie. Choisissez l'euphorbe
13 transparent et âcre. La bonne glu doit être récente et lisse, vert-poireau à l'intérieur et jaunâtre en dehors, sans aucune aspérité ou inégalité ressemblant au son; on la récolte sur l'espèce de chêne dont les feuilles sont semblables à celles du buis, sur le pommier, le poirier et d'autres
14 arbres encore. La belle colle de poisson est blanche, d'une certaine
15 consistance; elle est sans érosions et prompte à fondre. Le meilleur roseau odorant est de couleur orange, avec des nœuds rapprochés, se cassant en un grand nombre de petites esquilles, ayant le canal comme rempli de toiles d'araignées blanchâtres; quand on le mâche, il doit être
16 visqueux, astringent et légèrement âcre. Le meilleur cardamome vient
17 d'Arménie; choisissez celui qui est difficile à casser, plein et fermé. Que la fausse cannelle ait une belle couleur orange, ressemblant à celle du corail; qu'elle soit mince, très-longue et épaisse; que les petites cavités

συμμαλάσσεται τῇ ἐμπλάσΙρῳ μετὰ τὸ χωρισθῆναι τοῦ πυρός. Ἀλόη 36
ἐμπάσσεται μετὰ τὴν ἕψησιν. Ὀπὸς μήκωνος ἐμβρέχεται πρὸ μιᾶς 37
ἡμέρας ἐν ὕδατι ὀλίγῳ, εἶτα λεαίνεται ἐν θυίᾳ, κἄπειτα οὕτως αὐ-
5 τοῦ καταχεῖται ἡ ἔμπλασΙρος. Θαψία ἐμπάσσεται τελευταία [ἢ 38
λειοῦται ὑγρῷ τινι.] Βδέλλιον λειοτριβηθὲν ἐμπάσσεται μετὰ τὸ 39
ἀρθῆναι τὴν ἔμπλασΙρον ἐκ τοῦ πυρός· εἰ δὲ λιπαρὸν τυγχάνον μὴ
δύναιτο λειωθῆναι, παραπλησίως τῷ σαγαπηνῷ κόψαντες αὐτὸ καὶ
ποιήσαντες ἐμπλασΙῶδες οὕτω συμμαλάξομεν τῇ ἐμπλάσΙρῳ μετὰ
10 τὴν ἕψησιν. Λιβανωτὸς καὶ μάννα ἐπὶ τέλει τῆς ἑψήσεως ἐμπάσσε- 40
ται. Σμύρνα λειωθεῖσα ἢ σὺν ὀλίγῳ μέλιτι, ἢ σὺν ὄξει ἢ ὕδατι [ἢ 41
οἴνῳ], ἐὰν ὑγρὸν ἐπιδέχηται ἡ ἔμπλασΙρος, οὕτως ἐμβάλλεται συν-
τετελεσμένης τῆς ἑψήσεως. Σπερμάτων δὲ καὶ ῥιζῶν καὶ βοτανῶν 42

l'avoir pétri. On pile le sagapénum dans un mortier, et, quand il est de- 35
venu mou, on le pétrit avec l'emplâtre, après que celui-ci a été enlevé du
feu. On ajoute l'aloès en en saupoudrant l'emplâtre après la cuisson. 36
On fait macérer le suc de pavot un jour d'avance dans un peu d'eau; 37
ensuite on le triture dans un mortier, et, après cela, on verse dessus l'em-
plâtre. La thapsie est ajoutée en dernier lieu, et cela, en saupoudrant, 38
ou bien on triture cette substance avec quelque liquide. On met le 39
bdellium, après l'avoir porphyrisé, en en saupoudrant l'emplâtre, quand
on a enlevé le poêlon du feu; mais, quand ce médicament ne peut pas
être porphyrisé parce qu'il est gras, on le pile comme le sagapénum,
et, quand il a acquis ainsi une consistance emplastique, on le pétrit avec
l'emplâtre, quand la cuisson est achevée. L'encens et la poussière d'en- 40
cens sont ajoutés, en saupoudrant, vers la fin de la cuisson. On ajoute 41
la myrrhe quand la cuisson est achevée, après avoir trituré ce médica-
ment avec un peu de miel, ou avec du vinaigre, de l'eau ou du vin,
si, toutefois, la nature de l'emplâtre permet qu'on y ajoute un liquide.
Il n'y a pas une seule herbe, graine ou racine, qui supporte la cuisson; 42

1. δέ om. A. — 3. μετὰ τὴν..... ἐμβρέχεται om. F. — 5. ἐμβάλλεται BP; it. l. 6. — 5-6. [ἢ..... τινι] Paul.; om. Codd. — 7. ὑπάρχον BP. — 9. ἐμπλασΙῶδες BP. — 11-12. [ἢ οἴνῳ] Paul.; om. Codd.

οὐδὲ ἓν ἕψησιν ὑπομένει· λεανθέντων οὖν καὶ μενόντων ἐν θυίᾳ καταχυτέον τὰ τηκτά.

on triture donc ces ingrédients, et on les laisse dans le mortier pour verser l'emplâtre dessus.

1. *οὐδὲ ἕν* Paul.; *οὐδέν* Codd.

ΒΙΒΛΙΟΝ Γ'.

Περιέχει συνθέσεις φαρμάκων τῶν ἐν χρήσει ἡμῖν.

α'. Πυοποιά. — Τὸ βασιλικὸν ἢ τετραφάρμακον. — Κηροῦ, 1
σέατος ταυρείου, φρυκτῆς, πίσσης ἴσα. Ἐὰν θέλῃς αὐτὸ τάχιον 2
συμπέψαι καὶ σαρκῶσαι, συμπλέκεις λιβάνου μέρος ἓν πρὸς μέρη
τοῦ βασιλικοῦ δέκα καὶ δύο, ποτὲ δὲ καὶ ιγ'.

β'. Πυοποιὸς ἐννεαφάρμακος ἄκρως ποιοῦσα καὶ εἰς τὰς κενὰς
συντρήσεις τὰς περὶ θώρακα καὶ σύριγγας μετὰ τὸ ἐκτυλωθῆναι·
ποιεῖ δὲ καὶ πρὸς τὰς ἐν μήτρᾳ σκληρίας, καὶ τὰ ἕλκη τὰ ἐν αὐτῇ
θεραπεύει ἀνειμένη. — Κηροῦ, μυελοῦ ἐλαφείου, σέατος χηνείου, 1
ταυρείου, βουτύρου, τερμινθίνης, μέλιτος, ῥοδίνου ἐλαίου, κικίνου,
πάντα ἴσα. Τινὲς δὲ ἀντὶ τοῦ ῥοδίνου καὶ τοῦ κικίνου ἐνέβαλον σού- 2
σινον ὅ περ ἐστὶ κρίνινον γενόμενον ὡς τὸ ῥόδινον ἀπὸ φύλλων κρί-
νων. Ἀνακαθαίρει, ἐπουλοῖ, σαρκοῖ. 3

γ'. Ἡ διὰ καδμείας ἐπουλωτική. — Καδμείας κεκαυμένης καὶ 1
οἴνῳ κατεσβεσμένης, χαλκίτεως ὀπτῆς ἀνὰ ℔ α', κηροῦ ℔ β', κολο-
φωνίας ℔ β', ἐλαίου μυρσινίνου ℔ α', οἴνου ἰταλικοῦ τὸ αὔταρκες.
Τρίβε χαλκῖτιν, καδμείαν τῷ οἴνῳ ὥστε ὑγρᾶς κηρωτῆς ἔχειν σύ- 2
στασιν, τὸν δὲ κηρὸν καὶ τὴν ῥητίνην τήξας ἐν χύτρᾳ ὀστρακίνῃ
παράχει τὰ μεταλλικὰ μετὰ τοῦ οἴνου, καὶ πάντα λειώσας ἐν θυίᾳ
χρῶ μαλάξας, πρὸς μὲν τὰ χρόνια ἀκράτῳ, πρὸς δὲ τὰ πρόσ-
φατα μετὰ κηρωτῆς ῥοδίνης.

δ'. Ἀτταλικὴ λευκὴ ποιοῦσα πρὸς ἕλκη γερόντων καὶ ἀπαλο-
χρώτων καὶ τῶν ἐχόντων ὑγρὰ τὰ ἕλκη, καὶ ἀντικνήμια ἰᾶται, καὶ

Tit. ἐν χρ. ἡμ.] εὐχρήστων A. — Ch. 1; l. 1, ἢ τετραφ. om. BFP. — 2. σέατος om. BFP. — Ib. ὑγρᾶς φρυκτῆς A. — 4. ποτὲ..... ιγ' om. BP; ἢ καὶ γ' A. — Ch. 2; l. 5. ποι. καί] χρήσιμος A. — 7. δὲ πρός BFP. — 10. πάντων A. — 11. ἔλαιον κρίνινον F. — Ch. 3; l. 14. κατεσκευασμ. BFP. — 14-15. κηροῦ..... μυρσινίνου ℔ α' om. BFP. — 15. οἴνου δὲ ἰτ. BP.

ἀποσύρματα κάλλιστα, καὶ γονάτων ἐπὶ ὧν ὁ περιόστεος γυμνός
1 ἐστιν. — Λιθαργύρου ∠ρ', ψιμμιθίου ∠ρ', κηροῦ λευκοῦ ∠ν', τερ-
μινθίνης ∠κε', λιβανωτοῦ γο γ' · οἱ δὲ γο δ' · στυπτηρίας σχιστῆς
∠ς', πεπέρεως ∠γ', ἐλαίου παλαιοῦ κοτύλας δύο, ὕδατος κοτύλας
2 δύο. Ἕψε τὰ μεταλλικὰ ἐν ἡλίῳ μέχρις ἀμολύντου, καὶ οὕτω βαλὼν 5
κηρὸν καὶ ῥητίνην ἐνώσας ἐπίβαλλε τὸν λιβανωτὸν μὲν πρῶτον,
3 δευτέραν δὲ στυπτηρίαν, καὶ τελευταῖον τὸ πέπερι. Τινὲς δὲ ἀντὶ
πεπέρεως κύπερον βάλλουσιν.

1 ε'. Γαληνοῦ φοινικίνη. — Χοιρείου παλαιοῦ καὶ ἀνάλου στέατος
∠χ β', ἐλαίου παλαιοτάτου ∠χ γ', χαλκίτεως γο. δ', λιθαργύρου ∠χ γ'. 10
2 Τὴν χαλκῖτιν κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ βαλὼν εἰς ἴγδιν
μετὰ τῶν τριῶν λιτρῶν τοῦ ἐλαίου ἐπιμελῶς τρίβε ἕως λειοτάτη
γένηται, εἶτα ἐπέμβαλλε τὴν λιθάργυρον λεπτοτάτῳ κοσκίνῳ καὶ
αὐτὴν σεσησμένην καὶ προλελειωμένην ἐπιμελῶς εἰς ἴγδιν καὶ
συλλείου ἐπὶ πλείονα χρόνον τῇ χαλκίτιδι, καὶ μάλιστα ἐν ἡλίῳ, 15
ὅπως τὸ ἔλαιον ὑγρὸν διαμένῃ · ἐπιβάλλεται δὲ αὐτοῖς τελευταῖον
τὸ στέαρ ἄγον ∠χ β' μετὰ τὸ ἐξυμενισθῆναι, καὶ συλλειώσας ἐπι-
μελῶς βαλὼν εἰς κακκάβην ἕψει κινῶν σπάθῃ φοινικίνῃ ἀφῃρημένῃ
τοῦ φλοιοῦ τοῦ χλωροῦ τοῦ ἔξωθεν αὐτῆς, ἵνα δυνηθῇ τῆς οἰκείας
3 ὑγρότητος μεταδιδόναι τῷ φαρμάκῳ. Ἀρκέσει δὲ εἰς τὴν ἕψησιν 20
τῶν φοινίκων εἷς κλάδος ὡς τῷ μὲν ἁδροτέρῳ μέρει τοῦ ξύλου
χρῆσθαι εἰς τὴν τῆς σπάθης γένεσιν, τῷ δὲ ἑτέρῳ ὅ περ ἦν τῇ
σπάθῃ συνεχὲς, καὶ αὐτῷ ἐξεσμένῳ ὡς λευκῷ γενέσθαι χρήσασθαί
τε δυνηθῆναι εἰς τὸ ἐμβληθῆναι τῷ φαρμάκῳ εἰς λεπτὰ διῃρημένου
4 καὶ κατακεκομμένου αὐτοῦ. Ἐμβληθήσεται δὲ κατὰ ἐκεῖνον τὸν καιρὸν 25
κατὰ ὃν ἂν ἤδη τὸ φάρμακον εἰς σύστασιν ἥκῃ κηρωτῆς συμμέ-

1. περιόστιος BFP. — 2-3. τερεβινθ. BFP. — 3. οἱ δὲ γο α' A; om. BP. — 5. καὶ οὕτω om. BFP. — 6. ἐπίβαλε A. — 8. τοῦ πεπ. A. — Ib. κύπεριν A. — Ch. 5; l. 11. θυίαν BP. — 12. τῶν om. F. — 13. ἐπέμβαλε BFP. — 14. ἰγδίον BP. — 15. σύθλασσον BP. — Ib. ἐπὶ πλ. χρ.] καλῶς BP. — Ib. καὶ μάλιστα om. BP. — 16. διαμείνῃ BP. — 17. μ. τὸ ἐξυμ. om. BP. — 18. ἕψε BP. — 22-23. γένεσιν..... σπάθῃ om. BP. — Ib. τῆς σπάθης F. — 23-25. καὶ..... αὐτοῦ om. BP. — 25-26. καιρὸν ὁ κλάδος κατά BP.

τρου· ἐὰν γὰρ ἀπὸ ἀρχῆς ἐμβάλῃς αὐτὰ, καταναλίσκεται διὰ τῆς ἑψήσεως ὁ χυλὸς αὐτῶν, ὃν βουλόμεθα διαμένειν ἐπὶ πλεῖον διὰ τὴν σλύψιν αὐτοῦ. Καὶ αὐτῆς δὲ τῆς σπάθης ἀποκόπλειν χρὴ τὸ ἤδη 5
ὑπὸ τοῦ φαρμάκου ἀνεξηραμμένον, καὶ τοῦτο μὲν ῥίπλειν, τῷ δὲ
5 καταλοίπῳ μέρει χρῆσθαι, ὅπως ἀπολάβῃ τὸ φάρμακον τῆς ὑγρότητος αὐτῆς. Τοῦτο δὲ χρὴ ποιεῖν καὶ δὶς καὶ τρὶς εἰ ὀρῴης ἀνα- 6
ξηραινομένην τὴν σπάθην. Φανερὸν δέ ἐσλιν ὡς χρὴ τὸν κλάδον τοῦ 7
φοίνικος πρόσφατον εἶναι καὶ αὐτῆς τῆς ἡμέρας κεκόφθαι, ὅπως ἔγχυλος εἴη. Ὅταν δὲ ἑψόμενον τὸ φάρμακον ἀμόλυντον γένηται, 8
10 αὐτῷ μὲν ἐμπλάσλρῳ χρήσῃ κατά τε τῶν ἐναίμων τραυμάτων καὶ τῶν δυσεπουλώτων, καὶ ἐπὶ κόλπων, ἐλαίῳ δὲ διατήκων ἐπὶ τῶν φλεγμαινόντων πάντων χρῶ, ἐν ποδάγραις, ἀρθρίτισιν ἐν παντὶ καιρῷ κατὰ ὃν οὐκ εἰσὶν ὀδύναι σφοδραὶ, ἐν βουβῶσιν, ἐν φύμασιν, ἐν κατακαύμασιν, ἐν χιμέθλαις, ἐν κατάγμασιν, ἐν ῥευματικαῖς δια-
15 θέσεσιν ἁπάσαις. Ἐν τῷ λύεσθαι δὲ ἡ συμμετρία τοῦ φαρμάκου 9
τοιάδε ἔσλω· βραχὺ πλεῖον ἔσλω τὸ φάρμακον τοῦ ἐλαίου, καὶ μᾶλλον τοῦ θέρους, ὡς εἶναι δέκα μὲν οὐγγίας τοῦ φαρμάκου, ἐννέα δὲ τοῦ ἐλαίου.

ς'. Χλωρὰ λιτὴ θεραπεύουσα κοῖλον ἕλκος ἀπερίσλατον τακεῖσα
20 ῥοδίνῳ. — Κηροῦ, φρυκτῆς ἀνὰ ℔ α', ἰοῦ γο. β', ἐλαίου κοτύλας β'. 1
Ποιεῖ πρὸς τοὺς ἁπαλόχρωτας. — Τὸ δίχρωμον. Χαλκοῦ κεκαυ- 2-3
μένου, σλυπληρίας σχισλῆς, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο α', κηροῦ, κολοφωνίας, σλέατος χοιρείου ἀνὰ ℔ α'. Ὄξει τὰ ξηρὰ 4
λείου.

25 ζ'. Τὸ πεντάθετον. — Κηροῦ, ταυρείου, φρυκτῆς, πίσσης, τι- 1
τάνου ἴσα. Ἡ ἔκλυσις· τοῦ φάρμακου γο δ', κηροῦ γο δ' ἢ γ', ἐλαίου 2
℔ α'. Ἀνάκοπλε οἴνῳ ἢ ὄξει ἢ ὕδατι πρὸς τὴν χρείαν. 3

1. αὐτόν BP. — 3. ἀνακόπλειν BP. — Ib. τό ex em.; τῷ ad Eun.; τῶν Codd. — Ib. ἤδη ad Eun.; δή F, δι' BP. — 4. ἐξηρασμένων P. — 4-6. καὶ... αὐτῆς om. BP. — 5. ὅπως ἀπολάβῃ ad Eun.; ὅπως ἂν ἀπολάβῃ F. — 6. καί ante δίς om. BP. — 6-7. ἀναξηραμένην BP. — 8. τῆς ad Eun.; om. Codd. — Ib. ὅπως] ὡς ἄν B. — 13. οὐκ Gal. Aët. Ras.; om. Codd. — 14. χειμέθλαις BP. — Ch. 6; l. 21. ποιοῦσα A. — Ch. 7; l. 26. δ' ἢ om. BP.

1 η'. Τὸ διὰ ὑοσκυάμου ἤτοι ψιτ|άκιον. — Φρυκτῆς, κηροῦ, σ|έατος χοιρείου, ὑοσκυάμου χυλοῦ ἴσα.

1 θ'. Τὸ μυρσινάτον. — Λιθαργύρου γο ς', κηροῦ ℔ α', ἐλαίου
2 μυρσινάτου ℔ β', οἴνου τὸ ἀρκοῦν. — Ἄλλο.] Λιθαργύρου γο α',
μολίβδου κεκαυμένου γο α', συρικοῦ γο β', ἐλαίου μυρσινάτου ℔ α'. 5

1 ι'. Λευκὸν πρὸς τὰ κατακαύματα. — Λιθαργύρου, ψιμμιθίου,
θείου ἀπύρου ἀνὰ γο ς', κηροῦ γο δ', ἐλαίου μυρσινάτου τὸ ἀρ-
κοῦν.

1 ια'. Τὸ κοπ|όν. — Ἰοῦ γο α', λεπίδος χαλκοῦ γο α'. τερμιν-
2 θίνης γο β', κηροῦ γο ε'. Ὁλμοκοπητέον τὸν κηρὸν μετὰ τῆς ῥητί- 1
νης, καὶ ἑνώσας τὸν ἰὸν ἔμπλασσε, καὶ χρῶ πλατύσματι ἰσομε-
γέθει τῷ ἕλκει, καὶ ἐπίλυε παρὰ μίαν.

ιβ'. Ἡ ἄφρα ἔναιμος πρὸς τὰς μεγάλας διαιρέσεις, μάλισ|α
πρὸς τὰς ἐν τῇ κεφαλῇ, πρὸς σύριγγας, κόλπους, κατάγματα· ἁρ-
μόζει καὶ ἡπατικοῖς καὶ σπληνικοῖς· ἀφλεγμάντως κολλᾷ· ποιεῖ 15
καὶ ἐπὶ χόνδρων διακεκομμένων καὶ ὀσ|ῶν θαυμασ|ῶς· ἔτι ποιεῖ
πρὸς ὑποφορὰς καὶ κόλπους· κολλᾷ γὰρ μεγάλως· καὶ ἐπὶ τῶν
ἀποσ|ημάτων, ὅταν κομισάμενος τὸ ὑγρὸν ταύτην ἐπιθῇς· ἔσ|ι δὲ
1 καὶ ἴσχαιμος καλῇ, καὶ μάλισ|α ἐπὶ αἷμα ἀναγόντων. Ἔμπλασσε
δὲ εἰς ὀθόνια δύο, ἓν μὲν ἐπὶ τὸ σ|ῆθος καὶ τὰς πλευρὰς ἐπιτιθεὶς, 20
2 ἕτερον δὲ ἐπὶ τὸ μετάφρενον· παραδόξως ἐπέχει τὸ αἷμα. Ποιεῖ
καὶ πρὸς τὰ κυνόδηκτα καὶ ἀνθρωπόδηκτα, καὶ ὅλως ἀφλέγμαντός
3 ἐσ|ιν, ἐνίκησε τὰς τραυματικὰς πάσας. Λύε χειμῶνος διὰ ἡμερῶν
4 τριῶν, θέρους δὲ κατὰ ἡμέραν. — Κηροῦ, πίσσης, ἀσφάλτου, πι-
τυΐνης ὑγρᾶς ἀνὰ ℔ α', μάννης γο ς', ψιμμιθίου γο δ', χαλκάνθου 25
γο δ', ὀποπάνακος γο β', ἐλαίου ἡμίμναν, οἱ δὲ ἡμίλιτρον, ὄξους

Ch. 11; l. 11. ἔμπλασον BP. — Ch. 12; l. 13. αὕτη πρός A. — Ib. διαιρέσεις Gal.; διαθέσεις Codd. — 14. πρός ante σύρ. Gal.; om. Codd. — 14-15. ἁρμ. δὲ ἡπ. A. — 15. ἀφλεγμάντως Gal. Aët.; ἀφλέγμαντος A; ἀφλέγμαντα F; ἀφλέγματα BP. — 16. διακεκαυμένων BFP. — 17. ὑποφ. Gal.; ἐπιφορὰς BFP; τὰς ἐπιφ. A. — 20. δέ] μέν BFP. — 21. τῶν μεταφρένων BP; μετάφρενον A. — 24. θέρους..... ἡμέραν e N qui habet *in extate autem cottidie*; om. Codd. gr. — 26. ἡμίμναν Gal.; ἡμῆνα ℔ α' F; ℔ α' A; ῥοδίνου ∠6' BP.

κοτύλας β'. Κηρὸν, ἄσφαλτον ἰδίᾳ, ἔλαιον, ὄξους ὀλίγον εἰς χύ- 5
τραν καινὴν βάλλων τῆκε, εἶτα ἐπίβαλλε τὴν πίσσαν καὶ τὴν ῥη-
τίνην· ὅταν δὲ ἡμίεφθος ᾖ, ἄρας τὴν χύτραν καὶ διαψύξας ποσῶς
ἔμπασσε τὸ χάλκανθον διεθὲν ὄξει ἐκ τῶν δύο κοτυλῶν κατὰ μικρὸν
5 μὴ ὑπερζέσῃ· ἅπαν δὲ ἐκχέας ἐλαφρῶς ὑπόκαιε κινῶν. Ὅταν δὲ 6
ἀμόλυντος ᾖ, ἄρας ἀπὸ τοῦ πυρὸς ἔγχει τὸν ὀποπάνακα πρὸ μιᾶς
βεβρεγμένον εἰς μέρος τὸ ὑπολειπόμενον τοῦ ὄξους ὥστε διαχυθῆ-
ναι, εἶτα ἔμπασσε τὸ ψιμμίθιον καὶ τὴν μάνναν ὁμοῦ λελειωμένα
ἱκανῶς, καὶ μικρὸν χλιάνας ἕως ἑνωθῇ, φυλασσόμενος μὴ προσκαῇ
10 ὁ ὀποπάναξ καὶ ἡ μάννα, κατάχει εἰς θυίαν καὶ ἐάσας ψυγῆναι
ἀναμάλασσε.

ιγ'. Πόλλητος γεράνειος· ποιεῖ πρὸς τὰ πεπαχυσμένα ἢ κεχα-
λασμένα καὶ ἐπὶ ὧν κίνδυνος πάρεσιν γενέσθαι, καὶ πρὸς τὰ ῥεύ-
ματα τὰ εἰς ἄρθρον φερόμενα, ἐπὶ ὧν καὶ οἴδησις συμβαίνει, καὶ
15 πρὸς τὰ ὄλισθον ἔχοντα μόρια, καὶ πρὸς τὰ ἠγκυλωμένα ἢ συνδε-
δεμένα, καὶ εἰ ὑπὸ βίας κινηθείη ἐκτοποῦντα ὡς ἐξάκουστον γίνε-
σθαι ψόφον. Ὠφέλιμον δέ ἐστι καὶ ὅταν ἐν ἀγκῶσιν ἢ γόνασιν ἢ
ἄλλῳ τινὶ μορίῳ ἀργὸν ὑγρὸν περιέχηται ἢ πνεῦμα· καὶ γάγγλια
δὲ ἰᾶται, καὶ πᾶσαν συστροφὴν καὶ στεατώματα καὶ ἀθηρώματα,
20 καὶ πᾶν ἀργὸν ὑγρὸν ἢ πνεῦμα συστὰν [ἂν] περιέχηται ἐν χιτῶσιν·
ποιεῖ δὲ καὶ πρὸς ἀνευρύσματα, καὶ χοιράδας καὶ φύματα μαλάσ-
σει, καὶ πάντα τὰ ἐσκληρυσμένα κατατίτρησι καὶ ἐξιποῖ καὶ ῥήσ-
σει καὶ λεπτύνει καὶ κολλᾷ, καὶ τὰ παρειμένα τονοῖ. — Σκευάζεται 1
δὲ οὕτως· ἀνδριάντος χαλκοῦ τοῦ ξέσματος τὸ ῥυπῶδες καὶ ἰῶδες,
25 ὅπερ τοῖς ἐξαλειφομένοις συνίσταται γο κδ', κηροῦ τὸ αὐτὸ, σάνδυ-
κος τὸ ἥμισυ καὶ σανδαράκης τὸ αὐτὸ, τερεβινθίνης τὸ αὐτό· ἐὰν

3. ἄρας ἀπὸ τοῦ πυρός F 1ª m. — Ib. διαψύξας Gal.; διαξύσας Codd. — 4. τό Gal.; τήν Codd. — Ib. καὶ διεθέν AF. — 5. ἐγχέας AF. — Ib. ἱκανῶς ἐλαφρῶς A. — 7. εἰς μέρος.... ὄξους e L qui habet : *in aceto pars quæ remansit; εἰς μέρος τοῦ ὑπολειπομένου ὄξους* Codd. gr. — 8. ἔμπασον F; ἔμπλασον BP. — 9. ἐπιμελῶς A. — 10. ὁ om. AF. — Ch. 13; l. 14. ἄρθρα BP. — 16. ἐκτοποῦντα e conj.; ἐκτυποῦντα Codd. — 20. καὶ πᾶν..... χιτῶσιν om. BP. — Ib. [ἂν] ex em.; om. F. — 26. σανδαρ. ϡ α', τερεβ. ϡ α' BP.

δὲ σκληρότερον ἢ τὸ ξέσμα, τότε τὸ αὐτὸ τῷ ξέσματι τῆς τερεβινθίνης ἐμβαλεῖς· γεράνου πάντα τὰ πλερὰ κεκαυμένα τὸν τρόπον τοῦτον· εἰς καινὴν χύτραν κεραμίαν ἐμβαλὼν τὰ πλερὰ ὅλα, καὶ τὸ πῶμα πηλῷ περιπλάσας μετὰ πάσης τῆς χύτρας, ἔμβαλε τὴν χύτραν εἰς κάμινον ἕως ὁ μὲν πηλὸς ἐκπυρωθῇ, εὑρεθῇ δὲ τὰ πλερὰ, 5
2 ἀναπωμασθείσης τῆς χύτρας, καυθέντα καὶ ἐνωθέντα. Ταῦτα λείου χυοώδη, εἶτα τὸν κηρὸν τήξας ἐπὶ ἀνθράκων ἅμα τῇ ῥητίνῃ ἔμπασσε εἰς αὐτὸν τὴν σανδαράκην καὶ τὴν σάνδυκα λεῖα, καὶ ἀνακίνει ἕως ἂν καλῶς ἀναμιχθῇ, μετὰ ταῦτα δὲ ἐμβαλὼν εἰς ὅλμον τὸ ξέσμα κόπλε εὖ μάλα, ὡς ἀναμιχθῆναι μετὰ τοῦ κηροῦ τὰ ἀναμεμιγμένα 10 καταχεόμενα, εἶτα ἔμπασσε τὰ πλερὰ λεῖα εἰς τὸν ὅλμον, καὶ κόπλε ἐῤῥωμένως ἄχρις ἂν καλῶς ἀναμιχθῇ καὶ ἐμπλασλῶδες γένηται τὸ φάρμακον.

1 ιδ'. Ἡ διὰ δικτάμνου. — Δικτάμνου μέρη εἰκοσιοκτὼ, χαμαιπίτυος μέρη η', χαμαίδρυος μέρη ιϐ', χαμαιμήλου μέρη ιδ', τριφύλλου 15 μέρη δ', πρασίου μέρη ιϐ', σφάγνου μέρη ε', πενταφύλλου μέρη δ', ἀρτεμισίας μέρη δ', κυπέρου μέρη ζ', ἀριστολοχίας ἀδρᾶς μέρη λε', ἴρεως μέρη ζ', πολίου μέρη ιϐ', κενταυρίου μέρη ιϐ', γεντιανῆς μέρη ιϐ', λιϐανωτοῦ μέρη ς', γαγάτου μέρη ζ', λιθαργύρου μέρη ρν', ἐλαίου παλαιοῦ μέρη μη', κηροῦ μέρη ιϐ', ῥητίνης πιτυΐνης ξηρᾶς 20 μέρη λϐ', κολοφωνίας μέρη ν', τερμινθίνης μέρη ιδ', γῆς ἀμπελίτιδος μέρη κϐ', ἢ ἀντὶ γῆς ἀμπελίτιδος πίτλης ξηρᾶς μέρη ιϐ', ἀμμωνιακοῦ θυμιάματος μέρη λε', λεπίδος χαλκοῦ μέρη ιη', χαλκοῦ κεκαυμένου μέρη ιη', προπόλεως μέρη ιϐ', διφρυγοῦς μέρη η', μίλτου μέρη ιϐ', ψιμμιθίου μέρη ιϐ', ἀλόης μέρη ις', χαλκίτεως μέρη ι', 25 χαλκάνθου μέρη κδ', λιϐάνου λευκοῦ μέρη ιϐ', σμύρνης μέρη ζ',
2 χαλϐάνης μέρη κε', ὀποπάνακος μέρη ζ'. Προαναζέσαντα τὸ ἔλαιον

2. ἐμβαλεῖς ex em.: ἐμϐ..... F; ἐμϐάλεις P; ἐμϐάλης B. — 5-6. εὑρεθῇ..... καυθέντα] ἀναπωματίσεις τὴν χύτραν εὑρεθῇ δὲ τὰ πλερὰ κεκαυμένα BP. — 10. ἀναγεγραμμένα BP. — Ch. 14; l. 14. δικτάμνου ποιοῦσα πρὸς πολλὰ πάθη A. — 14-15. χαμαιπ. μ. η' e LN; om. Codd. gr. — 15. ιϐ'] β' A. — 17. λε'] ιε' A; del. ap. F. — 20. πιτ. om. BP. — 21. τερεϐ. BFP. — Ib. ιδ'] κδ' BP. — 23. λ. χ. μ. λη' BP. — 24. μίλτου] ἀμίλου BP. — 25. ις'] λς' A.

ἐπὶ μαλθακοῦ πυρὸς ἐμβάλλειν δεῖ τὴν λιθάργυρον λειοτάτην κατὰ βραχὺ κινοῦντα, ἕως τὴν χρόαν μεταβάλῃ καὶ ἐπὶ ποσὸν συσταθῇ, εἶτα ἐπεμβάλλειν τὴν πίσσαν ἢ τὴν ἀμπελῖτιν γῆν, καὶ ὅταν ἀρχὴν λάβῃ τοῦ συστρέφεσθαι, τὸν κηρὸν ἐμβάλλειν, καὶ μετὰ αὐτὸν τὴν
5 πιτυΐνην καὶ τὴν κολοφωνίαν, εἶτα τὸ ἀμμωνιακὸν τετριμμένον, μετὰ δὲ ταῦτα τὴν λεπίδα τοῦ χαλκοῦ καὶ τὸν χαλκὸν, εἶτα τὴν μίλτον καὶ τὸ διφρυγές, ἐφεξῆς δὲ τὴν χαλκῖτιν καὶ τὸ χάλκανθον καὶ ψιμμίθιον, εἶτα τὸν λιβανωτὸν καὶ τὴν σμύρναν καὶ τὴν ἀλόην, ἐπὶ πᾶσι δὲ τὴν τερεβινθίνην καὶ τὴν χαλβάνην καὶ τὸν ὀποπάνακα. Καὶ ταῦτα 3
10 πάντα ἀναμιχθέντα προσηκόντως καθαίρει τοῦ πυρὸς, καὶ οὕτως ἔμπασσε τὰς βοτάνας λείας κινῶν τῇ σπάθῃ, τελευταῖον δὲ ἐμβάλλειν τὸ χαμαίμηλον. Χρῶ δὲ τῷ φαρμάκῳ πρὸς τὰ νεότρωτα καὶ 4
τὰ παλαιὰ ἕλκη, καὶ πρὸς τὰ ἰοβόλα καὶ λυσσόδηκτα καὶ σκορπιόπληκτα, καὶ πρὸς κονδυλώματα καὶ γάγγλια καὶ χοιράδας καὶ
15 φακοὺς καὶ παρωτίδας καὶ φύματα καὶ σύριγγας καὶ τὰ χειρώνεια καὶ τὰ κακοήθη ἕλκη, πρός τε τὰ ἐν θώρακι πάντα, καὶ τὰς περὶ τὰ σπλάγχνα διαθέσεις καὶ σκληρίας καὶ σκίῤῥους καὶ τοὺς ὑδέρους, καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων καὶ τῶν ὀστῶν τὰ κατάγματα καὶ τῶν ἑλκῶν τὰ δυσίατα καὶ τὰ νομώδη, καὶ πρὸς νεῦρα διακεκομ-
20 μένα καὶ θλάσματα καὶ σηπεδόνας καὶ ἀποσκήμματα καὶ χείμεθλα καὶ ἄνθρακας καὶ ὅσα μαλάξεως δεῖται. Ἀνάγει καὶ ὀστᾶ καὶ σκό- 5
λοπας καὶ ἀκίδας, καὶ τοὺς κόλπους προσίστησι, καθαιρεῖ, σαρκοῖ, ἐπουλοῖ, καὶ τὰς φλεγμονὰς διαλύει. Καὶ τῶν ὀφθαλμῶν τὰ 6
ῥεύματα ἐπιτιθέμενον τῷ μετώπῳ ἵστησιν, ἀνεθὲν δὲ ῥοδίνῳ πρός
25 τε τὰ πυορροοῦντα ὦτα καὶ τὰ ἐν αἰδοίοις καὶ ἕδρᾳ. Ὑποθυμιᾷν δὲ 7
αὐτὸ καὶ ταῖς διὰ ψῦξιν κεκακωμέναις μήτραις καὶ ταῖς δυστοκούσαις· ἐξαγάγοις δὲ ἂν εὐμενῶς τὸ ἔμβρυον ζῶν, οὐδὲν κακώσας, καὶ τὰ καλούμενα δεύτερα, εἴπερ ἐπέχοιτο. Βοηθεῖ δὲ καὶ ταῖς πε- 8

2. μετὰ βάλλη F; μεταβάλλει BP. — 3. ἐπέμβαλλε A. — 7. δέ om. ABP. — 8. ἐ. πᾶσι | ἐπίπασσε F; ἐπίπασον BP. — 15. δέ om. ABP. — 11-12. ἐμβαλεῖν F; ἐμβαλλεῖν BP. — 12. νευρότρωτα BP. — 13-14. σκορπιόπληκτα e N qui habet scorpionis ictu; σπορπιόδηκτα Codd. gr. — 17. σκλ. η σκίῤῥ. BP. — 19. τῶν λοιπῶν ἑλκῶν A. — 20. ἀποστήματα BP. — 22. καθαίρει ABP. — 28. δὲ ταις A.

ριοδικαῖς νόσοις σπληνίον ἐπιτεθὲν τῷ μετώπῳ πρὸ τῆς λήψεως.
9 Καὶ τὰς ἐχίδνας καὶ πάντα τὰ ἰοβόλα ἐν οἴκῳ ὑποθυμιώμενον ἐξε-
λαύνει.

ιε'. Ἡ διὰ λινοσπέρμου ἐκ τῶν Πόλλητος· πρὸς τὰ ἐν θώρακι
πάθη ἁρμότει καὶ μαλάσσει καὶ διαφορεῖ τὰς φλεγμονὰς τῶν νευ- 5
ρωδῶν σωμάτων καὶ πραύνει τὰς ὀδύνας· ποιεῖ δὲ καὶ πρὸς τοὺς
παροξυσμοὺς τῶν ποδαγρῶν, καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων δια-
1 λύει. — Λινοσπέρμου μέρη β', ἀλεύρου κριθίνου μέρη γ', ῥητίνης
κολοφωνίας μέρη δ', κηροῦ μέρη δ', ῥητίνης κυπαρισσίνης μέρη β',
θλάσπεως μέρος α', χαμαιμήλου τὸ ἴσον, καὶ τῆς κυπαρίσσου τῶν 10
σφαιρίων τῶν χλωρῶν τῶν μεμυκότων τὸ αὐτὸ, ἐλαίου παλαιοῦ
2 μέρη β'. Τήξας τὸν κηρὸν μετὰ τῆς ῥητίνης ἐπέμβαλλε τὸ ἔλαιον
καὶ ἀνακίνει τῇ σπάθῃ· μιχθέντων δὲ τούτων καλῶς ἄρας ἀπὸ τοῦ
πυρὸς ἔμπασσε τὰ σφαιρία τῆς κυπαρίσσου λεπτὰ, προσέχων ὡς
μὴ τὸ φάρμακον ἀναζέσαν καὶ ἀνοιδῆσαν ὑπερεκβάλλῃ τῆς χύτρας, 15
ἔπειτα τὸ ἄλευρον, εἶτα τὸ λινόσπερμον, εἶτα τὸ θλάσπι καὶ τὸ
χαμαίμηλον, καὶ μετὰ ταῦτα πάλιν εἰς τὸ πῦρ ἐπιθεὶς ἀνακίνει ἕως
ἂν καλῶς μιχθῇ· ἑνωθέντων δὲ ἐπὶ τέλει τὴν ῥητίνην τὴν κυπαρισ-
σίνην ἔμβαλλε, καὶ τακείσης ταύτης μετέρα τὸ φάρμακον κατὰ ὕδα-
τος εἰς θυίαν, εἶτα μάλασσε καὶ χρῶ. 20

ις'. Πόλλητος ἡ διὰ περιστερεῶνος ἤτοι διὰ τῆς ἱερᾶς βοτάνης
ποιοῦσα πρὸς κεφαλαγίαν παλαιὰν καὶ πρόσφατον καὶ πρὸς ἡμι-
κρανίαν ἐπιτιθεμένη κατὰ τοῦ μετώπου καὶ τῶν κροτάφων· ποιεῖ
δὲ καὶ πρὸς ὀδονταλγίας καὶ ὀφθαλμῶν ῥεύματα, καὶ πρὸς δυσου-
ρίας κατὰ τοῦ ἤτρου ἐπιτιθεμένη, καὶ πρὸς σκορπιοπλήκτους καὶ 25

CH. 15; l. 4. Πόλλητος πρὸς θώρακος πάθη καὶ φλεγμονὰς νεύρων. Πρός A. — 5-6. ὑδερωδῶν F. — 6. τὰς ὀδ. Aët.; om. Codd. — 8. Λινοσπ. ἀλεύρου A. — Ib. μέρη β'] μέρος α' BP. — 8-9. ἀλ... κολ. μ. δ' om. BP. — 8. ἀλεύρου om. A. — 9. μ. δ' post. κολ. Aët.; μέρη λ' A; μέρος α' F. — 12. ἐπέμβαλλε Aët.; ἐπέμβαλε BFP; ἔμβαλε A. — 13. τὴν σπάθην BFP. — 14. τὰ σφαιρία LAët.; om. Codd. gr. — Ib. λεπτά ex em.; λεπτῆς Codd. — 15. ὑπερεκβάλῃ F 1ª m. A. — 16. τὴν θλάσπιν A. — 17. ἐπιτιθεὶς A. — 18. λειωθῇ BP. — 19. ἔμβαλε ABP. — CH. 16; l. 21. περιστερῶν Codd. — 22-23. ἡμίκρανον A.

πρὸς φλεγμονὰς τῶν νευρωδῶν μορίων. — Τῆς ἱερᾶς βοτάνης ἤτοι 1
περισπερεῶνος μέρη ς', ῥητίνης κολοφωνίας μέρη κδ', κηροῦ μέρη δ',
ἐλαίου μέρη β'.

ιζ'. Ἐλεφαντίνη ἤτοι διὰ δορυκνίου ποιοῦσα πρὸς ἄρθρα ἠγκυ-
5 λωμένα καὶ τοὺς πώρους τῶν καταγμάτων· μαλάσσει γὰρ καὶ κω-
λύει τὰς ἡμαρτημένας προσφύσεις, τάς τε χοιράδας τὰς δυσμετα-
βλήτους καὶ τὰ σκιῤῥώματα τὰ δύσπεπλα καὶ δυσπειθῆ· διαχυτικὸν
γάρ ἐστι καὶ μαλακτικὸν καὶ διαφορητικὸν ἐνεργὸν πάνυ· εἰ καὶ
τμῆμα ἐλέφαντος ἐνθείης τῷ φαρμάκῳ περιπλάσας ἕως ἡμερῶν δέκα,
10 μαλθάξαις ἂν ὥστε κάμπτεσθαι· πλείονι δὲ χρόνῳ μείναντα λεπτό-
τερον ἴδοις ἂν ὥσπερ ἱμάντα. — Τὸ δὲ φάρμακον σκευάσειας ἂν 1
οὕτως· δορυκνίου προσφάτου χλωροῦ, ἢ ξηρανθέντος ἐν σκιᾷ μέρη
δέκα, μανδραγόρου τῆς ῥίζης εἴτε χλωρᾶς, εἴτε ξηρᾶς μέρη η', πά-
νακος ῥίζης μέρη ς', ῥητίνης κολοφωνίας μέρη κ', ῥητίνης ὑγρᾶς
15 πιτυΐνης μέρη δ', ὀποπάνακος μέρη β', τερεβινθίνης μέρη ιθ', βδελ-
λίου μέρη β', κηροῦ μέρη ιθ', ὄξους λευκοῦ κοτύλη ἢ καὶ πλέον
ἐὰν δέχηται τὸ φάρμακον. Τὸ δὲ δορύκνιον ἂν ᾖ χλωρὸν, ὅλον ἀπὸ 2
ῥιζῶν ἀνασπασθὲν ἐμβάλλειν εἰς ὅλμον χρὴ καὶ κόπτειν εὐτόνως
παρασπάζοντα κατὰ βραχὺ τοῦ ὄξους· τὰ αὐτὰ δὲ ποιήσεις προσ-
20 εμβάλλων καὶ τὴν τοῦ μανδραγόρου ῥίζαν· τὴν δὲ ῥίζαν τοῦ πάνα-
κος κόψας καὶ σήσας ἰδίᾳ ἔμβαλλε, καὶ ἐπὶ αὐτῷ τὸ βδέλλιον, εἶτα
προκαταθραύσας αὐτὸ ἐν τῷ ὅλμῳ παρασπάζων τοῦ ὄξους κόπτε
εὐτόνως ὡς ἐμπλαστῶδες γενέσθαι, καὶ ἀναμίξας τὰς προπαρα-
σκευασθείσας βοτάνας κόπτε· τὰς δὲ ῥητίνας καὶ τὸν κηρὸν προ-
25 εψήσας ἐπὶ μαλακοῦ πυρὸς ἕως ἂν ἐμπλαστῶδες καὶ ἀμόλυντον
γένηται, ἔμβαλλε τὸν ὀποπάνακα προτετριμμένον καὶ διαλελυμέ-
νον ὄξει, καὶ ταῦτα ἐπικατάχει τοῖς ἐν τῷ ὅλμῳ κοπεῖσιν· κόπτε

2. τοῦ περισπ. A. — Ib. ς' Aët.; ε' A; ϑ' BFP. — Ch. 17; l. 5-6. λύει BP. — 6. χοιρ. καὶ τὰς F. — 7. καὶ τὰ δύσπεπλα καί Codd. — Ib. δυσπαθῆ F. — 11. Τὸ δὲ φάρμ. Aët.; Τὸ φάρμ. BFP. — 13. η'] β' BP. — 16. β'] κ' BP. — Ib. καί om. BP. — 23. ἐμπλαστρῶδες BP. — 24-p. 105, l. 5. κόπτε..... γένηται] ὕστερον ἐπιβαλοῦ τὸν ὀποπάνακα λελειωμένον ἐν ὄξει καὶ ποιήσας τὸ φάρμακον χρῶ BP. — 26. ἔμβαλε F.

δὲ φιλοπόνως ἄχρις ἂν ἑνωθῇ πᾶν τὸ φάρμακον· μετὰ ταῦτα δὲ ἐξελὼν καὶ ταῖς χερσὶν εὐτόνως μαλάξας εἰς ἀγγεῖον κεραμεοῦν καινὸν ἢ χαλκοῦν, ὄξει προϋγράνας, ἔνθες τὸ φάρμακον ἵνα ἀδιάπνευστον μένῃ καὶ μὴ χρονίσαν καὶ ξηρανθὲν ἀσθενέστερον γένηται.

1 ιη'. Ἡ διὰ οἰνάνθης. — Τὴν οἰνάνθην βοτάνην χρὴ λαβόμενον ἀκμαίαν ἔαρος ὥρῃ ῥιζόθεν ἐξερύσαντα χυλὸν ἐξ αὐτῆς ποιεῖσθαι καὶ ξηραίνειν ἐν ἡλίῳ, μετὰ δὲ ταῦτα λαβόμενον ῥητίνης τῆς κολοφωνίας μέρη η' ἐπὶ τοῖσι τεσσαράκοντα, πρὸς δὲ καὶ τῆς ὑγρῆς ῥητίνης τῆς πιτυΐνης μέρη η', κηροῦ μέρη η', ἐλαίου μέρη δ', καὶ τοῦ χυλοῦ τῆς βοτάνης τετριμμένου λείου καὶ διασεσησμένου μέρη ς'.

2 Τὰς ῥητίνας ἅμα τῷ ἐλαίῳ προεψήσας ἐπὶ πυρὸς μαλθακοῦ, ἐπὴν ᾖ ξηρότερον καὶ πέλας τοῦ θρύπτεσθαι, τότε πρόσβαλε τὸν κηρόν· τακέντος καὶ ἀναμιχθέντος [εἰ] πειρηθείης μαλθακωτέρου τοῦ φαρ-

3 μάκου, τὸν χυλὸν ἐπέμβαλε κινῶν τῇ σπάθῃ. Ἐπὴν δὲ συμμιγὲς καὶ ἀμόλυντον γένηται, κατεράσας εἰς ὕδωρ ψυχρὸν ἔστε ἂν ἀποψυχθῇ καὶ μαλθάξας εὐτόνως, χρήσαιο πρὸς τὰ ὁκόσα καθῆραι ἢ λευκῆναι, ἢ λεπτῦναι, ἢ διαφορῆσαι, ἢ πληρῶσαι ἢ ἐπουλῶσαι χρὴ, καὶ πρὸς χοιράδας καὶ φύματα καὶ παρωτίδας καὶ τὰ νεότρωτα καὶ τὰ παλαιὰ ἕλκεα, πληγάς τε καὶ κρούσματα, καὶ τὰ ἐν τοῖς στόμασιν οἰδήματα καὶ τὰ ἐν θώρακι καὶ σπλάγχνοις, καὶ μάλιστα ἡπατι-

Ch. 18; l. 6. δ. οἰνάνθης om. F; δ. οἰνανθέμου BP; δ. οἰνάνθης ποιοῦσα πρὸς χοιράδας καὶ φύματα καὶ παρωτίδας πληγάς τε καὶ κρούσματα ποδῶν A. — Ib. οἰνάνθεμον BP. — Ib. λαβόντας A; λαμβάνειν BP. — 7. ἐν ἔαρος A. — Ib. ὥρα A; ὥραν BP. — Ib. ῥιζ. om. A; καί BP. — Ib. ἐξερρεύσαντα F; ἐκριζώσας BP. — 8. μ. δ. τ.] εἶτα BP. — Ib. λαβόντα A; λαμβάνειν BP; An λαβέσθαι? — Ib. τῆς om. BP. — 9. β' καὶ μ' A; μβ' BP. — 9-10. πρὸς... ῥητίνης τῆς om. BP. — 10. ἐλαίου χ α' A. — Ib. καί] εἶτα BP. — 11-p. 106, l. 28. τετριμμένου... δέ] λελυμένου ἑνώσας ὀλίγον, κατὰ ὀλίγον ἐξάρας τοῦ πυρὸς τίθει εἰς θυίαν κρούων καλῶς εἰς ἕνωσιν καὶ χρῶ BP. — 12. ἐπ' ἄν A; it. l. 15. — 13 ξηρόν A. — Ib. πέλας om. A. — Ib. πρόσβαλε ex em.; προσβάλε A; προσλαβών F. — 14. καὶ τακέντος τούτου καί A. — Ib. [εἰ] e conj.; om. AF. — Ib. πειραθ. A. — Ib. μαλακ. A. — 15. τῇ σπάθῃ ex em.; τὴν σπάθην F. — 16. κατερ. ex em.; κατακεράσας F; βαλών A. — Ib. ἀποψυχθῇ ex em.; ἀποψυχθέν F. — 17. μαλθάξας ex em.; μαλθάξαις F; καὶ μαλάξας A. — Ib. χρῶ A. — Ib. ὁπόσα A. — 20. ἕλκη A. — 21-p. 106, l. 1. καὶ τὰ ἐν θ.... στομαχ. καί om. F.

κοῖς ἢ σλομαχικοῖς καὶ σπληνικοῖς. Ἄρισλον καὶ φλεγμασίης πάσης 4
διακωλυτικὸν, εἰ καὶ μύες φλεγμαίνοιεν. Πρὸς δὲ καὶ λειοποιητικὸν, 5
καὶ τοῖς ποδαγρικοῖς παροξυσμοῖς, καὶ ῥευμάτων ἀναξηραντικὸν,
καὶ τοῖς ἰκτέρῳ κάμνουσιν ἐπιτιθέμενον ἐπὶ τὸ σλέρνον ὀνήϊσλον·
5 ἄγει γὰρ αὐτοῖς ἱδρῶτας τὴν χροιὰν χολοειδέας.

ιθ'. Ἡ διὰ ἀνεμώνης Ἀφροδίτη. — Τῶν ἀνθέων τῆς ἀνεμώνης 1
κεκαθαρμένων ξηρῶν λαβὼν γο η' βάλλε ὄξους δριμυτάτου λευκοῦ
κοτύλας τρεῖς καὶ ἕασον βρέχεσθαι ἡμέραν καὶ νύκτα· μετὰ δὲ ταῦτα
ἀναφυράσας αὐτὰ ταῖς χερσὶν ἔκθλιβε κατὰ βραχὺ ἄχρις ἂν πάντα
10 τὸν χυλὸν ἐκθλίψῃς, εἶτα ῥητίνης κολοφωνίας λαβὼν γο μη', τῆς
δὲ ὑγρᾶς πιτυΐνης γο δ', κηροῦ γο δ', καὶ τοῦ χυλοῦ τῶν ἀνθέων
κοτύλας β', ἐλαίου γο δ'. Τὴν κολοφωνίαν ἅμα τῷ ἐλαίῳ ἑψήσας 2
πρᾴως πυρὶ μαλακῷ, κινῶν τῇ σπάθῃ, μέχρις ἂν πειρωμένῳ σοι
σκληροτέρα φαίνηται μάλλον ἤδη, μετὰ δὲ ταῦτα ἐπέμβαλε τὴν
15 ὑγρὰν ῥητίνην καὶ πάλιν ἕψε ἄχρις ἂν σκληροτέρα γένηται, εἶτα
ἐπέμβαλε τὸν κηρόν· ὅταν δὲ κινῶν ἑνώσῃς αὐτὰ καὶ ἄχρις ἀμο-
λύντου κατασλήσῃς, καθελὼν τὴν χύτραν τοῦ πυρὸς κίνει τὸ φάρ-
μακον τῇ σπάθῃ, ἕως ἂν τοῦ ζέματος λήξῃ· μετὰ δὲ ταῦτα ἔγχει
τὸν χυλὸν κατὰ ὀλίγον παντελῶς, ἵνα μὴ ἀνοιδήσῃ καὶ ὑπερπέσῃ
20 τῆς χύτρας· οὕτω γὰρ μιγνύμενον ποικιλόχροον ἂν γένοιτο. Πει- 3
ρᾶσθαι δὲ τοῦ φαρμάκου χρὴ ἀποσλάζοντα ἐπὶ μαρμάρου ἤ τινος
λείου καὶ σλεγανοῦ, ψυγὲν δὲ δοκιμάζειν, εἰ ἀμόλυντόν τε εἴη καὶ
μὴ προσιζάνον τῷ χρωτὶ μολύνοι, τὴν χρόαν πορφυρᾶ ἐπιτεται-
μένως. Οὕτω δὲ ἔχον προλειήνας εἰς θυίαν κατέρα τὸ φάρμακον· 4
25 ἀποψυγὲν δὲ ἀναμάλασσε ταῖς χερσὶν οὕτως ὡς μὴ ἐκπίπλειν τοῦ
φαρμάκου τὸν χυλὸν, ἀλλὰ κατὰ βραχὺ ἀναλαμβάνεσθαι τὸν ἐκθλι-
βόμενον ὡς παντὶ τῷ φαρμάκῳ ἀναληφθέντα ἑνωθῆναι, καὶ γενέ-
σθαι εὐανθὲς καὶ εὔτονον. Χρῶ δὲ αὐτῷ πρὸς τὰ ἕναιμα καὶ θλά- 5

1. καί post Ἀρ. om. F. — Ib. φλεγμονῆς A. — 2. διαλυτικόν A. — 4. ὠφέλιμον A. — Cu. 19; l. 7. ὀξους δριμυτάτου λευκοῦ Aët.; ὄξους..... F; ὄξους B P. — 10. An λάβε? — 13. τῇ σπάθῃ ex em.; τὴν σπάθην F; σπάθῃ δαδίνῃ Aët. — 14. ἤδη ex em.; ἢ δεῖ F. — Ib. ἐπέμβαλε ex. em.; ἐπεμβάλλειν F. — 23. χρωτί ex em.; χρώματι F. — Ib. πορφυράν F. — 24. ἔχοντα F. — 26. ἀναλαμβάνειν F.

σματα τῆς σαρκὸς, καὶ πρὸς τὰ κακοήθη τῶν ἑλκῶν, καὶ πρὸς τὰ παλαιὰ καὶ ὀχθώδη καὶ συκώδη καὶ δυσκατούλωτα, καὶ πρὸς τὰ τῶν ἰοβόλων δήγματα, καὶ τὰ ἐπὶ τῶν ὀνύχων πτερύγια, καὶ νεῦρα πεπαχυσμένα, εἰ καὶ ἐν ἄρθροις ἢ καὶ χρόνια εἴη καὶ ἐπώδυνα, ἢ καὶ διὰ φλεγμονὴν δυσκίνητα μετὰ ἀλγηδόνος τυγχάνοι, πρός τε σύριγγας καὶ χοιράδας, καὶ τῶν ὀστῶν τὰ ψιλώματα, καὶ γάγγλια καὶ δοθιῆνας καὶ στεατώματα καὶ νομὰς καὶ κόλπους, καὶ τῶν κολικῶν τὰς ἐμπνευματώσεις, καὶ τὰ ὑπὸ ψύξεως ὀδυνώμενα καὶ τὰ πυρίκαυτα, καὶ πρὸς σπλάγχνα καὶ ὑποχόνδρια καὶ στόμαχον, καὶ τὰ ἐν θώρακι, τά τε ἄλλα καὶ τὰ ἀποστήματα, καὶ οἷς αἱμορραγία
6 γίνεται διὰ ῥινῶν πολλὴ καὶ δυσχερῶς στέλλεται. Τούτοις δὲ δεῖ ἐπιτιθέναι πτυγμάτιον κατὰ τοῦ στομάχου, κάλλιον δὲ ποιήσεις
7 καὶ κατὰ τοῦ μετώπου. Πρὸς δὲ τὰ ῥεύματα τῶν ὀφθαλμῶν σπλη-
8 νίον κατὰ τοῦ μετώπου ἐπιτιθέμενον στέλλει. Ἀνιεμένη δὲ ῥοδίνῳ ἀγαθὴ πρὸς τὰ ἐν ἀρχῷ καὶ πόσθῃ ταὶ τἆλλα ἐν οἷς ἀνιεμένων φαρμάκων χρεία.

1 κ'. Αἱμηρή. — Λίθος ἔστι πυκνὸς, βαρὺς, λεῖος, χροιὴν ὅλος αἱμηρὸς, μονόχροος ὂν μηδικὸν καλέουσι· καυθεὶς οὕτως ὡς φλογερὸς γενέσθαι, εἶτα ἀποψυχθεὶς λευκὸς ἂν φαίνοιτο, τριφθεὶς δὲ καὶ λειωθεὶς εὖ μάλα χροιὴν ἀμείβεται· οὔτε γὰρ ἔτι λευκὸς ὁ τέως ἀρχῆθεν πάμπαν αἱμηρὸς, βραχὺ δέ τι παρηλλαγμένος ἐπὶ τὸ ῥοδο-
2 χροώτερον. Τὸν λίθον τουτονὶ τρίψας καὶ διασήσας, ἔπειτα προσμίξας ᾠοῦ τῆς ἀλεκτορίδος τὸ λευκὸν, ἔμπαλίν [τε] καλῶς λειήνας
3 χρίοις τῶν παιδίων τὰ ἕλκη τὰ ἀστόμωτα. Καὶ μήν γε καὶ τὰ ἑρπηστικὰ ἐπιστήσειας ἂν καὶ ξηράνειας καὶ καθήραις, ὁμαλά τε καὶ
4 λεῖα θείης καὶ κατουλώσειας. Τεύξειας δὲ ἂν ἐξ αὐτοῦ φάρμακον ἄριστον, τῆς ῥητίνης τῆς κολοφωνίας λαβόμενος μέρη δ' ἐπὶ τοῖς εἴκοσι, καὶ τῆς ἄλλης τῆς ὑγρᾶς μέρη δ', κηροῦ μέρη δ', ἐλαίου

2. συκώδη] δυσώδη BP. — Ib. δυσεπούλωτα BP. — 5. τυγχάνοι om. BP. — 15. ἀρχῷ] ὄρχει BP. — Cn. 20; l. 18-19. οὕτως... γενέσθαι] λίαν καὶ πυρωθεὶς BP. — 22. τρίψας καλῶς καὶ BP. — 23. ἔμπαλίν... λειήνας om. BP. — Ib. [τε] ex em.; om. F. — 27. τῆς ῥητίνης ex em.; εἰ τῆς ῥητίνης F; ῥητίνης BP. — 27-28. κδ' BP. — 28. δ'] ς' BP. — Ib. δ'] ε' BP.

μέρη γ', καὶ τοῦ λίθου τοῦ αἱμηροῦ μέρη ς'. Τὴν κολοφωνίαν ἅμα 5
τῷ ἐλαίῳ ἐπὶ πυρὸς μαλθακοῦ πράως ἑψήσας, ἔπειτα ἐπενδασάμε-
νος τὸν κηρὸν, τακέντος ἐμπάσας τὸν λίθον, μετὰ δὲ ταῦτα ἐπὰν
πειρωμένῳ σκληρότερον μᾶλλον ἤδη [φαίνηται], ἐπενδάσασθαι τὴν
5 ῥητίνην τὴν ὑγρὰν ἀνακινῶν τῇ σπάθῃ ἕως ἀμόλυντον καὶ εὐμιγὲς
κατασλήσῃς, ὅπως ἐν χρῷ προσίσχηται καρτερῶς ὡς οἷόν τε. Δύνα- 6
μιν δὲ ἔχει τὸ φάρμακον τοῦτο καθαρτικὴν, ξηραντικὴν, ἀνασπα-
σλικὴν, διαφορητικὴν, λεπλυντικὴν, διαχυτικὴν, κολλητικὴν, λευ-
καντικὴν, ἐπουλωτικὴν, φλεγμασίης πάσης διαλυτικὴν καὶ τῶν
10 κατισχνωμένων κάρτα θρεπλικήν· ἀγαθὸν δὲ καὶ πρὸς πλευρῆς
ἄλγος, καὶ τοῖς ὑπὸ σλομάχου βαρυνομένοις διὰ ἀτονίην αὐτοῦ
νυκτὸς ὅλης ἱδρώσσουσιν· ἀναλγέα τε γὰρ καὶ ἧσσον ἱδρωτικὰ
θείη καὶ τοῦ βάρεος ἐπελαφρίσαι, καὶ τὰ περὶ τὸ ἧτρον καὶ τὸν
κτένα ἐπικεχαλασμένα ἢ ἐξῳδηκότα ἰήσαιτο. Τὰς δὲ ἀκροχορδόνας 7
15 πλατύνει καὶ διαχεῖ καὶ διαφορεῖ καὶ πληγὰς καὶ κρούσματα ἀναλ-
γέα τίθησι, καὶ τὰ φύματα ἐκπυΐσκει τε καὶ ῥήσσει. Ἀγαθὸν δὲ 8
καὶ νεοτρώτοις καὶ παλαιοῖς ἕλκεσι, καὶ χοιράσι, καὶ τοῖς ὑπὸ
ψύξεως ἢ ἐπιῤῥοῆς κεκακωμένοις ἀνεθὲν ῥοδίνῳ, πρός τε ὦτα πυορ-
ροοῦντα καὶ τὰ ἐν αἰδοίοις καὶ ἕδρῃ ἕλκεα κράτισλον.

20 κα'. Ἡ διὰ ἰτεῶν ἣν ὁ Μέγης εὗρεν ἀδήκτως ξηραίνουσα καὶ ἐνερ-
γοῦσα πρὸς ἅπαντα τὰ ῥεύματα. — Ἰτέας φύλλα λαβὼν χλωρὰ τεθη- 1
λότα, κόψας ἐν ὅλμῳ, καὶ μετὰ ταῦτα ἐμβαλὼν εἰς χύτραν ὀσλρακίνην
καινὴν ἐπέμβαλλε οἴνου παλαιοῦ λευκοῦ τοσοῦτον ὅσον αὔταρκες
βρέξαι καὶ καταχεῖν τὰ κεκομμένα, ἑψήσας δὲ ἐπὶ πυρὸς μαλθακοῦ
25 ἐπὶ πλείονα χρόνον, μετὰ δὲ ταῦτα πάλιν ἐμβαλὼν εἰς τὸν ὅλμον
καὶ συγκόψας πάνυ, ὀθόνην ὑποτείνας πυκνὴν, ἐνιεῖς εἰς αὐτὴν τὰ

1-7. Τὴν... ἔχει om. BP.— 2-3. ἐπενδεσάμενος F. Conf. l. 4. — 3. ἐπάν e conj.; ἐφθᾶν F.— 4. πειρωμένῳ ex em.; πειρῶ μὲν ὡς F. — Ib. ἤδη e conj.; ἢ δεῖ F. — Ib. [φαίνηται] e conj.; om. F. — 5. ἕως e corr.; ὡς F. — 6. προσίσχηται e corr.; προίσχεσθαι F. — 10. πλευρῶν BP. - 11. ἀλγεῖν F. — 12-16. νυκτὸς... ῥήσσει om. BP. — 12. ἱδρώσσουσιν e conj.; ἱδρώσουσιν F. — Ch. 21; l. 20. ἰτέας A.— Ib. Μέγας Codd. – 23. ἐπέμβαλε AF; εἶτα ἐμβαλὼν BP. — 23-24. λευκοῦ.....κεκομμένα]τὸ ἀρκοῦν εἰς βρέξιν BP. — 24. κατασχεῖν AF.

2 κεκομμένα, καὶ ἀποθλίψας διαπηδῶντα τὸν χυλόν. Μετὰ δὲ ταῦτα λαβὼν τῆς ῥητίνης τῆς κολοφωνίας γο κδ', κηροῦ γο δ', ἐλαίου γο β', καὶ τοῦ τῆς ἰτέας χυλοῦ κο. α' κατασκευασθέντος οὕτω, τὴν ῥητίνην μετὰ τοῦ ἐλαίου ἑψήσας πυρὶ μαλακῷ, ἄχρις ἂν πειρωμένῳ καὶ ἀνατρίβοντι σλερεὰ φανῇ καὶ ἐγγὺς τοῦ θρύπλεσθαι, μετὰ ταῦτα 5
3 ἐπεμβαλεῖς τὸν κηρόν. Ἐπειδὰν δὲ καλῶς ἔχειν φανῇ, λαβὼν ἀπὸ τοῦ πυρὸς τὴν χύτραν, ἐπεμβαλεῖς εἰς αὐτὴν τῆς ἰτέας τὸν χυλὸν
4 κατὰ ὀλίγον πάνυ. Ἔπειτα ἐπιθέντα εἰς τὸ πῦρ ἕψειν χρὴ πράως,
5 ὅπως μὴ ἐκφλογωθεῖσα καυθῇ. Μιχθέντος δὲ τοῦ φαρμάκου τὸν τρόπον τοῦτον, εἰς ἀγγεῖον λίθινον λεῖον ἢ χαλκοῦν χρίσας ἐπί- 10 σλαξον μέρος τοῦ χυλοῦ, ἔπειτα εἰς αὐτὸ καταχέας τὸ φάρμακον, ἀποξύσας καὶ ἀναμαλάξας χρῶ.

1 κϛ'. Τὸ διὰ κηρύκων διαφοροῦν ἀδήκτως. — Λιθαργύρου ∠ις', κηρύκων τέφρας ∠ιζ', ἐλαίου παλαιοῦ κο. α', ψιμμιθίου ∠κ', ῥητίνης τερεβινθίνης ∠ιγ', λιβάνου ∠η', ὕδατος κοτύλαι δ'. 15

1 κγ'. Πρὸς ἀλωπεκίας. — Εὐφορβίου, θαψίας ἀνὰ ∠ϛ', θείου
2 ἀπύρου ∠δ', ἐλλεβόρου λευκοῦ ἢ μέλανος ∠α'. Τούτοις μίγνυε
3 κηροῦ ∠ς' ἢ ε'. Δαφνίνῳ ἐλαίῳ τήξας ἢ παλαιῷ χρῶ τούτῳ ὡς ἰσχυροτάτῳ φαρμάκῳ ἐπὶ τῶν κεχρονισμένων καὶ δυσθεραπεύτων.
4 Θαψίας δὲ μὴ παρούσης τοσοῦτον σλαθμὸν μίξεις ἤτοι καρδάμου 20
5 σπέρματος ἢ εὐζώμου. Κἂν δάφνινον δὲ μὴ ᾖ, ὑγρὰν πίσσαν ἔμβαλλε.

1 κδ'. Ἀδαμαντίου πρὸς ἀλωπεκίας. — Σκορόδων τέφραν μετὰ μέ-
2 λιτος ἔγχριε. — Ἡ διὰ ἰτεῶν ἔναιμος.] Τὴν δὲ διὰ τῶν ἰτεῶν ἔνδοξόν τε καὶ πολύχρησλον οὖσαν καὶ αὐτὴν ὁμοίως ταῖς προειρημέναις 25 ὁ Κρίτων οὕτω γράφει· ἡ διὰ ἰτεῶν ἁρμόζουσα πρὸς τὰ ἔναιμα καὶ ἄρθρα λελυμένα καὶ πρὸς σύριγγας ἐντιθεμένη, καὶ πρὸς

2. βαλών A. — 6. ἐπεμβάλλειν BFP. — 7. ἐπεμβάλλειν F; ἐπεμβάλειν BP. — 8. δεῖ A. — 9. ἐκφλογωθείη καυθείς A. — Ib. δέ] οὖν BP. — Ch. 22; l. 15. κοτ. e L; κύαθοι Codd. gr. — Ch. 23; l. 18. τήξας ἢ παλαιῷ Gal.; τήξας παλαιῷ Codd. — 20. καρδάμου Gal.; καρδαμώμου Codd. — 21. Καὶ εἰ μὴ ᾖ δάφνινον, κὰν ὑγράν BP. — Ch. 24; l. 24. Ἡ..... ἔναιμος ante Σκορόδων (l. 23) Codd. — Ib. δέ om. BP. — Ib. τῶν om. BP. — 26. διὰ τῶν A.

πλαδαρὰς σάρκας, καὶ μάλιστα τὰς ἐπὶ τοῖς ἀκρωτηρίοις. Ποιεῖ 3
καὶ πρὸς ἐρυσιπέλατα, καὶ πρὸς ἄλλας πλείστας διαθέσεις δίχα
κατακαυμάτων. Μίσυος, χαλκίτεως, ἰοῦ, ψιμμιθίου, κηκίδων ἀτρή- 4
των, στυπτηρίας σχιστῆς καὶ στρογγύλης, μελαντηρίας ἀνὰ γο ς',
5 ῥητίνης πιτυΐνης, κηροῦ, πίσσης, ἀσφάλτου, ἰτέας φύλλων ἀνα λ α',
ἐλαίου κο. β' καὶ γο δ', χαλκάνθου γο ς', σιδίων γο ς', ὄξους ξ ς'.
Μετὰ τοῦ ὄξους τὰς ἰτέας προαποβρέξας ἡμέρας τρεῖς ἕψε ἕως λει- 5
φθῶσι ξέσται β', εἶτα προλελειωμένῳ ἰῷ καὶ ψιμμιθίῳ καὶ μελαν-
τηρίᾳ ἐπίβαλλε τὰ φύλλα λελειωμένα ἐπιμελῶς καὶ συλλειοτρίβει,
10 εἶτα τὰ ξηρὰ λεῖα ἔνωσον, εἶτα τὰ τηκτὰ ἐπικατάχει καὶ ἑνώσας
χρῶ.

κε'. Πρὸς ἠλκωμένους καρκίνους πρᾳότατον. — Λιθαργύρου, κη- 1
ροῦ, στέατος χοιρείου ἀνὰ λ α', λεκίθους ᾠῶν ὁπλῶν δέκα, ἐλαίου κο.
η'. Τὴν λιθάργυρον τρίβε μετὰ ὕδατος συμμέτρου παραχέων τι καὶ 2
15 τοῦ ἐλαίου, εἶτα τὰς λεκίθους συλλέαινε, τὸ δὲ στέαρ ἐξινίσας τῆκε
σὺν τῷ κηρῷ καὶ τῇ λειουμένῃ λιθαργύρῳ προσεπιβάλλων καὶ τὸ λοι-
πὸν τοῦ ἐλαίου. Ἡ χρῆσις τοῦ μὲν ἀνεθέντος σὺν ῥοδίνῳ διὰ μότου 3
ἐρεοῦ ἢ λινοῦ, ὡς ἂν ἁρμότειν δοκῇ. Ἀνωδύνου δὲ ὄντος τοῦ ἕλκους, 4
παραπλεκέσθω σμύρνης, ἴρεως, ἀριστολοχίας ἀνὰ ∠γ' ὃ καὶ τοῖς
20 ἀνελκώτοις ἁρμότει.— Ἀδαμαντίου πρὸς φαγεδαινικὰ ἕλκη.] Χλω- 5
ρὰν ἀλθαίαν ἢ ξηρὰν ἀναλαβὼν στέατι τραγείῳ χρῶ. Εἰ δὲ πάνυ 6
ὑγρὰ εἴη τὰ ἕλκη προϋποθεὶς μότα ξηρὰ ἐπιτίθει τὸ στέαρ μετὰ
τῆς ἀλθαίας. Κέχρησο δὲ καὶ ταῖς ἀγωγαῖς τοῦ τριακοστοῦ πέμ- 7
πτου κεφαλαίου.

25 κς'. Πρὸς καρκίνους πάνυ πολλὴν καὶ νομώδη διάβρωσιν ἔχον-

1. τάς] ταῖς A. — 2. ἄλλα πολλὰ πάθη A marg. — 3. καταγμάτων A. — 5. τῶν φ. A. — 8. προλελειωμένῳ ex em.; προλελειωμένων AF; προλελειωμένα BP. Conf. Gal. Aët. — 8-9. μελ. καὶ τὰ ἄλλα ἐπίβαλλε BP. — Cu. 25; l. 12-20. Πρὸς... ἁρμότει] BFP hæc repetunt post cap. 39 (p. 117, l. 19). — 15. ἐξυμενίσας $B^aF^aP^a$. — 16. προσεπιβαλών $B^aF^aP^a$; ἐπιβάλλων A; συνεπιβαλών BFP. — 18. ἐρεοῦ] ἢ σχίνω BP. — Ib. λινοῦ] ἰρίνω BP; πεσσοῦ τοῦ δι' ἐρίου $B^aF^aP^a$. — Ib. ἢ BP. — 19. πρὸς φαγεδαίνας. Πρὸς φαγεδαινικά A. — 21. αἰγείῳ A. — 23. δὲ ἐπὶ ταῖς F; δὲ καὶ ἐπὶ ταῖς B P. — Cu. 26. Hoc caput ante cap. 40 (p. 117, l. 19) repetunt BFP.

τας. Οἷς δὲ καρκίνοις πολλὴ καὶ νομώδης ἐστὶν ἡ διάβρωσις θαυ-
1 μαστὸν ὡς δραστηρίως βοηθεῖ τόδε. — Οἴνου ἀδριανοῦ καλοῦ ξ κ',
ῥοὸς βυρσοδεψικῆς ϟ α', κυπαρίσσου σφαιρίων ϟ α', κηκῖδος ὀμφακί-
2 τιδος ἀτρήτου γο ς', κασίας σπουδαίας γο ς'. Θλασθέντα βρέχεται
3 ἐπὶ ἡμέρας δ', καὶ ἕψεται μέχρι ζέσῃ τρίτον ἢ τέταρτον. Κινεῖν δὲ 5
χρὴ σπάθῃ κυπαρισσίνῃ, εἶτα ταῦτα μὲν ἐκθλιφθέντα ἀναιρεῖται,
εἶτα ἕψεται ἕως μέλιτος σύστασιν λάβῃ, καὶ τότε ἐν ὑελῷ ἀγγείῳ
4 ἀποτίθεται. Ἡ χρῆσις ἀκράτου μὲν ἐπὶ τῶν νεμομένων· εἰ δὲ
παχύτερον εἴη ποτὲ, ἀνυγραίνειν αὐτὸ οἴνῳ χρὴ, μάλιστα ἐπὶ
5 γυναικῶν καὶ γυναικείου κόλπου. Ἔστι δὲ καὶ τῶν ὀδυνῶν παρη- 10
γορητικὸν γάλακτι ἀνιέμενον τοῦτο, καὶ τὰς ἄλλας νομὰς ἰᾶται
θαυμαστῶς.

1 κζ'. Πρὸς ἐντέρων ὀλισθήσεις. — Κυπαρίσσου σφαιρίων τῶν μι-
κρῶν καὶ ἁπαλῶν, σιδίων ῥοιᾶς ἀνὰ γο γ', μέλανος οἴνου ὅσον
2 ἐξαρκεῖ. Ἕψε ἐπιβαλὼν τὸν οἶνον μέχρι παντελοῦς διαλύσεως, εἶτα 15
μετεράσας εἰς θυίαν καὶ τρίψας ἐπιμελῶς ἀναλάμβανε στέατι ὑείῳ
παλαιῷ ὥστε ἐμπλάστρου ἔχειν πάχος, ἔπειτα ἐμπλάσας εἰς ὀθό-
νιον ἐπιτίθει, προαναθλίψας τὸ ἔντερον· ἔξωθεν δὲ τοῦ φαρμάκου
3 μαλακὸν σπόγγον ἐπιτίθει. Τὰς δὲ λύσεις ποιοῦ διὰ τριῶν ἢ τεσ-
σάρων ἡμερῶν. 20

1 κη'. Ἀδαμαντίου πρὸς ἐντεροκηλικούς. — Κηκῖδας, ἁλικα, κνίδης
ῥίζας ἴσα ἑψήσας οἴνῳ πρωτείῳ στύφοντι λείου ἕως γένηται κηρω-
τῆς πάχος, καὶ κατάπλαττε κατὰ τοῦ περιτοναίου, λύων διὰ ἡμε-
ρῶν ἑπτὰ ἕως ἀποθεραπείας· ἀνάσπα δὲ καὶ προστύπου τὴν ὀλίσθη-
2 σιν πρότερον. — Ἄλλο τοῦ αὐτοῦ.] Σταφίδων ἐκγεγιγαρτισμένων 25
3 ϟ α', κυμίνου χυοώδους γο ς', νίτρου γο γ'. Ὁμοίως χρῶ· εἰ δὲ δέοι
διὰ τὰς ἀπὸ τῆς περισφίγξεως περιτάσεις χρίειν, κηρωτῇ σικυωνίᾳ

2. καλοῦ] καλουμένου $B^aF^aP^a$; ἰσχυροῦ BP. — 4. Τὰ σφαιρία θλασθέντα B^aFP^a. — 5. ἄχρι $B^aF^aP^a$. — Ib. τὸ τρίτον ἢ τὸ τέταρτον BB^aPP^a. — 6. ἐκθλιβέντα BB^aPP^1; ἐκλειφθέντα F^a. — 7. ἕως..... λάβῃ] ἕως μέλιτος (sic) B^aP^a; μέχρι μελιτώδους συστάσεως BP. — Ib. ὑελίνῳ BP. — 10. γυναικῶν καί om. $B^aF^aP^a$. — 11. ἐνιέμενον $B^aF^aP^a$. — Ch. 27; l. 19. ποίει BP. — Ch. 28; l. 25. πρῶτον BP. — 27. περιστάσεις BFP.

μασλίχην χίαν ἐπίπατλε. — Ἀδαμαντίου βρογχοκηλικόν.] Κηκί- 4
δων γο α', λίθου πυρίτου ∠γ', πυρέθρου ∠β', νίτρου ∠α', τερμιν-
θίνης ∠β', σιλφίου ∠α', σανδαράκης ∠β', κηροῦ γο γ', πίσσης
γο γ', ἀξουγγίου παλαιοῦ γο β', σλυπληρίας ὑγρᾶς γο α'. Τὰ ξηρὰ 5
5 οἴνῳ ἀθαλάσσῳ καὶ ἑψήματι λειώσας ἐπίβαλε τὰ τηκτά. — Πρὸς
βρογχοκήλας καὶ ὑγροκήλας.] Βδέλλιον πλυάλῳ ἀσίτου δεύσας ὡς 6
ἐμπλασλώδη σύσλασιν ἔχειν χρῶ. — Πρὸς ἐντεροκηλικούς.] Κυπα- 7
ρίσσου τὰ φύλλα καὶ οἱ βλασλοὶ καὶ τὰ σφαιρία τὰ νέα καὶ ἁπαλά·
λειώσας ἔμπλασσε καὶ ἐπιδέσμει. Τινὲς δὲ οἴνῳ ἑψήσαντες πρότε- 8
10 ρον τὰ αὐτὰ ποιοῦσιν· μάλισλα δὲ ποιεῖ τοῖς διὰ ὑγρότητα σώμασι
χαλαροῖς· ξηραίνει γὰρ καὶ τόνον ἐντίθησιν. — Πρὸς ὑγροκήλας.]
Σταφίδων χωρὶς τῶν γιγάρτων ∠η', ἄμμεως ∠κ', νίτρου ἐρυ- 9
θροῦ ∠ι', τερμινθίνης ∠η', μέλιτος παχυτέρου ∠ις'. Ἕψε τὸ μέλι 10
καὶ τὴν ῥητίνην ἕως ἐμπλασλῶδες γένηται, τὰ δὲ ξηρὰ χυοώδη τῇ
15 σλαφίδι λειοτάτῃ συλλειώσας ἐπίβαλε τὸ μέλι, ἔπειτα μαλάξας καὶ
ἑνώσας χρῶ, ἀναλαβὼν τὸν ὄσχεον ταινιδίῳ. Ἡσυχαζέτω ὁ πάσχων 11
μὴ λουόμενος· τὰς δὲ λύσεις παρὰ μίαν ποιοῦ, ἔπειτα σπόγγοις
ἀποπυρία, καὶ πάλιν νεαρὸν ἐπιτίθει.

κθ'. Ἀδαμαντίου πρὸς μελικηρίδας καὶ τὰ ὅμοια. — Κηροῦ γο β', 1
20 τερεβινθίνης γο β', λεπίδος χαλκοῦ γο β', νίτρου γο α', θείου ἀπύ-
ρου γο α', καννάβεως ἀγρίας ῥίζης ξηρᾶς ∠λε'· εἰ δὲ μή, ἀρισλο-
λοχίας σλρογγύλης τὸ αὐτό· κόπρου περισλερᾶς ∠λε', ἐλαίου
παλαιοῦ ϟ α'. Ἐναφέψει τῷ ἐλαίῳ τὰς ῥίζας. 2

λ'. Ὁ κόραξ πρὸς νομάς. — Λιβάνου γο β', ἰοῦ γο δ', τερμινθί- 1
25 νης γο η', χαλκάνθου γο ις', κηροῦ γο η', κηκῖδος γο η', ταυρείου
σλέατος γο η', μέλιτος γο η', ἐλαίου μυρσινίνου γο η', ὄξους τὸ ἀρ-
κοῦν πρὸς ἐκλείωσιν. Μετὰ τὸ βληθῆναι τὰ ἄλλα ἐπεμβάλλεται ὁ 2
λίβανος καὶ καταχεῖται κατὰ τοῦ κακκάβου.

1. χίαν e N; λείαν AF; λίαν BP. — Ib. ἐπιπάσσων BFP. — 3. κηροῦ ∠γ' AF. — 8. καὶ τὰ ἁπαλά BFP. — 15. ἐπίβαλλε τῷ μέλιτι BP. — Cu. 30; l. 25. γο η' post. κηκ.] γο β' BP. — 26. γο η'] γο β' B; γο α' P. — Ib. γο η'] γο β' BP. — Ib. ἐλαίου... η' e LN; om. Codd. gr. — 27. ἐμβάλλεται BP.

λα'. Πρὸς βρογχοκήλας τὸ διὰ ἁλῶν, ἐπὶ ὧν καὶ διαφορῆσαι
1 χρή. — Ἁλῶν κοινῶν πεφρυγμένων ℞ α', ἢ τέφρας πρασίων ℞ α',
2 ψιμμιθίου ℞ α', ἐλαίου παλαιοῦ ℞ α'. Ἕψε ἕως ἀμολύντου.

1 λβ'. Πρὸς φλεγμονὰς ἕδρας. — Ὠοῦ ὀπτοῦ λέκιθος, ὀπίου ὀβο-
λὸς, κρόκου ὀβολὸς, μέλιτος τὸ ἀρκοῦν. 5

1 λγ'. Ἐντατικόν. — Σατυρίου ∠β', εὐζώμου σπέρματος ∠δ', πυρέ-
θρου ∠δ', κάχρυος ∠γ', αἰδοίου ἐλαφείου ∠β', σκίγκου οὐρᾶς ∠β',
εὐφορβίου ∠α', τερμινθίνης γο α', κηροῦ ∠δ', ᾠὰ σπρουθῶν τρω-
γλιτῶν γ', ἀσκαλαβώτας τρεῖς, ἐλαίου δαδίνου ἢ ἰρίνου τὸ ἀρκοῦν.
2 Βρέχονται ζῶντες ἐν ὄξει οἱ ἀσκαλαβῶται ἕως ἡμερῶν μ' τεθέντος 10
τοῦ ἀγγείου ἐν κοπρίᾳ καὶ χωσθέντος.

1 λδ'. Καταγματική. — Πίσσης βρυτπίας ℞ α' γο δ', λιθαργύρου ℞ α'
γο δ', λιβάνου γο η', τερμινθίνης γο η', σπέατος ταυρείου ℞ α' γο δ',
χαλβάνης γο α', ὀποπάνακος γο α', κηροῦ γο δ', ἐλαίου παλαιοῦ
2 ℞ α', ὄξους γο ε'. — Πρὸς ἀπαλόχρωτας καὶ δυσελκεῖς ἐκ τοῦ τε- 15
3 τάρτου τῶν κατὰ γένος πρὸς τῷ τέλει.] Κηροῦ ℞ α', ῥοδίνου ℞ α',
ψιμμιθίου γο η', θείου ἀπύρου γο β', ἁλὸς ἀμμωνιακοῦ γο δ', λε-
πίδος κυπρίας γο β', λιβανωτοῦ γο α', σχισπῆς γο α', ἰοῦ γο α',
4 σιδίων γο α', ἀσβέσπου γο α'. — Ἄλλο.] Ἀντὶ μὲν ἰοῦ ἔχον θείου
τὸ διπλάσιον, ὁμοίως δὲ καὶ λεπίδος τὸ ἥμισυ. 20

1 λε'. Πρὸς φαγέδαιναν. — Ψιμμιθίου γο η', θείου ἀπύρου γο β',
λεπίδος γο α', ἰοῦ γο α', λιβάνου γο α', σιδίων γο α', ἁλὸς ἀμμω-
νιακοῦ γο β', σπυπηρίας σχισπῆς γο α', ἀσβέσπου γο α', κηροῦ ℞ α',
2 ῥοδίνου ℞ α'. Τὸν κηρὸν καὶ τὸ ῥόδινον τήξας ψῦξον, τὰ λοιπὰ
λείου, τὴν δὲ κηρωτὴν ζέσας πρόσβαλλε, καὶ πάλιν ἐπιμελῶς λείου. 25
3 Ἐν τῇ χρήσει πλάτυσμα ποιοῦ ἴσον τῇ ἑλκώσει, ἐπιτίθει δὲ

Ch. 31; l. 1. καὶ ἐφ' ὧν διαφορῆσαι BP. — Ch. 33; l. 6. ∠β'] γο η' BP. — 9. δαφνίνου BP. — Ib. τὸ ἀρκοῦν Paul.; om. Codd. — Ch. 34; l. 13. λιβάνου γο δ' A. — 15-16. ἐκ... τέλει post φαγέδαιναν (l. 21) Codd. gr. et lat. — 16. ῥοδ. ℞ α' om. BFP. — 17. γο η'] γο β' BP. — Ib. θ. ἀπ. γο β' N; om. ABFP Gal. — Ib. ἁλός om. A. — 18. λιβάνου A. — Ch. 35; l. 22. σιδ. γο β' BP. — 23. γο α' BP. — Ib. σπυπ. γο β' BP. — 25. κηρωτήν] ῥητίνην A. — Ib. πρόσβαλε BFP. — 26. δέ] καί BFP.

ἐπάνω σπόγγον ἐξ ὕδατος ψυχροῦ, καὶ ἐπίδει ἐπιτεταμένως ἀλλάσσων τὸ φάρμακον.

λς'. Ἀδαμαντίου πρὸς φαγεδαίνας καὶ παλαιὰ καὶ δυσεπούλωτα. — Βολβοῦ σκίλλης ἑνὸς τὸ ἀπαλώτατον εἰς ἐλαίου ξ α' βαλὼν ἕψε 1
ἕως ἀποτριτωθῇ, καὶ τῷ ἐλαίῳ χρῶ περιχρίων πίερῷ τὸ ἕλκος χωρὶς τοῦ διαμοτῶσαι. Τὸ αὐτὸ καθαιρεῖ, σαρκοῖ, ἀπουλοῖ, τὸ δὲ 2
μεῖζον, οὐδὲ μυῖα ἐπικαθέζεται τῷ ἕλκει, τούτου ἐπιχρισθέντος. — Ἄλλο τοῦ αὐτοῦ πρὸς φαγεδαινικὰ ἕλκη.] Σταφυλίνου φύλλα λεῖα 3
ἐπιτίθει μετὰ μέλιτος, κάλλιον μὲν εἰ ἀγρίου· εἰ δὲ μή, ἡμέρου. — Ἄλλο πρὸς πάντα τὰ κακοήθη ἕλκη καὶ φαγεδαινικά.] Ὀποῦ κυρη- 4
ναϊκοῦ, ὄνυχος ὄνου κεκαυμένου, καρκίνων ποταμίων κεκαυμένων ἀνὰ γο α', μολίβδου κεκαυμένου, καδμείας, λιβάνου ἀνὰ γο ϛ". Τὸν 5
μὲν οὖν ὄνυχα λείου γάλακτι ὀνείῳ, τοὺς δὲ καρκίνους ὕδατι, τὸν δὲ μόλιβδον καὶ τὴν καδμείαν λείου μετὰ ὀξυῤῥοδίνου ἰδίᾳ, εἶτα λειωθέντα ἐπιβάλλων τὸν ὀπὸν καὶ τὸν λίβανον μετὰ μυρσινίνου ἐλαίου ὀλίγου μίξας ὁμοῦ πάντα καὶ ποιήσας ὡς ἀνακόλλημα, καταβρέχων ὀθόνιον ἐπιτίθει, καὶ ξηραινόμενον ἄλλασσε συνεχῶς μολυνόμενον μόνον τοῖς ἰχῶρσιν. — Πρὸς ἕλκη κακοήθη καὶ δυσεπούλωτα καὶ χρόνια καὶ σηπεδονώδη καὶ πλαδαρά.] Λημνία σφραγὶς τὰ τοιαῦτα 6
ἕλκη ὠφελεῖ μεγάλως προσκομιζομένη κατὰ σύσιασιν πηλώδη, ἀλλὰ εἰ μὲν εἴη τὸ ἕλκος δυσῶδες καὶ πάνυ πλαδαρὸν καὶ ῥυπαρὸν, ἄνιε αὐτὴν ὄξει δριμυτάτῳ· εἰ δὲ μή, διὰ οἴνου, ἢ ὕδατος, ἢ ὀξυκράτου, ἢ ὀξυμέλιτος, ἢ μελικράτου, ἢ ὅπως ἂν ὑποφαίνῃ τὸ πρόσφορον τῆς χρήσεως. — Πρὸς ἕλκη καρκινώδη καὶ κακοήθη, καὶ πρὸς τὰς ἐν αἰδοίοις καὶ ὄρχεσι καὶ ἕδρᾳ καὶ μασιοῖς φλεγμονὰς, ἔτι δὲ ῥαγάδας, σιολίδας, ἀναξέσεις ἕδρας.] Ἐν μολιβδίνῃ θυίᾳ καὶ 7
δοίδυκι μολιβδίνῳ τρίβων ποίει γλοιῶδες, τρίβε δὲ ἢ ῥόδινον, ἢ

1. ἐπιδέσμει A; om. BP. — 2. τὸ φάρμακον ex em.; τοῦ φαρμάκου A; τῷ φαρμάκω BFP. — Ch. 36; l. 5. ἕως ἂν A. — 6. καθαίρει Codd. — Th. ἐπουλοῖ ABP. — 9. εἰ δὲ μή γε BP. — 12. μ. κεκ. LN; μ. κεκ., σχίνου Codd. gr. — 13. οὖν om. A. — 15. ἐπιβαλὼν F; ἐπιβαλοῦ P; ἐπιβαλλοῦ B. — 16. ἀνακόλλ. LN; ἀνάκομμα AF; ἀνάκομα BP. — 22. ἄνιε] ῥάνεις BP. — 23. ἀποφαίνοι A. — 27-p. 115, l. 1. τρίβε σὺν ῥοδίνῳ ἢ ὀμφακίνῳ ἐλαίῳ BP.

ἔλαιον ὀμφάκινον, ἢ χυλὸν ἀειζώου, ἢ κοτυληδόνος, ἢ θριδακίνης,
8 ἢ ψυλλίου, ἢ ὄμφακος σταφυλῆς, καὶ περίχριε. Κενταύριον τὸ μι-
κρὸν πρόσφατον καταπλασσόμενον τὰ δυσεπούλωτα ἐπουλοῖ, καὶ
9 τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶται. — Πρὸς κάθυγρα ἕλκη.] Κυπα-
ρίσσου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ τὰ σφαιρία τὰ νέα καὶ ἁπαλὰ 5
τὰς ὑγρότητας τῶν πλαδαρῶν ἑλκῶν καὶ σηπεδονωδῶν ἀλύπως καὶ
ἀσφαλῶς ἐκβόσκεται καταπλασσόμενα ἢ κατὰ ἑαυτὰ ἢ οἴνῳ ἀποζεν-
10 νύμενα. Κέχρησο δὲ καὶ τῇ εἰρημένῃ κατὰ τὸ κε' καὶ κς' κεφά-
11 λαιον ἀγωγῇ. — Πρὸς τὰ κάθυγρα ἕλκη.] Κυπέρου ῥίζαι τὰ διὰ
12 ὑγρότητα δυσεπούλωτα θαυμαστῶς ὠφελοῦσιν. Κολοκύνθης ξηρᾶς 10
κεκαυμένης ἡ τέφρα τοῖς μὴ φλεγμαίνουσι μὲν, καθύγροις δὲ καὶ
13 σηπομένοις ἁρμόζει, καὶ μάλιστα τοῖς ἐν πόσθῃ αἰδοίου. Τὸ δὲ
αὐτὸ ποιεῖ καὶ ἀνήθου ῥίζης ἡ τέφρα. — Πρὸς ἕλκη κακοήθη καὶ
14 ῥευματιζόμενα καὶ σηπεδονώδη.] Ἀρνόγλωσσον κατάπλασσε χλω-
15 ρὸν ἢ κόψας ξηρὸν ἐπίπασσε. — Ἄλλο πρὸς τὰ αὐτά.] Ἰσάτις ἥμε- 15
ρος δραστικῶς ἀνθίσταται τοῖς τοιούτοις ἕλκεσι σηπομένοις καὶ
16 ἀναβιβρωσκομένοις. Εἰ δὲ ἰσχυροτέρα φαίνοιτο ἡ ἰσάτις τῆς τοῦ
κάμνοντος ἕξεως, μιγνύναι χρὴ τοῖς φύλλοις αὐτῆς ἢ ἄρτον, ἢ κρί-
θινον, ἢ πύρινον ἄλευρον, ἢ ἄλφιτα. — Πρὸς τὰ χειρώνεια ἕλκη.]
17-18 Λεπίδος χαλκοῦ ∠ι', κηροῦ ∠ι', στυπηρίας σχιστῆς ∠β'. Τὸν 20
κηρὸν θερμάνας καὶ μαλάξας, ἀνάμιξον τὰ ξηρὰ καὶ ἀνάλαβε λειό-
τατα, καὶ εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει. — Πρὸς ἕλκη θηριώδη.]
19-20 Σίδιον καύσας λεῖον ἐπίπασσε, ἢ αὐτὸ λειώσας ἐπίπασσε. Ἢ στυ-
πηρίαν σχιστὴν κεκαυμένην λείαν ἐπίπασσε. — Ἄλλο πρὸς τὰ
21-22 αὐτά.] Ὑσσώπου ∠δ', σταφίδων ∠δ', νίτρου ∠ϛ'. Λεῖα ποιήσας ἐπί- 25
23 πατλε προϋποχρίσας μέλιτι τὸ ἕλκος. — Πρὸς ἕλκη σηπεδονώδη
καὶ νεμόμενα χαλκῖτις, ἀρσενικὸν, τίτανος, ἢ κατὰ ἑαυτὰ, ἢ ἅμα
24 ἐπιπασσόμενα ποιεῖ. — Ἢ πράσιον ἑφθὸν γενόμενον ἐν οἴνῳ κατά-

2. Καὶ κενταύριον A. — 4. Ἄλλο πρός A. — Ib. τὰ κάθυγρα ABP. — 7. αὐτά A. — 9. Ἄλλο πρός A. — Ib. τά om. A. — Ib. αἱ ῥίζαι A. — 13. ἡ om. A. — 18. ἢ ante κρίθινον om. AF. — 19. ἄλ. καὶ ἄλφιτα BP. — 22-23. Πρὸς..... λειώσας ἐπίπασσε om. BFP. — 25. σταφίδος BFP.

πλασσε, ἢ ὄροβον λεῖον μετὰ μέλιτος ἐπιτίθει, ἢ ἐλαίας φύλλοις ἁπαλοῖς ἑφθοῖς ἐν οἴνῳ λειώσας ὡσαύτως χρῶ· κατάντλει δὲ ὕδατι θαλατΙίῳ θερμῷ. — Πρὸς σκώληκας τοὺς ἐν ἕλκεσι τοῖς σηπεδονώδεσι γινομένους.] Χυλὸν καλαμίνθης ἔγχει, ἢ αὐτὴν τὴν καλα- 25
5 μίνθην χλωρὰν λειώσας κατάπλασσε. — Πρὸς χρονίας καὶ δυσσαρ- 26
κώτους καὶ συριγγώδεις κοιλότητας ἑλκῶν ἐκ ῥευμάτων ὀσΙρείων ὀσΙᾶ καύσας λειώσας ἐπίπατΙε. Πευκεδάνου ῥίζα ἐπιπάτΙεται ξηρὰ γενο- 27
μένη χυοώδης· αὕτη γὰρ ἐκκαθαίρει καὶ σαρκοῖ καὶ ἐπουλοῖ. — Πρὸς ἕλκη ϖλαδαρά.] Ἔρια κεκαυμένα λεῖα ἐπιπατΙόμενα τὰς ϖλαδαρὰς 28
10 σάρκας ἐπὶ τῶν ἑλκῶν ἀποτήκει τάχισΙα. Πλατάνου φλοιὸς καυθεὶς 29
καὶ λεῖος ἐπιπατΙόμενος τὰ διὰ ὑγρότητα ϖολλὴν ἕλκη ϖλαδαρὰ καὶ ῥυπαρὰ ἰᾶται. — Πρὸς ἕλκη δυσεπούλωτα.] Ἀλόη τὰ δυσεπούλωτα 30
τῶν ἑλκῶν ἰᾶται τὰ κατὰ ἕδραν καὶ αἰδοῖον μάλισΙα, ὠφελεῖ δὲ καὶ τὰς φλεγμονὰς αὐτῶν ὕδατι διεθεῖσα. — Πρὸς ἕλκη ϖαλαιά.] Τὰ 31
15 ϖαλαιὰ ἕλκη ἰᾶται κηρὸς ἐν ἡλίῳ μαλαχθεὶς καὶ ἀναλαβὼν λεπίδα χαλκοῦ χυοώδη ὡς ἕνι μάλισΙα ϖλείσΙην, ἢ χρυσοκόλλαν. Δεῖ δὲ 32
εἰς ὀθόνην ἐμπλάσσοντα τιθέναι καὶ μὴ ἀφαιρεῖν συνεχῶς.

λζ'. Πρὸς σΙίγματα καὶ οὐλάς. — Κηκῖδος ὀμφακίτιδος, μελαντη- 1
ρίας, ἔτι δὲ καὶ σιδίων ῥοιᾶς χυλίζοντας ϖαραχεῖν ἀμπελοπράσων
20 χλωρῶν χυλὸν, ἕως ἂν ἁπαλωτάτης κηρωτῆς σχῇ ϖάχος, ἐκνιτρώσαντας δὲ καὶ ἀποσμήξαντας τὸ ϖρόσωπον, ἢ καὶ ᾧ τινι τοῦ σώματος μέρει ἐγγραφόμενα ταυτί μοι τὰ σΙίγματα. — Σεύτλου 2
ἀφεψήματι νίτρῳ τε ὀπΙῷ καὶ ὀροβίνῳ σμήγματι ἀποῤῥύπΙεται· ἢν δὲ τῷ μέλανι τῷδε ᾧ σΙίζονται ἄνθος χαλκοῦ μίξῃ τις, ἀεὶ διαρ-
25 κέσει· ἐξαλείψεις δὲ τὰ σΙίγματα καὶ τὰς οὐλὰς ἐκνιτρώσας τὸν τόπον. Καταπλάσσων τὰ σΙίγματα ἐπὶ ἡμέρας ϖέντε ῥητίνῃ, τῇ 3
δὲ ἑξῆς ἐκλύσας, βελόναις κατακέντησον σΙιγμαῖς ϖυκνοτάταις ὡς

14. Τὰ ἕλκη τὰ ϖαλαιά A. — CH. 37; l. 19. ἔτι δέ om. A. — Ib. καί om. ABP. — Ib. χυλίζοντα ABP. — Ib. ϖαραχεῖν Codd. — 21. ᾧ τινι ex em.; ὅ τι Codd. — 22. μέρει ex em.; μέρος Codd. — Ib. ἐγγραφόμενα ex em.; ἐγραφόμεν ABFP. — 24. ᾧ σΙίζονται ex em.; ἐν ᾧ σΙίζονται A; ἐνωτίζονται BP; ἐνωτίζωνται F. — 25. δέ om. BP. — 26. Καὶ καταπλάσσων A.

ἀμύξαι συμμέτρως τοὺς τόπους· ἀμύξας δὲ τὸ αἷμα τρῖψον, καὶ διαλιπὼν ὅσον ἡμιώριον, εἶτα σπογγίσας ἐντίθει τὸ φάρμακον ἐπὶ ἑκάστου τῶν στιγμάτων· τῇ τριταίᾳ δὲ πάλιν αὐτὸ λύσας τῶν ἐπιδέ-
4 σμων ἐλευθέρου. Διὰ μὲν οὖν τὴν τοῦ φαρμάκου χρῆσιν μελανία τις ὀλιγοχρόνιος ἐπιγενήσεται, οὔτε δὲ ἕλκος, οὔτε οὐλή τις, καὶ 5
5 τὸ μελανθὲν ἀφανισθήσεται ἐν οὐδὲ ὅλαις ἡμέραις εἴκοσιν. Τὴν δὲ τοῦ φαρμάκου σύνθεσιν οὕτω ποιεῖ· κηροῦ, νίτρου, ἀφρονίτρου, ἀσβέστου κονίας, λιβανωτοῦ ἴσα τρίψας ἐπίχει μέλιτος ἑνὸς τῶν προειρημένων τὸ διπλάσιον, δηλαδὴ συντηκομένου τοῦδε τῷ κηρῷ.

1 λη'. Πρὸς ὄνυχας ψωρώδεις. — Ἰξοῦ δρυΐνου γο β', τηλίνου ἀλεύ- 10
ρου γο β', θαψίας χυλοῦ γο β', κανθαρίδων γο α', σανδαράκης γο β', ὄξους τὸ ἀρκοῦν.

λθ'. Ἡ διὰ ἁλῶν ποιοῦσα πρὸς ἀποστήματα, χοιράδας, καὶ πάν-
1 τα ὅσα σιδήρου χρῄζει. — Ἅλατος ἀμμωνιακοῦ, μολιβδαίνης, ἐλαίου, κονίας κληματίνης στακτῆς ἀνὰ ℔ α', περιστερῶν κόπρου γο γ'. 15
2 Βαλὼν εἰς θυίαν τὸ ἅλας καὶ τὴν κονίαν λείου, ἕως ἂν λυθῇ τὸ ἅλας, εἶτα ἐπίβαλλε μολίβδαιναν, ἔλαιον καὶ τὴν κόπρον καὶ συλλειώσας παντελῶς ἕως γλοιοῦ γένηται πάχος, καὶ βαλὼν εἰς κάκκαβον ἕψε μαλθακῷ πυρὶ ἕως ἀμόλυντον γένηται, καὶ ἀναλαβὼν χρῶ.

μ'. Κηρωταὶ καὶ ἐμβροχαί. — Κηρωτὴ ποιοῦσα πρὸς παρω- 20
1 τίδας καὶ φύματα πάντα καὶ δοθιῆνας. Ἐλαίου, κηροῦ, σάπωνος,
2 στακτῆς, νίτρου ἀνὰ ℔ α'. Τῆκε τὸν κηρὸν ἐν τῷ ἐλαίῳ· λελειώσθω δὲ ὁ σάπων μετὰ τῆς στακτῆς ἐν θυίᾳ, εἶτα τὸ νίτρον εἰς τὴν θυίαν βαλέσθω, καὶ τὰ ἐν τῇ θυίᾳ βαλὼν εἰς κακκάβην ἐπιτίθει ταύτην. 25

1 μα'. Πρὸς βουβωνοκηλικούς. — Ταυροκόλλης, σιδίων ἀνὰ ∠α',
2 λιβάνου, ὑποκιστίδος χυλοῦ ἀνὰ γο α'. Ἀναλάμβανε γλυκεῖ.

1 μβ'. Κηρωτὴ ἄλλη διὰ τεσσάρων. — Κηροῦ, ταυρείου, φρυκτῆς,

1. ἀμυδρῶς A. — Ib. δέ om. BP. — 2-3. ἑκάστῳ BFP. — 3-4. ἐπιδεσμάτων BP. — 5. γενήσεται A. — Ib. ῥάκος A. — 9. τούτου A. — Ch. 39; l. 16. ἔσται BP. — Ch. 40; l. 20. Κηρωτή om. BP. — Ib. ἐνεργοῦσα BP. — 24. βαλλέσθω ABP. — Ch. 41; l. 26. βουβωνοκήλας A.

ἀξουγγίου ἴσα. — Ὁ ἀζανίτης.] Κηροῦ, πιτυΐνης, οἰσύπου, χοιρείου σλέατος, φρυκτῆς ἀνὰ ℞ α', ταυρείου γο ς', πίσσης γο ς'. 2

μγ'. Χαλασλικόν. — Κηροῦ, φρυκτῆς, πιτυΐνης, σλέατος χοιρείου ἀνὰ ℞ α', πίσσης, οἰσύπου, μυελοῦ ἐλαφείου ἀνὰ γο γ'. 1

5 μδ'. Ὑποχονδριακὴ ἀνηθίνη. — Ἐλαίου ℞ β', θαλάσσης ℞ α', ἀνήθου γο ς', σκίλλης γο δ', σλέατος προσφάτου ℞ α', κηροῦ ℞ α'. 1

με'. Ἐπὶ καυσουμένων. — Ἐπὶ δὲ καυσουμένων καὶ ἐπὶ καταγμάτων ὕδατος ποτίμου ἀντὶ ἅλμης καὶ ἀγχούσης. 1

μς'. Πρὸς ἐρυσιπέλατα ἐπίχρισλον. — Ψιμμιθίου ∠η', θείου 1

10 ἀπύρου ∠β', ὀπίου ∠δ', ὄξους τὸ ἀρκοῦν.

μζ'. Ἐπιβροχὴ κεφαλῆς. — Ναρδίνου μύρου γο η', ἰρίνου γο η', ὀποβαλσάμου γο β', σλακτῆς γο β', κεδρίας λακωνικῆς γο β'. 1

μη'. Ἄλλη ἐπὶ κρουσμάτων καὶ πληγῶν ὥσλε ἀφλέγμαντα μεῖναι. — Ἐλαίου μέρη δ', ὄξους μέρος ἓν, ξύλα ἀνήθου δέσμην, ὥσλε 1

15 κινεῖν ἑψόμενον ἐν θερμοσποδιᾷ ἕως ἀφεψηθῇ τὸ ὄξος, εἶτα ἐπίβαλλε κηροῦ ἕως γλοιῶδες γένηται.

μθ'. Πρὸς καρδιακούς. — Κηρὸν τήξας μετὰ οἰνανθίνου πρόσβαλε ῥοῦν συριακὸν καὶ χρῖε ὅλον. 1

ν'. Πρὸς ποδαγρικούς. — Παλαιότατον ἔλαιον ἕψε ἕως οὗ σύσλασιν λάβῃ ἐμπλασλώδη, καὶ ἐπιπάσας λειότατον νίτρον, καὶ ἀναλαβὼν χρῶ ἐμπλάσας εἰς ὀθόνην. 1

20

να'. Ἡ χεὶρ τὸ κηρώτιον. — Κηροῦ γο ε', ταυρείου γο δ', βουτύρου γο γ', οἰσύπου γο β', τερμινθίνης γο α'. Τῆκε. 1 2

νβ'. Ἐπιβροχὴ κεφαλῆς, ᾗ ἐχρήσαμεθα. Ἰρίνου γο ε', ναρδίνου 1

25 γο δ', ὀποβαλσάμου γο β', δαφνίνου γο β', σλακτῆς γο β'.

νγ'. Πρὸς ἑρπησλικὰ ἕλκη καὶ ἐρυσίπελας. — Ἡδυόσμου, θείου, 1

CH. 44; l. 6. σκ. γο α' BP. — CH. 46; l. 9. ∠η'] γο β' BP. — CH. 47; l. 11. Ἐμβροχαί A. — CH. 48; l. 13. ὥσλε] εἰς τό BP. — 14. ξυλανήθου A. — 14-15. ὡς κινεῖν A. — 15-16. ἐπίβαλε ABP. — 16. ὡς Codd. — CH. 49; l. 17. οἰνάνθης A. — Ib. πρόσβαλλε BP. — CH. 50; l. 19. ποδαγρούς BFP. — 21. ὀθόνιον BP. — CH. 51; l. 23. οἰσύπου e LN qui habent *ysopu ceroles*; ὑσώπου F; ὑσσώπου ABP. — CH. 52; l. 24. νάρδου BFP.

2 ψιμμιθίου, ἀκακίας ἴσα. Γλυκεῖ ἀναλάμβανε· ἐπὶ δὲ τῆς χρείας ὄξει
3 χρῶ. Τοῦτο ἐσκεύασα πολλάκις.

1 νδ'. Πρὸς ἀχῶρας. — Λιθαργύρου ∠κ', ἀσβέστου ∠κ', ὄξους
2 κο. α'. Ἐκλειώσας τῷ ὄξει ἐπιμελῶς ἐπίβαλλε γο α' ἐλαίου καὶ
ἀναλαβὼν χρῶ. 5

1 νε'. Χρῖσμα πρὸς νευρικὰς συμπαθείας. — Ἐλαίου τηλίνου ℞ β',
κηροῦ γο δ', τερμινθίνης γο γ', οἰσύπου γο γ'.

1 νς'. Μάλαγμα Μνασέου. — Ἐλαίου ℞ α', κηροῦ ℞ α', λιθαργύ-
ρου ℞ γ', στέατος ὑείου ℞ α', φρυκτῆς γο ς'.

νζ'. Τὸ Ἀμυθάονος πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις· λύει 10
πᾶσαν σκληρίαν, ποιεῖ καὶ πρὸς τὰ δυσκίνητα τῶν ἄρθρων. —
1 Ἀμμωνιακοῦ θυμιάματος γο λς', κηροῦ γο λς', τερμινθίνης, βδελ-
λίου, χαλβάνης ἀνὰ γο η', λιβάνου, σμύρνης, κυπρίνου ἀνὰ γο δ'.
2 Βρέχεται σμύρνα, λιβανωτὸς, βδέλλιον οἴνῳ, τὸ δὲ ἀμμωνιακὸν
ὄξει διαλύεται, πάντα δὲ κόπτεται τοῦ ὑπέρου χριομένου τῷ κυπρίνῳ 15
μέχρι παντελοῦς διαλύσεως.

1 νη'. Τὸ διὰ σπερμάτων πρὸς τὰ ἐντὸς πάντα. — Ἀμμωνια-
κοῦ ∠ν', κηροῦ ∠ν', τερμινθίνης ∠ν', τήλεως, πάνακος, ἴρεως,
νίτρου, στέατος ταυρείου τεθεραπευμένου ἀνὰ ∠κε', μέλιτος ∠η' ς'',
ὄξους κο. α', κυπρίνου ὀλίγον. 20

1 νθ'. Τὸ διὰ πτισάνης. — Τήλεως, λινοσπέρμου, πτισάνης ἀνὰ
2 κο. α', μελιλώτου γο β', ἀναδενδρομαλάχης ἐβίσκου ℞ β'. Τούτων
ἑψηθέντων ἐν ὕδατι ἀπὸ τοῦ χυλοῦ ℞ γ', ἐλαίου παλαιοῦ ℞ γ', πάλιν
ἕψε ἕως λειφθῇ τὸ ἔλαιον, καὶ πρόσβαλε τῷ ἐλαίῳ ταυρείου γο ς',
φρυκτῆς γο ς', κηροῦ ℞ δ' ς'', χαλβάνης γο α'. 25

1 ξ'. Ληξιπύρετον. — Κηροῦ γο ς', στέατος ταυρείου νεαροῦ γο ς',
2 ῥοδίνου γο ιβ', λινοσπέρμου χυλοῦ ὅσον ἂν ἐπιδέχηται. Τὰ τηκτὰ

Ch. 54; l. 4. ἐπίβαλε A; ἐπιβαλών B, idque post ἐλ.; P eodem loco ἐπιβάλλων. — Ch. 57; l. 10. διατάσεις LN Gal.; διαθέσεις Codd. gr. — 11. καὶ τὰ πρὸς τά BFP. — 13. γο η'] γο β' A. — Ch. 58; l. 18. κ. ∠ν', τερ. ∠ν' Gal. sec. gen.; om. Codd. — Ch. 59; l. 22. ἐβίσκου] ἡ ἀλθέα F marg. — Ib. ℞ β' e N; om. Codd. gr. — 23. ἐψηθεισῶν Codd. — 24. πρόσβαλλε BP. — 25. ℞ δ' ς''] γο β' BP. — Ch. 60; l. 26. ν. γο ς'] ν. γο γ' BP. — 27. πηκτά Codd.

τῆκε καὶ κατέρα καὶ κίνει τῇ χειρὶ, καὶ ἐπίβαλε κατὰ βραχὺ τοῦ χυλοῦ, τὸν δὲ χυλὸν οὕτω ϖοίει. Τὸ λινόσπερμον ϖλῦνε ἐπιμελῶς, 3 καὶ λαβὼν ὕδατος ξ γ' εἰς μίαν λινοσπέρμου ζέσον δὶς, καὶ οὕτω χρῶ. Ποιεῖ ϖρὸς καυσουμένους, ἔτι τε καὶ διψώδεις ὄντας καὶ 4 ϖρὸς φλεγμονὰς ἥπατος καὶ σπληνός.

ξα'. Μάλαγμα τὸ διὰ τήλεως. — Κηροῦ γο η', τερμινθίνης γο ς', 1 οἰσύπου γο δ', τηλίνου ἀλεύρου ϟ α' γο δ', ἐνίοτε δὲ καὶ φρυκτῆς ϟ α'.

ξβ'. Ἐπίθεμα σϊομάχου ϖολύχρησϊον. — Κηροῦ ϟ α', ναρδί- 1 νου ϟ α', ἀλόης, μασϊίχης, ἀψινθίου ἀνὰ γο δ', κασίας, σϊύρακος, σχοίνου ἀνὰ γο γ'.

ξγ'. Ἡ τοῦ κουρέως ϖρὸς σπληνικοὺς, ἡπατικοὺς, ἰσχιαδικούς. — Πίσσης ξηρᾶς ϟ δ', κηροῦ, ϖιτυΐνης, ἀμμωνιακοῦ, δαφνίδων, 1 σϊέατος ταυρείου ἀνὰ ϟ β', νίτρου ἐρυθροῦ ϟ β', ἀλεύρου τηλίνου ξ α', χαμαιλέοντος μέλανος τῆς ῥίζης λειοτάτης ξ α', κυμίνου λειοτάτου ξ α' ϛ".

ξδ'. Τὸ διὰ ψιχῶν ϖρὸς ϖᾶσαν σκληρίαν. — Χυλοῦ λινοσπέρμου, τήλεως, ἀλθαίας ϟ α', τερμινθίνης ϟ α', λιθαργύρου ϟ β', ψιχῶν ϟ γ', φρυκτῆς ϟ β', ἐλαίου ϟ α', ἴρεως, ἰοῦ, ἀρισϊολοχίας 1 σϊρογγύλης ἀνὰ γο β', μελιλώτου, μάννης, ἁλὸς ἄνθους ἀνὰ γο. γ'.

ξε'. Ἡ διὰ φοινίκων. — Τήλεως, λινοσπέρμου ἀνὰ ϟ α', μελιλώτου, χαμαιμήλου ἀνα γο γ', φοινίκων ϟ β', οἴνου εὐώδους ξ' η', ὕδατος ϟ α', ἄρτου καθαροῦ ϟ β', λιθαργύρου ϟ β', ψιμμιθίου ϟ β', ἐλαίου ϟ ε', κηροῦ ϟ α', κολοφωνίας ϟ α', τερμινθίνης ϟ α'. Ἕψε ἕως 1 2 ἀμολύντου.

ξς'. Ἐπίθεμα σϊομαχικοῖς, ἡπατικοῖς καὶ ϖρὸς τὰς τῶν ὑποχονδρίων φλεγμονὰς καὶ ϖρὸς ϖᾶσαν νευρικὴν συμπάθειαν. — Κηροῦ 1

1. κατέρα] τάρατϊε BP. — 3. ὕδατι Codd. Ch. 61; l. 6. γο η'] γο β' BP. — 7. ὑσώπου F. — Ch. 62; l. 9. σϊομαχικόν A; ἐν τῷ σϊομάχῳ BP. — 9-10 νάρδου BFP. — 10. γο δ'] γο α' A. — Ch. 63; l. 13. γο δ' BP. — 14. ἀνὰ γο β' BP. — Ib. νίτρου ἐρυθροῦ γο α' BP. — 15. ξ γ' BP. — Ch. 64; l. 18. λιθαργύρου ϟ α' BP. — 18-19. ψιχῶν ϟ ς' BP. — 20. ἄνθος Codd. — Ch. 65; l. 22. ξ β' BP. — 24. καλιφωνίας ϟ β' BP. — Ch. 66; l. 26. ϖρὸς τῶν F.

∠ρ', ἀμμωνιακοῦ ∠ρ', μελιλώτου ∠ιϐ', κρόκου ∠ιϐ', σμύρνης ∠ιϐ', ἐλαίου κυπρίνου ϟ α'.

ξζ'. Ἄλλο βασιλικὸν ἐπιγραφόμενον· ποιεῖ πρὸς τὰς εἰρημένας
1 *διαθέσεις καὶ πᾶσαν νευρικὴν συμπάθειαν.* — Κηροῦ μναῖ τρεῖς, ἀμ-
μωνιακοῦ μναῖ δύο, ῥητίνης φρυκτῆς μνᾶ α', μελιλώτου μνᾶς ἥμισυ, 5
προπόλεως, σμύρνης, σίυρακος, νάρδου κελτικῆς, κυπέρου ἰνδικῆς,
ἴρεως ἰλλυρικῆς, καρδαμώμου, πάνακος ἀνὰ ∠κε', κρόκου ∠ϟ', κα-
σίας, μασίχης χίας, ὀποϐαλσάμου, ἀμώμου, σχοίνου ἄνθους ἀνὰ
∠ις', οἴνου ἰταλικοῦ εὐώδους ὅσον ἐξαρκεῖ, ναρδίνου ἀσιανοῦ ἀρω-
2 *ματικοῦ ϟ α'. Τὰ ξηρὰ φυράσας οἴνῳ σκεύαζε κατὰ τρόπον.* 10

ξη'. Κυφοειδὴς πρὸς ἡπατικοὺς καὶ πρὸς τὰ ἐν θώρακι πάντα.
1 — *Σταφίδων σαρκὸς ∠κε'· οἱ δὲ ∠ρ'· κρόκου ∠α'· οἱ δὲ τριώϐολον·*
καλάμου ∠ϐ', βδελλίου ∠β', κινναμώμου τριώϐολον, κασίας τριώ-
ϐολον, νάρδου τριώϐολον, σχοίνου ∠ϐ', σμύρνης ∠δ', τερμινθίνης
∠δ'· οἱ δὲ ∠ις'· ἀσπαλάθου ῥινήματος ὀϐολοὺς ιϐ', μέλιτος ∠ις', 15
2 *οἴνου τὸ ἀρκοῦν. Δύναται δὲ καὶ θυμιᾶσθαι τὸ φάρμακον.*

ξθ'. Τὸ διὰ τῆς οἰνάνθης ἐπίθεμα πρακτικῶς ἐνεργοῦν πρὸς τὰς
1 *τοῦ σίομάχου ἀνορεξίας καὶ καῦμα καὶ ἔκλυσιν.* — *Οἰνάνθης ξηρᾶς,*
κηκῖδος, ἀκακίας, ῥόδων ξηρῶν, ὀμφακίου, σίυπίηρίας σίρογγύλης,
ἀλόης ἀνὰ γο β', ἐλαίου μυρσινίνου, κηροῦ, πίσσης ἀνὰ ϟ α', ῥοὸς 20
2 *συριακῆς γο δ'. Οἴνῳ ἀμιναίῳ κατάῤῥαινε τὰ ξηρά.*

ο'. Ἐκ τῶν Γαληνοῦ πρὸς φλεγμονὰς τὰς ἐν τῷ σίόματι τῆς
1 *γασίρός.* — *Κηροῦ ποντικοῦ, ἢ τυῤῥηνικοῦ, ἢ τοῦ τυχόντος πλυ-*
θέντος, χειμῶνος μὲν ∠η', θέρους δὲ ∠ζ'· ναρδίνου μύρου γο α'.
2 *Τηκέσθω ὁ κηρὸς ἐν διπλώματι, κἄπειτα ξυσθεῖσαν τὴν κηρωτὴν* 25
3 *μίγνυε ἐκλελειωμένῃ ἀκριϐῶς ἀλόῃ καὶ μασίχῃ ἀνὰ ∠α'. Εἰ δὲ*

1. *σμ. ∠ιη'* A. — Ch. 67; l. 7. *∠κε'*] BP. — 8. *σχοίνου ἄνθους* N Gal.; om. Codd. gr. — 9. *ναρδίνου ἀσιανοῦ* e N qui habet *oleu nardu asianu; νάρδου ἀσιανῆς* BFP Gal. — 9-10. *ἀρωματικοῦ* ex em.; *ἀρωματικῆς* BFP Gal. — Ch. 68; l. 11. *πάντα* om. A. — 14. *σχίνου ϟ α'* BP. — 15. *ῥινίσματος.* BFP. — Ib. *ὀϐολοὺς β'* A. — Ch. 69; l. 20. *γο α'* BP. — Ib. *ϟ α'* N Lips.; *γο α'* Codd. gr. — 21. *καταῤῥαίνεται* A. — Ch. 70; l. 24. *ναρδίνου* Gal.; *νάρδου* Codd. — 26. *ἐκλελειωμένης ἀκριϐῶς ἀλόης . . . μασίχης* BFP.

πλείονος δέοιτο σλύψεως ἀτονίας οὔσης ὡς μηδὲ τῶν τροφῶν κρατεῖν, προσμιγνύσθω καὶ ὀμφακίου ∠α′· μιγνύσθω δὲ πρῶτον τὸ ὀμφάκιον, εἶτα οὕτω τὰ ἄλλα. Μίγνυε δὲ ἐνίοτε καὶ ἀψινθίου χυλὸν καί ποτε καὶ ἀμφότερα, ὥσπερ γε καὶ ὑποκισλίδος, ἢ οἰνάνθης, καὶ μέντοι καὶ ῥοῦ χυλόν. Παραύξειν δὲ ἀεὶ χρὴ τῆς ναρδίνης κηρωτῆς τὸ πλῆθος ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ. 4 5

οα′. Μάλαγμα σπληνικὸν λίαν γενναῖον. — Μυροβαλάνου ἀλεύρου γο γ′, νίτρου γο δ′, κηροῦ γο ς′, τερμινθίνης γο η′, ὄξους τὸ αὔταρκες. Τοῦτο ὑπεκτήκει. 1 2

οβ′. Μάλαγμα τὸ διὰ δαφνίδων σπληνικοῖς, ὑδρωπικοῖς· διαλύει πᾶσαν σκληρίαν, ἀναπίνει τὰς ἐν βάθει ἀποσλάσεις. — Κηροῦ, πιτυΐνης, πίσσης βρυτλίας ξηρᾶς, νίτρου ἐρυθροῦ, δαφνίδων ξηρῶν, ἀμμωνιακοῦ θυμιάματος, σλέατος μοσχείου κατειργασμένου ἀνὰ ∠α′. Τὰ τηκτὰ τήκεται καὶ τοῖς ξηροῖς ἐπιβάλλεται καὶ ἀνακόπλεται. 1 2

ογ′. Μάλαγμα τὸ Ἀπολλοφάνους. — Κηροῦ, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου, ἴρεως ἰλλυρικῆς ἀνὰ ∠π′, μάννης λιβάνου, ῥητίνης τερμινθίνης ἀνὰ ∠μ′. Ἰρίνῳ κόπλεται. 1 2

οδ′. Πρὸς ἰσχιαδικούς. — Πηγάνου ἀγρίου σπέρματος, σιλφίου, δαφνίδων, ἀφρονίτρου, ἀβροτόνου, κολοκυνθίδος, καρδαμώμου, ἄμμεως ἀνὰ ∠δ′, πηγάνου χλωροῦ μνᾶς ὄγδοον, κηροῦ τὸ αὐτὸ, πίσσης τὸ αὐτὸ, τερμινθίνης τὸ αὐτὸ, χαλβάνης ∠ς′, ὀποπάνακος ∠δ′, θείου ἀπύρου ∠δ′. Τοῦτο τὸ φάρμακον ἰσχυρῶς ἐσλι θερμαντικὸν καὶ ἕλκειν δύναται τοὺς ἐν βάθει λυποῦντας χυμούς. 1 2

οε′. Ἐκ τῶν Φιλουμένου τὸ Μνασέου κλειδίον. — Κηκῖδος ὀμφακίτιδος, ὑποκισλίδος, σλυπληρίας σλρογγύλης, ἀκακίας, ῥοῦ τοῦ ἐπὶ τὰ ὄψα, σιδίων ξηρῶν, σελίνου σπέρματος ἀνὰ γο α′, ἰξοῦ δρυΐνου ∠δ′, ἀμμωνιακοῦ ∠δ′, πίσσης ξηρᾶς ∠β, κηροῦ ∠β′, ἐλαίου μυρσινίνου ἢ σχινίνου γο δ′. Δεῖ δὲ τὰς κηκῖδας καὶ τὰ σίδια ἕψειν οἴνου κυάθοις ἐννέα, μέχρι λειφθῇ τὸ τρίτον μέρος, εἶτα κόψαι καὶ 1 2

5. πρέπει BP. — Ch. 71; l. 8. γο η′] ∠ β′ A. — Ch. 75; l. 29. Χρὴ τάς BP.

σῆσαι πρὸς τὰ λοιπὰ σὺν τῷ οἴνῳ, τὸ δὲ ἀμμωνιακὸν ὄξει λεαίνειν μέχρι μελιτώδους συστάσεως, τὸν ἰξὸν δὲ μετὰ βραχέος ἐλαίου μαλάσσειν, εἶτα τὴν πίσσαν ἅμα καὶ τὸν κηρὸν συντετηκότα μετὰ τοῦ ὑπολειπομένου ἐλαίου ἐπιχεῖν πᾶσι καὶ λεαίνειν, ἔπειτα κόπτειν ἐν ὅλμῳ μέχρις ἑνωθῇ.

1 ος'. Ἐκ τῶν Γαληνοῦ ἐπίρριμμα ψῦχον. — Ἐκθλίψαντες ὑγρὸν ψύχοντός τινος, οἷον θρίδακος ἢ στρύχνου, ἢ ὀξαλίδος ἐμβάλλομεν μετὰ ἀνδράχνης, εἶτα κόψαντες ἐκπιέζομεν· σήσαντες δὲ τὸ ἀγγεῖον ἐν ὕδατι ψυχρῷ ἢ χιόνι, μίγνυμεν ἀλφίτου λεπτοῦ ὀλίγον καὶ ἀνα-
2 δεύσαντες ἐπιρριπτοῦμεν. Δεῖ δὲ αὐτὸ συνεχῶς ἀμείβειν, ἀχρις ἂν ὁ κάμνων αἴσθηται ψύξεως.

οζ'. Περὶ καταπλασμάτων. — Κατάπλασμα τὸ διὰ ζύμης δυνά-
1 μενον διαχέαι τὰ συνεστῶτα. Καὶ ἐκτῆξαι ἱκανώτατα τὸ ἐπίπλασμα τοῦτο ἐπιτήδειόν ἐστιν· καὶ γὰρ δοθιῆνας ὠφελεῖ καὶ ἐκπυήματα σχολαίτερον πρὸς τὴν μεταβολὴν ἰόντα, καὶ σκόλοπας ἐξάγει, καὶ
2 σκίρροις ἐπαρκεῖ, καὶ θλάσμασι τοῖς κατὰ πέλματα. Ποιήσεις δὲ πολυειδεῖς εἰσιν αὐτοῦ· ἢ γὰρ αὐτῷ τῷ ἐλαίῳ συμμαλάττεται, ἐξαρκοῦν τοῦτο πρὸς δοθιῆνας καὶ τὰς σχολαίας ἐκπυήσεις· ἢ καὶ νίτρον που λεπτὸν συμμίγνυται αὐτῷ, ὅπου δριμυτέρου ἐπιθέματος χρήζομεν ἐπὶ τῶν σφόδρα στερεῶν σκίρρων· ἢ ἔστιν ὅτε διαχέοντες τὴν ζύμην, αὖθις συνιστῶμεν, ἕψοντες αὐτὴν, ἔλαιον ὀλίγον ἢ ἴρι-
3 νον μύρον προσμίξαντες. Ἔστι δὲ τοῦδε καὶ ἄλλος μεταχειρισμός· ὄξει διαχεῖται ἡ ζύμη ὡς εἶναι χυλοῦ τὸ πάχος· τοῦτο τοῖς κατὰ
4 τὸ ἧπαρ καὶ τὸν σπλῆνα σκίρροις ἐπιτήδειόν ἐστιν. Ἡ κόμη ἀψινθίου, ἢ ἶρις, ἢ ἀβρότονον, ἢ θύμον, ἢ γλήχων, ταῦτα πάντα μετὰ τῆς ζύμης τοῖς κατὰ τὸν σπλῆνα σκίρροις καὶ τοῖς κατὰ τὸ ἧπαρ ἐπαρκεῖ.

1 οη'. Περὶ τοῦ ἐξ ἄρτου. — Τὸ δὲ ἐξ ἄρτου κατάπλασμα παναρ-

4. ὑπολειπομένου ex em.; ἀπολειπομένου Codd. — Ch. 76; l. 6. Ἐπίρριμα FN; Ἐπίρρημα BP. — Ib. Ἐκθλίβεσθαι F. — 7. ψύχοντα F. — 8. ἄγγος BP. — 10. μέχρις BP. — Ch. 77; l. 13. ἱκανώτατον ἐπίπλασμα Codd. Cf. t. II, p. 344. — 17. τῷ om. Codd. Cf. t. II, p. 345. — 18-19. νίτρου ὁπτοῦ λεπτόν BP. — 23. διαλύεται BFP. Cf. t. II, p. 345. — 25. γλίχων Codd.

κέσlατόν ἐστιν· ϖάσαις γὰρ σχεδὸν ἁρμόζει Φλεγμοναῖς· αἱ ϖοιήσεις δὲ αὐτοῦ ϖολλαὶ ϖάνυ· ἢ γὰρ ψυχρῷ ὕδατι βραχεὶς καὶ συνεργασθεὶς ῥοδίνῳ ὁ ἄρτος ἐπιπλάτlεται· οὕτω δὲ ἐπιτήδειός ἐσlι ταῖς ἐρυσιπελατώδεσι Φλεγμοναῖς· ἢ ἀντὶ τοῦ ὕδατος διὰ ὀξυκράτου σκευάζεται· μᾶλλον γὰρ οὕτως ἐϕαρμότlει ταῖς ἐρυσιπελατώδεσι Φλεγμοναῖς· ἢ Θερμῷ ὕδατι βρέχεται καὶ συμμαλάτlεται ἐλαίῳ, εἶτα ἐπιπλάτlεται Θερμὸς ὁ ἄρτος ἁρμόζων ταῖς σκληροτέραις καὶ οὐ ζεούσαις Φλεγμοναῖς· ἢ ἀντὶ τοῦ ἐλαίου τὸ βούτυρον ἐμβαλεῖς, καὶ ϖοιήσεις χρησιμώτερον ϖρὸς τὰς αὐτὰς διαθέσεις. Γίνεται δὲ 2
συνεχῶς καὶ τοῦτο· ὕδατι διαλύεται ὁ ἄρτος, ὡς χυλοῦ σύσlασιν σχεῖν, καὶ τούτῳ μίγνυται ἔλαιον ἢ βούτυρον, εἶτα ἕψεται μέχρι συσlάσεως· τοῦτο ὧν ἐγὼ οἶδα ϖάντων ἄμεινον ϖρὸς Φλεγμονὰς τὰς ἐπὶ τραύμασι, καὶ ϖρὸς τὸ τάχιον ἐκπυῆσαι τὰ τούτου δεόμενα.
Ὅπῃ δὲ νεῦρον ἢ νευρῶδές τι διατεθλασμένον, ἐνταῦθα ἐγὼ καὶ 3
ϖίτlης ὑγρᾶς βραχὺ μιγνὺς οἶδα μετρίως λυσιτελὲς ἀποϕήνας τὸ ἐπίπλασμα. Τοῦτο δὲ καὶ ταῖς ϖοδαγρικαῖς Φλεγμοναῖς ἐπιτήδειόν 4
ἐσlιν. Ἄλλη σκευασία. Ταῖν χεροῖν διατρίψαι τὰ ἔνδοθεν τοῦ ἄρτου 5
χρὴ τοῦ χθιζοῦ· ἐπειδὰν δὲ ἀμμῶδες γένηται, καὶ μέλιτι ἐμπλάσσειν χρὴ τὸ ἄλευρον καὶ ἕψοντα εἰς τὸ μέτριον συνισlᾶν ϖάχος, καὶ εἰ Φαίνοιτο ἱκανῶς ἔχειν, ἔλαιον ἐπιχέοντα ἀναμιγνύναι. Τοῦτο 6
ἐπιτήδειόν ἐσlι ταῖς κατὰ ὑποχόνδρια Φλεγμοναῖς· ἄμεινον δὲ εἰ τῷ μέλιτι ὀλίγον ὕδωρ μεμιγμένον εἴη· οὕτω γὰρ ἐν τῇ ἑψήσει διαχεῖται. Καὶ τὸ ἐκ ϖυρῶν δὲ καὶ ϖάλης, καὶ τὸ ἐξ ἀλεύρων ϖυρίνων κατάπλασμα σχεδὸν τὰ αὐτὰ δύναται ϖοιεῖν τὰς αὐτὰς ἐπιδεχόμενον σκευασίας. 7

οθ'. Περὶ τοῦ ἐκ ϖιτύρων. — Τὰ ϖίτυρα ὧδε χρὴ σκευάζειν· 1

1. ἁρμότlει A. — 4-6. ἢ..... Φλεγμοναῖς om. BFP. — 7. εἶτα οὕτως ἐπιπλ. BP. — 8. ἢ.... ἐμβ.] Hæc bis exhibent BP, et hic et ante ἢ Θ. (l. 6). — Ib. ἐμβάλης F; ἐμβάλλοις BP hic; ἐμβάλλεις altero loco. — 9. ϖοιεῖς A. — 10-11. ὕδατι.... τούτῳ e LN, *Coll. med.* (t. II, p. 346) Aët.; om. BFP. — 12-13. τὰς Φλεγμ. τάς A; Φλεγμ. BP. — 16. Τοῦτο δέ] Ἀλλά A. — 18. αὐχμῶδες A. — 19. δεῖ A. — 21. ὑποχόνδριον A. — 22. οὕτω Aët.; τό Codd. Cf. t. II, p. 347. — 24. δύναιτο BP. — Cn. 79; l. 26. οὕτω BP. — Ib. ϖαρασκευάζειν A.

πολλάκις πάλλειν αὐτὰ προσήκει ὡς λεπτότατα γενέσθαι, ἢ ἐν ὅλμῳ κόψαντα καὶ διασήσαντα τὸ αὐτὸ ποιεῖν· χρῆσθαι δὲ αὐτοῖς ἐπὶ σκίῤῥων πάντῃ τοῦ τε ἄλλου σώματος συνισταμένων, καὶ ἐπὶ ἥπατος καὶ σπληνός· παρασκευάζειν δὲ αὐτὸ διὰ ὀξυμέλιτος, ἢ καὶ τοῦ
2 ἀμμωνιακοῦ μιγνύντας καὶ θερμὸν ἐπιπλάττοντας. Λῷον δὲ ἂν εἴη εἴ τις ἐξ ἑτέρου ἕτερον ἐπιθείη, ὡς μὴ ἐκλείπειν τὴν θάλψιν ποτέ.
3 Καὶ ὁπότε δὲ οἱ ὄρχεις φλεγμαίνοιεν, ὠφελιμώτατον γίνεται τοῦτο·
4 σκευαζέσθω δὲ χωρὶς ὄξους. Ἁρμόζοι δὲ ἂν τὸ κατάπλασμα τοῦτο
5 καὶ δοθιῆσι καὶ τοῖς ἄλλοις φύμασι τοῖς σκληροῖς. Πάνυ δὲ καὶ πρὸς τὰ ἰοβόλα συμφέρει ὄξει δευόμενα τὰ πίτυρα ἐξ ἑτέρων ἕτερα ἐπιτιθέμενα.

1 ϙ'. Περὶ τοῦ ἐκ σύκων. — Πολυειδεστάτη ἐστὶ τοῦ ἐπιπλάσματος τοῦδε ἡ μεταχείρισις καὶ ἐπαρκὴς εἰς πολλά· ἤτοι γὰρ εὖ μάλα κόπτεται ὡς μηδὲ ὁτιοῦν ἀργὸν ἀφεῖσθαι μέρος, μήτε οὖν αὐτοῦ τοῦ σύκου, μήτε, εἰς ὅσον ἀνυστὸν, τοῦ σπέρματος, καὶ τῷ οὕτω πεποιημένῳ προσηνείας ἕνεκα μύρου ἰρίνου οὐ πολὺ μίγνυται αὐτό.
2 Ποιεῖ δὲ πρὸς τὰς σκληρότητας τῶν νεύρων, καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων, καὶ τὰ πέρα τοῦ μέτρου ἐκτεταμένα, καὶ πρὸς σκίῤῥους, καὶ μάλιστα τοὺς τῶν σπληνῶν· ὠφελεῖ δὲ καὶ τοὺς τοῦ
3 ἥπατος. Προσλαβὸν δὲ νίτρον ὀλίγον ῥήττει τε κόλπους καὶ σκόλο-
4 πας ἀνάγει. Εἰ δὲ ὁμοίως κοπείη τὰ σῦκα καὶ προσλάβοι γλήχωνος ἢ ὀριγάνου, ἢ θύμου κόμης, ἢ ἀψινθίου, εἰς τὸ λεπτότατον εἰργασμένα, ὑδρωπικοῖς ἁρμόττει καταπλασσόμενον κατά τε τῶν ὑποχονδρίων πάντων καὶ τῆς ὀσφύος καὶ τοῦ νώτου παντός. Ἄλλη
5 ποίησις. Ἕψεται ὅσον εὐπετῶς διαχεῖσθαι μάλα λίαν τὰ σῦκα, κἄπειτα λειοῦται ὁμοῦ τινι μέρει τοῦ ὕδατος ἐν ᾧ ἥψηται, εἶτα κρίθινον ἄλευρον, ἢ πύρινον, ἢ καὶ ἄρτος μίγνυται αὐτοῖς καὶ συνεργά-

1. πάλιν BFP. — Ib. ἢ e LN *Coll. med.* (t. II, p. 348); om. Codd. gr. — 2. κόψαντα Aët.; κόπτοντα Codd. — 7. γίνεται om. A. — 8. Ἁρμόζει δὲ τό A. — 10. τὰ πίτυρα om. A. — Cu. 80; l. 13. ἤτοι om. A. — 13-14. κόπτεται γὰρ εὖ μάλα A. — 16. αὐτῷ Codd. — 17. δὲ καὶ πρός BP. — 20. δὲ καὶ νίτρον BP. — Ib. τε] τούς BP; τε τούς A. — 27. ἡ ἄρτος BP.

ζεται ὡς μάλιστα, καὶ ἕψεται αὖθις ἄχρι συστάσεως καταπλάσματος. Ἁρμόζει δὲ φύμασι τοῖς μὴ ῥᾳδίως πεπαινομένοις καὶ παρωτίσιν 6
ἃς ἐκπυΐσκεσθαι χρὴ καὶ δοθιῆσιν. Λίπει δὲ εἴ τις ἐθέλει χρῆσθαι, 7
βούτυρον μιγνύει· εἰ δὲ καὶ πηγάνου φύλλα τριφθέντα λεῖα μιχθείη,
5 τὰς ἐν τοῖς ἐντέροις ὀδύνας ὑπὸ πνεύματος γινομένας ὀνίνησιν· λίπος δὲ μιγνύσθω ἔλαιον ἔνθα κύμινον ἢ πήγανον ἐνήψηται.

πα'. Ἄκοπα. — Ἄκοπον τὸ δεκάμυρον. Νάρδου στάχυος, φύλ- 1
λου, εὐφορβίου, πεπέρεως, κόστου, ἀδάρκης ἀνὰ γο α', μαστίχης γο α', ὀποβαλσάμου γο ς', ναρδίνου χ α', κηροῦ γο γ'.

10 πβ'. Τὸ πεντάμυρον. — Στύρακος γο α', μαστίχης γο β', κη- 1
ροῦ λευκοῦ γο γ', ὀποβαλσάμου γο δ', ναρδίνου γο ε'.

πγ'. Ἄκοπον χρῖσμα τὸ διὰ καστορίου πρὸς παραλύσεις καὶ τὰς κεχρονισμένας διαθέσεις. — Οἰσύπου γο γ', τερμινθίνης γο γ', 1
μυελοῦ ἐλαφείου γο δ', ἀμμωνιακοῦ, χαλβάνης, καστορίου, πεπέ-
15 ρεως λευκοῦ, εὐφορβίου, ἀδάρκης, νίτρου ἀφροῦ, ὀποπάνακος ἀνὰ γο β', ἐλαίου συρακίνου γο δ', ἐλαίου ἰρίνου γο ϑ', ἐλαίου παλαιοῦ γο δ', κηροῦ χ α'. Σκεύαζε. 2

πδ'. Ἄλλο ἁπλοῦν. — Βούτυρον, κολοφωνία, κηρὸς λευκὸς νέος 1
ἴσα τῷ σταθμῷ τηκόμενα.

20 πε'. Πρὸς τὰς κατεψυγμένας διὰ γῆρας ἕξεις. — Λουόμενος 1
ῥύμματι πυροῦντι χρήσθω τῷδε. Καλαμίνθην καὶ τὸ σάμψυχον καὶ 2
τὸ ὕσσωπον καὶ δαφνίδας, καὶ τὴν τῶν στεφανωμάτων λιβανωτίδα, καὶ λίθον πυρίτην, καὶ ἅλας, καὶ τρύγα κεκαυμένην, καὶ νίτρον, καὶ κίσηριν τὸ κατὰ λόγον ἑκάστου, καὶ βραχὺ νάπυος καὶ τῆς
25 ἀγρίας σταφίδος καὶ κόκκου κνιδίου. Ἀπὸ δὲ τοῦ λουτροῦ ἀκόπῳ 3
χρήσθω τῷδε.

4. μιγνύειν Codd. Cf. t. II, p. 355. — 6. ἢ ἔλαιον Codd. — Ch. 81; l. 9. γο ς'] γο α' BP. — Ib. ναρδίνου L Aët. Paul. νάρδου Codd. gr. — Ib. γο γ'] γο ς' A. — Ch. 82; l. 10. γο α'] γο β' BP. — 11. ναρδίνου L Aët.; νάρδου Codd. gr. — Ch. 83; l. 13. Οἰσύπου Gal.; Ὑσώπου BFP; Ὑσσώπου A. — 14. καστορείου A. — 15-16. ἀνὰ γο α' BP. — 16. ἐλαίου ante συρ. om. A. — Ib. γο δ' e LN; γο α' Codd. gr. Gal. — 17. κ. χ ϛ' BP. — Ch. 84; l. 18. κολοφ. e N; ῥητίνη κολοφωνία A; ῥητίνη ἢ κολοφωνία F; ῥητίνην ἢ κολοφωνίαν (καλλιφ. P) BP. — 19. ἰσόσταθμα A. — Ch. 85; l. 25. κόκκων κνιδίων BP.

1 ϖς'. Ἄκοπον μετὰ λουτρόν. — Μύρου νάρδινον καὶ ἀμαράκινον καὶ κομμαγηνὸν ἑκάστου μνᾶς τέταρτον, σικύου ἀγρίου ῥίζης καὶ βρυωνίας ἑκατέρου μνᾶς ἥμισυ, κάχρυ, καὶ ϖύρεθρον, καὶ εὐφόρβιον καὶ ζιγγίβερι καὶ ἀλκυόνιον ξηρὸν καὶ κόστον ἄγοντα ἀνὰ ∠δ', ϖέπερι δὲ μακρὸν καὶ φύλλα ξηρὰ ῥοδοδάφνης ἑκάτερα ∠β', 5
2 μίαν δὲ θείου ἀπύρου καὶ μίαν χυλοῦ θαψίας. Λείοις ϖᾶσιν εὖ
3 μάλα τὰ μύρα καταχεῖται καὶ ἐπὶ ϖολὺ συντρίβεται. Τούτῳ γε καὶ ϖάρετοί τινες γενόμενοι κατέστησαν.

1 ϖζ'. Πρὸς ἄχροιαν καὶ ϖελιώματα. — Καλόν ἐστιν ἔλαιον ἐνεψηθείσης αὐτῷ βρυωνίας ῥίζης ἐπὶ μακρόν· τοῦτο καὶ τετανὸν ἐργά- 10
2 ζεται τὸ σῶμα. — Αἴρει δὲ τὰ ϖελιώματα βολβῶν λείων ∠ς',
3 ϖνεύμονος τράγου κεκαυμένου ∠ς', στρουθίου ∠η'. Τοῦτο κατάπλασσε ϖροπυριῶν ἀφεψήματι ῥαφάνων ἢ ἀψινθίῳ.

1 ϖη'. Ἐκ τῶν Ῥούφου χρῖσμα ἐντεῖνον ἐνεργότερον. — Σμύρνης, θείου, κυήκου τοῦ ἐντὸς ἀνὰ ∠α', μελανθίου ∠β', καὶ ϖυρέ- 15
θρου ἄγον ὀβολοὺς β', καὶ κόκκους ϖεπέρεως μέλανος λ', κνιδίους
2 δὲ εἴκοσι καθαρούς. Κόψας ὁμοῦ λέαινε ἅμα σκίλλῃ καταγούσῃ ∠α'.
3 Ἐπὴν δὲ καλῶς ἔχῃ, τήξας κηροῦ βραχὺ συν ἐλαίῳ κικίνῳ καὶ μέ-
4 λιτι ἐπιχέων τρίβε. Πλῆθος δὲ ἔστω τοῦ μέλιτος καὶ τοῦ ἐλαίου
5 ἑκατέρου κο. α'. Ἔνιοι δὲ τῷ χρίσματι τούτῳ καὶ τῆς ἕδρας ϖαράϖτονται, ϖρὸ δὲ τῆς μίξεως, ὀθόνῃ ϖρὸς τὸ ἀκριβῶς ἐκμάσσεσθαι. 20

1 ϖθ'. Ἰσχιαδικόν. — Κυπρίνου ἐλαίου, ἀξουγγίου, ἐλαίου ϖαλαιοῦ ἀνα ℞ α', κηροῦ γο ς', θείου ἀπύρου ∠ιε', ἀδάρκης ∠ι', νίτρου ∠ιβ', ϖεπέρεως ∠ις', ϖυρέθρου ∠ι', ϖηγάνου ἀπαλοῦ ∠η', 25
2 ὀριγάνου ∠ις', δαφνίδων ∠ιβ', εὐφορβίου ∠ιβ'. Τὰ τηκτὰ κατὰ τῶν ξηρῶν.

ζ'. Τὸ διὰ κισσοῦ ϖοιοῦν ϖρὸς κόπους καὶ ϖᾶσαν νεύρων ἢ
1 μυῶν συμπάθειαν. — Τήλεως ℞ α', δαφνίδων κόκκοι ρ', κυπαρίσσου

Ch. 86; l. 1. μετὰ τὸ λ. BP. — 3. ἑκατέρου] ἀνά BP. — Ch. 87; l. 11. βολβῶν] κλαῶνα BP. — Ch. 88; l. 20. ἑκατέρου] ἀνά BP. — Ch. 89; l. 23. Πρὸς ἰσχιαδικούς A. — 25. ∠ ις'] ∠ ς' AF. — Ib. ∠η'] ∠ιη' A.

σφαιρία κ', βράθυος ℔ α', λιβανωτίδος ℔ α', ἐλαίου σαβίνου ἢ παλαιοῦ ℔ ι', κηροῦ ℔ α', τερμινθίνης γο ς', πιτυΐνης ℔ α', ὀποῦ κισσοῦ γο δ', ὕδατος ξ γ'. Τὰς βοτάνας κόψας βρέχε εἰς ὕδωρ ἡμέρας 2
τρεῖς, εἶτα ἐπεμβαλὼν τὸ ἔλαιον ἕψε ἀρκούντως, καὶ διυλίσας
5 ἐπέμβαλε τὰ τηκτὰ, τὸν δὲ ὀπὸν τοῦ κισσοῦ λείου μετὰ ὄξους καὶ ψύξας κατάχει τὰ τηκτὰ εἰς θυίαν καὶ ἀνελόμενος χρῶ.

ζα'. Ἰσχιαδικὸν σύγχρισμα δραστικόν. — Εὐφορβίου γο ε', πε- 1
πέρεως γο ς', ὀποπάνακος γο ς', ἀδάρκης γο ε', καστορίου ℔ α', σαμψύχου γο β', κυκλοπάνακος γο ς', στρουθίου γο δ', πυρέθρου
10 γο δ', ἐλαίου κυπρίνου ℔ δ', ἐλαίου ἰρίνου ℔ γ', ἐλαίου σικυωνίου ℔ γ', ἐλαίου δαφνίνου ℔ γ', κηροῦ ℔ β', οἰσύπου ὑγροῦ, τερμινθίνης ἀνὰ ℔ β'. — Ἰσχιαδικὸν παρὰ τοῦ Εὐτονίου ἀρχιατροῦ.] Ἐλαίου 2
παλαιοῦ ξ α', σικύου ἀγρίου σφαιρία ε' · ἕψε ἐν τῷ ἐλαίῳ ἕως φρυγῶσιν · κηροῦ γο ς', πυρέθρου γο α', θείου ἀπύρου γο ς', τερμιν-
15 θίνης γο ς', εὐφορβίου γο β', σταφίδος ἀγρίας γο α', κάχρυος γο α', θαψίας γο α', δικτάμνου γο β', ἀδάρκης γο α'.

ζβ'. Τὸ μετασυγκριτικόν. — Ὀποπάνακος, ἀμμωνιακοῦ, καστο- 1
ρίου, τερμινθίνης, οἰσύπου, εὐφορβίου, χαλβάνης, ἀδάρκης ἀνὰ γο β', πεπέρεως λευκοῦ, μυελοῦ ἐλαφείου ἀνὰ γο α', δαφνίνου,
20 στυρακίνου ἀνὰ γο δ', ἰρίνου γο ς', κηροῦ, ἐλαίου παλαιοῦ, ἀμαρακίνου ἀνὰ ℔ α'. Τούτων δὲ τὸν μὲν ὀποπάνακα ὄξει δεῖ λειο- 2
τριβεῖν ἐν θυίᾳ μέχρι γλοιοῦ πάχος ἔχῃ, τὸν δὲ κηρὸν καὶ τὸ ἔλαιον τήξας πρόσβαλε τὸ ἀμμωνιακὸν σεσησμένον, εἶτα τὰ λοιπὰ τῶν τηκτῶν, μετὰ τοῦτο δὲ, ἀρθείσης ἀπὸ τοῦ πυρὸς τῆς χύτρας,
25 προσέμπασσε τὰ ξηρὰ κατὰ τῶν ἐν τῇ θυίᾳ καὶ συνεκλεάνας ἀπόθου.

ζγ'. Τροχίσκοι. — Ὁ ἀνδρώνειος τροχίσκος. Χαλκάνθου ∠β', 1

1. βράθυ Codd. — Ib. λιβανωτίδος LN; λιβανέας Codd. gr. — 2. ι'] α' BP. — 5. ὄξους Aët.; τάχους Codd. — Ch. 91; l. 8. ἀδ. γο γ' BP. — 10. σικινίου BP. — 11. οἰσύπου LN; ὑσώπου F; ὑσσώπου ABP. — Ib. ὑγροῦ] ὑγρᾶς ῥητίνης BP. — Ib. τερμ. om. BP. — 12. ἀρχιητροῦ BFP. — 13. σφαιρία e LN qui habent *poma*; σφαιρίων BFP; τῶν σφαιρίων A. — 14. θ. ἀπ. γο γ' BP. — Ch. 92; l. 18. οἰσύπου LN; ὑσώπου F; ὑσσώπου BP.

σμύρνης ∠β', λιβάνου ∠δ', σχισΙῆς ∠δ', σιδίων ∠η', ἀρισΙολο-
2 χίας ∠η'. Οἴνῳ αὐσΙηρῷ ἀναλαμβάνων χρῶ, ὄξει διαλύων δὲ ἐπί-
χριε.

1 ζδ'. Ὁ Μούσα. — ΣτυπΙηρίας σχισΙῆς, ἀλόης, σμύρνης ἀνὰ
∠ς', κρόκου ∠γ', κροκομάγματος ∠γ', χαλκοῦ κεκαυμένου ∠ς', 5
2 χαλκάνθου ∠ς', ῥοιᾶς κυτίνων ∠ς'. Οἰνομέλιτι ἀναλάμβανε.

ζε'. Ὁ Ἄρης πρὸς ὑπώπια, λειχῆνας, σπίλους, ὑπερσαρκώ-
1 ματα, σύριγγας, καὶ ἄλλα πολλά. — Σινωπίδος, ἰοῦ ξυσΙοῦ, λιβάνου
ἄῤῥενος, σΙυπΙηρίας σχισΙῆς ἴσα, ὄξους τὸ ἀρκοῦν.

ζς'. Ὁ τοῦ Ἥρᾶ πρὸς νομὰς πάσας, μάλισΙα δὲ τὰς ἐν αἰδοίοις 10
1-2 καὶ σΙόματι. — Κρόκου ∠η', σΙυπΙηρίας ∠ρ', σμύρνης ∠η'. Ἄνιε
ὀξυμέλιτι καὶ πΙύγμα βρέχων χρῶ.

1 ζζ'. Τροχίσκος ὁ διὰ χάρτου πρὸς νομάς. — Χάρτου κεκαυ-
2 μένου ∠λβ', τιτάνου, ἀρσενικοῦ, σανδαράκης ἀνὰ γο α'. Ἀρνο-
γλώσσου χυλῷ ἀναλάμβανε. 15

1 ζη'. Τροχίσκος πρὸς ἀλφοὺς, λεύκας, λέπρας, λειχῆνας.—Ἐλ-
λεβόρου λευκοῦ, πεπέρεως μακροῦ, κάχρυος, ἀλκυονίου, θείου ἀπύ-
ρου, σανδαράκης, καλάμου ἀρωματικοῦ, ἀδάρκης ἴσα λεῖα σήσας ἐν
ὄξει λείου, καὶ ποίει τροχίσκους, ἀνατρίψας δὲ τὰ μέρη ῥάκει καὶ
χρίσας ἕα ἡλιοῦσθαι ἐπὶ πολύ. 20

1 ζθ'. Τροχίσκος ὁ κροκώδης. — Σμύρνης ∠β', κασΙορίου ∠β',
κρόκου ∠γ', ὀποῦ μήκωνος, σελίνου σπέρματος, ὑσσώπου, σΙύ-
2 ρακος ἀνὰ ∠α', ὑοσκυάμου σπέρματος ἀνὰ ∠ς'. Ὕδατι ἀναλαβὼν
ποίει τροχίσκους τριωβολιαίους.

1 ρ'. Λειχηνικὸς τροχίσκος. — Χαλκίτεως, μίσυος, θείου ἀπύ- 25
ρου, χαλκάνθου, λιβάνου ἀνὰ ∠δ', συκῆς φύλλων χλωρῶν ∠ς'.
2 Ὄξει ἀναλάμβανε.

1. λιβ., σχ. ἀνὰ ϟ β' BP. — Ib. σιδ. ∠η' e LN: σιδ. ϟ β' BP; σΙάχον F. — 2. δέ om. BP. — Ch. 94; l. 4. Ἄλλο ὁ M.A.—Ch. 95; l. 7. ὑπώπυα BP; ὑπόπυα F 1ª m.; ὑπόπια 2ª m. — Ch. 96; l. 10. Ἥρᾶ ex em. (Cf. t. II, p. 895-896); Ἥρα A 1ª m.; ἤρης A 2ª m. F; ἤρης P; ἄρης B. — 11. ∠ρ'] ∠β' A. — Ib. ∠β' A. — Ch. 98; l. 19. δέ om. A. — Ch. 99; l. 21. ∠β'] ∠α' BP. — Ib. ∠β'] ∠ι' BP. — 23. ∠ς'] ∠γ' BP. — Ch. 100; l. 27. Οἴνῳ BP.

ρα'. Τροχίσκος πρὸς δυσεντερικοὺς, αἱμοπτοϊκοὺς, ῥοῦν γυναικεῖον. — Ὑποκιστίδος χυλοῦ, γῆς σαμίας, κηκῖδος ὀμφακίτιδος, 1
ἀκακίας κιρρᾶς ἀνὰ ∠η'. Ἀναλάμβανε ὕδατι ὀμβρίῳ· ἡ δὲ χρῆσις· 2
ἐπὶ μὲν δυσεντερικῶν ἐνίεται μετὰ χυλοῦ ὀρύζης, ἢ φακῆς, ἤ τινος
5 τοιούτου· ἐπὶ δὲ αἱμοπτοϊκῶν ἐν κοτύλῃ ψυχροῦ ὕδατος τοῦ φαρμάκου ∠α'· ἐπὶ δὲ ῥοῦ γυναικείου ὁμοίως ἐνίεται μετά τινος χυλοῦ, ἢ προστίθεται ἐν κροκύδι ἐρίου ἀνεθεὶς χυλῷ στρύχνου, ἢ πολυγόνου, ἢ ἀρνογλώσσου, ἤ τινος τοιούτου.

ρβ'. Τροχίσκος ὁ Πασίωνος. — Λεπίδος χαλκοῦ ∠ιβ', χαλκοῦ 1
10 κεκαυμένου, ἁλὸς ἀμμωνιακοῦ, στυπτηρίας στρογγύλης, ἰοῦ ξυστοῦ, λιβάνου ἀνὰ ∠η'. Τρίβε χαλκὸν, ἅλας, ἰὸν, λεπίδα, στυπτηρίαν ὄξος 2
ἐπιβαλὼν ἐν ἡλίῳ· ὅταν δὲ παντελῶς λειωθῇ, ἐπίβαλλε τὸν λίβανον, καὶ τρίψας ἱκανῶς, ὅταν συστραφῇ, ποίει τροχίσκους· ἐπὶ δὲ τῆς χρήσεως ὄξει διαλύων ἐπίχριε.

15 ργ'. Ποδαγρικὸς ὁ Πρόκλου· ἰᾶται ποδάγραν καὶ ἰσχιάδα καὶ καθόλου πάσας ἀρθρίτιδας καὶ πόνους πάντας ἐπὶ ἐνιαυτὸν πινόμενος, καὶ πᾶσαν αἴσθησιν ἀκριβεστέραν ἀπεργάζεται, καθαίρων πρᾴως διὰ οὔρων καὶ τὸ ὅλον σῶμα ὑγιεινότερον κατασκευάζει· ἰᾶται καὶ ἐπιληψίας, σκίῤῥους ἥπατος καὶ σπληνός. — Χαμαίδρυος 1
20 γο θ', κενταυρείου λεπτοῦ ἐγκάρπου γο η', ἀριστολοχίας μακρᾶς ὀρεινῆς γο ζ', γεντιανῆς ἀτρήτου γο ς', ὑπερικοῦ γο ε', πετροσελίνου γο δ', μήου γο γ', ἀγαρικοῦ γο β', φοῦ γο α', μέλιτος κο. β'. Κόπτε καὶ σῆθε ἰδίᾳ ἕκαστον, καὶ μίξας μάλασσε τῷ μέλιτι, καὶ 2
κόψας πλάσσε τροχίσκους ἀνὰ ∠α'. Ἡ δὲ χρῆσις καὶ πόσις εὐπέπτῳ 3
25 περὶ ὥραν τρίτην μετὰ τὸ διακεχωρηκέναι τὴν γαστέρα· ἀνιέσθω δὲ ὕδατος θερμοῦ κυάθοις δυσὶ, καὶ λαβὼν βαδιζέτω ἢ αἰωρείσθω. Ἡ δὲ 4

Ch. 101; l. 3. ∠6' A. — Ib. δέ om. ABP. — 5. ἐν κοτύλῃ e N Alex. Trall.; ἐν κυάθῳ Codd. gr. — Ch. 102; l. 11-12. ἅλας..... ἐπιβαλὼν] καὶ τὰ ἄλλα BP. — 12. ὅταν... ἐπίβαλλε] ὕστερον δέ BP. — 13. τρίψας... συστραφῇ om. BP. — Ch. 103; l. 20. κενταυρίου BFP. — Ib. λεπτοῦ e L qui habet *tenui*: λευκοῦ Codd. gr. — Ib. μακρᾶς om. BP. — 22. γο δ' Paul.; γο γ' Codd. — Ib. μήου γο γ' Paul.; φοῦ γο β' BFP; φοῦ γο α' A. — Ib. γο β' Paul.; γο α' Codd. — Ib. φοῦ γο α' Paul.; om. Codd. — 23. Κόψας σήσας BP.

ἀρχὴ τῆς ϖόσεως μὴ ἐν Θέρει γενέσθω, ἀλλὰ ἔν τινι τῶν ἄλλων
5 ὡρῶν. ΔιάϹημα δὲ ϖρὸς τὸ λουτρὸν ἢ τὴν τροφὴν ὧραι τρεῖς ἔϹωσαν· ἀπεπλήσαντι δὲ ϖάντως φυλακτέα μὴν ἡ ϖόσις· ἀναπληρού-
6 σθω δὲ ὁ τῶν τοῦ ἐνιαυτοῦ ἡμερῶν ἀριθμός. ἜϹω δὲ ἡ δίαιτα εὔχυμος, εὔπεπϹος, μὴ ϖλησμονὴν ἐργαζομένη· κράμβην δὲ ἐσθίειν 5
τοῖς ἀρθριτικοῖς ϖαραινῶ· ἔχει γάρ τι ἀντιπαθές· οἴνῳ δὲ συμμέτρῳ χρῆσθαι, καὶ συμμέτρως κεκραμένῳ μετὰ τὴν τροφήν.

ρδ'. Ὁ διὰ ἠλέκτρου τροχίσκος· ϖοιεῖ ϖρὸς αἱμοϖλοϊκοὺς, βήττοντας χρονίως, φθισικοὺς, ἀναφορικοὺς, ἐμπυϊκοὺς, κοιλιακοὺς, δυσεντερικοὺς, ἐμπνευματουμένους· ἔϹι δὲ καὶ ὠτικὴ ἀγαθή. — 10
1 Ψυλλίου κεκαθαρμένου ∠μ'· οἱ δὲ κ'· ἰλλυρικῆς, μαϹτίχης, ἠλέκ-
2 τρου ῥινήματος, κρόκου ἀνὰ ∠λ', ὀπίου ∠ιε'. Τὸ ψύλλιον βαλὼν εἰς ὕδωρ Θερμὸν ἕα βρέχεσθαι, καὶ ὅταν γλίσχρον καὶ κολλῶδες γένηται τὸ ὕδωρ, ἔκθλιβε τὸ ὑγρὸν, ἐκ τούτου σκευάσας τὸ φάρμακον ἀνάϖλατϹε τροχίσκους καὶ δίδου τριώβολον εἰς ὕϖνον ἀϖερχομέ- 15
νοις· ἔϹωσαν δὲ τοῦ ὕδατος ξ γ'.

ρε'. Τροχίσκος ὁ διὰ τῆς ἀκακίας ϖρὸς ϖοδαγρικοὺς καὶ ἀρθριτικοὺς καὶ φλεγμονὰς καὶ τὰ κνησμώδη ϖάντα κατὰ ἀρχὰς κα-
1 ταχριόμενος. — Ἀκακίας μελαίνης καὶ ξανθῆς ἀνὰ γο δ', κόλλης τεκτονικῆς διαυγοῦς· ἄμεινον δὲ ἰχθυοκόλλης· γο δ', ἀμμωνιακοῦ 20
θυμιάματος γο β', ἀλόης γο β', γλαυκίου γο β', λιβανωτοῦ ἄρ-
2 ρενος, ἐλλεβόρου λευκοῦ καὶ μέλανος ἀνὰ γο α'. Ὄξει σκιλλιτικῷ ἀναλάμβανε καὶ ϖοίει τροχίσκους· ἐπὶ δὲ τῆς χρείας τῷ αὐτῷ ὄξει ἄνιε καὶ κατάχριε καὶ ἕα ξηραίνεσθαι καὶ ἀϖόϖεμϖε εἰς τὸ βαλανεῖον, καὶ ὅταν ἐϖανέλθῃ, τῇ αὐτῇ χρήσει χρῶ. 25

1 ρϛ'. Τροχίσκος ἡμικρανικός. — Καρδάμου σϖέρματος ∠δ', ϖη-
2 γάνου φύλλων χλωρῶν ∠δ', ὀϖίου ∠α'. Ὄξει.

1. γινέσθω A. — 3. μέν Codd. — 3-4. ἀναπλ. ὁ BFP. — Ch. 104; l. 8. ϖοιῶν A — 10. ἐμπνευματωμ. BFP. — 11. οἱ δὲ κ' om. BP. — 12. ∠λ' LN Gal.; ∠α' Codd. gr. — Ib. Τό om. AF. — 13. βραχέσθαι B. — 14. τούτων AF. — Ch. 105; l. 18. φλεγμονάς] ϖρὸς ἄλλα τινὰ ϖάθη A. — Ib. ἀλλὰ καὶ ϖρὸς τά A. — Ib. ϖάνϹα οὕτος καλός A. — 21. λιβάνου τοῦ ἄρρ. A. — Ch. 106; l. 26. Καρδαμώμου ABP. — 27. ∠α'] ∠δ' BFP. — Ib. Ὄξει ἀνάϖλατϹε BP.

ρζ'. Ξηρία. — Ξηρίον ἀπουλωτικόν. Ὀστρέων κεκαυμένων ∠β', 1
μάννης ∠α', καδμείας ὀβολοὺς δ'. Λείοις χρῶ καὶ πρὸς νομάς. 2

ρη'. Ἄλλο ἀπουλωτικὸν ποιοῦν καὶ πρὸς τὰ κακοήθη καὶ πρὸς
νομάς. — Πίτυος φλοιοῦ ∠ς', κέρατος ἐλαφείου κεκαυμένου ∠δ', ἰοῦ 1
5 ξυστοῦ ∠β'. Λείοις χρῶ. 2

ρθ'. Κεφαλικόν· ἀφίστησι λεπίδας, ἀνάγει ὀστᾶ διεφθορότα
καὶ τὰ κοῖλα σαρκοῖ. — Ἴρεως ∠δ', πάνακος ∠δ', ἀριστολοχίας ∠β', 1
λιβάνου ∠β', μάννης ∠β'. Πάντα κόψας καὶ σήσας χρῶ κατὰ ἰδίαν 2
καὶ μετὰ μέλιτος.

10 ρι'. Ἄλλο ἐσχαρωτικὸν καὶ τύλων ἐκκοπτικὸν καταπασσόμενον
καὶ προστριβόμενον πυρῆνι μήλης· ἔστι δὲ καὶ κατασταλτικόν.
— Χαλκίτεως ὠμῆς ∠η', καδμείας ∠δ'. Ἀναλαμβάνεται ὄξει δριμυ- 1.2
τάτῳ καὶ ξηραίνεται καὶ λεαίνεται.

ρια'. Σηπτὸν ἀνώδυνον. — Ἀρσενικοῦ, χαλκίτεως, σανδαράκης 1
15 ἀνὰ ∠δ', τιτάνου ∠η'.

ριβ'. Ἡ ῥοδιακὴ κατασταλλουσα τὰ ὑπερσαρκοῦντα. — Κηκῖδος 1
ὀμφακίτιδος ∠θ', λεπίδος χαλκοῦ ∠ε', χαλκάνθου ∠γ', στυπτηρίας
σχιστῆς ∠δ'. Τὴν ἡμίσειαν κηκῖδα καῦσον καὶ σβέσον οἴνῳ. 2

ριγ'. Τὸ διὰ χάρτου. — Χάρτου κεκαυμένου γο ς', ἀρσενικοῦ, 1
20 σανδαράκης, τιτάνου ἀνὰ ∠δ'. Εἰ δὲ τροχίσκους ποιῆσαι βούλει, 2
χυλῷ ἀρνογλώσσου ἢ οἴνῳ αὐστηρῷ ἀναλάμβανε.

ριδ'. Πρὸς νομάς. — Χαλκίτεως, μίσυος, λεπίδος, κηκῖδος ἴσα. 1

ριε'. Καυστικὸν ἄδηκτον, ἀλλοτριοῦν παραχρῆμα. — Ἀσβέστου 1
γο α', σφέκλης ∠α', νίτρου γο ς'. Λεάνας ἕψε ἐν στακτῇ συκίνῃ 2
25 ἢ ὄξει ἕως δὶς ἢ τρὶς ζέσῃ· ἐχέτω δὲ πρὸ τοῦ ἕψεσθαι γλυκέος πά-
χος. Εἰ δὲ ἐμπλαστῶδες βούλει γενέσθαι, ἰξῷ ἀναλάμβανε ἀνεθέντι 3
ἀτμῷ ὕδατος θερμοῦ.

Ch. 107; l. 1. Ξηρία om. BP. — Ib. Ξηρίον om. A. — Ib. ἐπουλωτικόν BP; ἀπουλωτικά A. — 2. ὀβολοί A. — Ib. Λείου BP. — Ch. 108; l. 3. ἐπουλωτικόν BP. — Ib. καί post ποιοῦν om. BP. — 4. κέρατος ἐλαφείου κεκ. ∠δ' om. B. — 5. ∠β'] ∠α' BP. — Ch. 113; l. 20. ἀνὰ γο δ' BP. — Ch. 115; l. 24. σφέκλης Aët.; φέκλης Codd. — 25. ἢ ὄξει c L N; ὄξει Codd. gr.

ρις'. Ἀνθηρὰ ἐκ τῶν Φιλουμένου πρὸς τὰ ἐν τῷ στόματι ἕλκη.
1 — Σανδαράκης, ἴρεως ἀνὰ ∠δ', κυπέρου ∠η', κρόκου, σμύρνης, στυπτηρίας σχιστῆς ἀνὰ ∠β', ῥόδων ἄνθους ἀνὰ ∠α'.

1 ριζ'. Κολλύρια. — Τὸ λιβιανόν. Στίμμεως κεκαυμένου καὶ πεπλυμένου ∠ιβ', καδμείας κεκαυμένης καὶ πεπλυμένης ∠ιβ', ψιμυθίου κεκαυμένου καὶ πεπλυμένου ∠ις', ἀμύλου ∠ις', σποδίου ∠η', ἀστέρος σαμίου ∠η', μολίβδου κεκαυμένου καὶ πεπλυμένου ∠η', τραγακάνθης ∠η', σμύρνης ∠η', ὀπίου πεφωγμένου ∠β', κόμμεως ∠δ', πρὸς τὴν ἀνάληψιν ᾠῶν προσφάτων κ' τὸ λευκὸν, ὕδωρ ὄμβριον.

1 ριη'. Σύλλουτρον τὸ Ἀπολλιναρίου. — Ψιμμιθίου ∠κδ', καδμείας ∠η', χαλκοῦ κεκαυμένου ∠ιβ', σμύρνης ∠β', ἀλόης ∠β', κρόκου ∠β', ἀκακίας ∠δ', τραγακάνθης ∠η', ἀμύλου ∠ς', ὀπίου ∠ιβ', κόμμεως ∠ι', ὕδωρ ὄμβριον.

ριθ'. Κύκνος ξανθὸς Βάσσου πρὸς ῥεύματα καὶ περιωδυνίας καὶ
1 ἑλκώσεις διὰ ᾠοῦ ἢ ὕδατος. — Καδμείας κεκαυμένης καὶ πεπλυμένης ∠λβ', ψιμμιθίου πεπλυμένου ∠ις', σποδίου ∠ις', ὀπίου πεφωγμένου ∠η', ἀκακίας κιρρᾶς, ἀμύλου, κόμμεως, τραγακάνθης ἀνὰ ∠δ', ὕδωρ ὄμβριον.

1 ρκ'. Τὸ διὰ ἐρείκης. — Ἐρείκης καρποῦ, σμύρνης, ὀπίου ἀνὰ ∠β', χαλκοῦ κεκαυμένου ∠α', κόμμεως ∠ς', ἀκακίας ∠ς', καδμείας ∠ς', ὕδωρ ὄμβριον.

ρκα'. Τὸ οὐράνιον πρὸς ἕλκη, φλυκταίνας, ῥήξεις, ἐπικαύματα, προπτώσεις, σταφυλώματα, ὑποπύους, διαβρώσεις, νομὰς, ἄνθρακας, καὶ πρὸς πάσας τὰς μεγάλας διαθέσεις, μάλιστα δὲ τρυφε-
1 ροφθάλμοις καὶ χαροποῖς. Ἐν ἀρχαῖς ὑδαρεστέρως ἐγχυμάτιζε·

CH. 116. Hoc caput bis exhibent Codd., nempe hoc loco et post caput ρο' (p. 143, l. 13). — 1. ἐκ τῶν Φιλ. om. A utroque loco, reliqui Codd. altero loco. — Ib. τῷ om. A utroque loco. — 3. ἀνά om. BP. — CH. 117, l. 7-8. τραγακ. ∠η' e LN; om. Codd. gr. — 8. ∠β' e LN; ∠η' Codd. gr. — 9. ∠δ' Paul.; ∠α' Codd. — CH. 118; l. 12-13. ἀλ. ∠ η', κρ. ∠ η', ἀκ. ∠ δ', τραγ. ∠ ια' BP. — CH. 120; l. 21. χαλκοῦ e L N; χαλκάνθου Codd. gr. — CH. 121; l. 25. δέ om. BP. — 26. ἐγχυματίζεται BP.

ὅταν δὲ λεπτὸν καὶ δηκτικὸν ᾖ καὶ πυρῶδες τὸ ῥεῦμα, χρῶ μετὰ γάλακτος· ὅταν δὲ ἀνακαθαρθῇ καὶ παχὺ ῥεῦμα διαλῦσαι θέλῃς, διὰ ὕδατος. — Γῆς σαμίας ὠπτημένης γο γ', σποδίου πεπλυμένου γο α', καδμείας κεκαυμένης καὶ πεπλυμένης γο ϛ', στίμμεως πεπλυμένου γο β', λεπίδος πεπλυμένης γο δ', ὀπίου ∠ς', κόμμεως γο δ', ὕδωρ ὄμβριον.

ρκϛ'. Κολλύριον τὸ ἀχάριστον πρὸς τὰς μεγίστας ἐπιφοράς· ποιεῖ μάλιστα ἐπὶ τῶν ἀγροικοτέρων. — Καδμείας ∠ις', ἀκακίας ∠η', χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ∠η', ὀπίου ∠δ', ἐρείκης καρποῦ ∠δ', σμύρνης ∠δ', κόμμεως ∠ις'. Ὕδατι ἀναλάμβανε. Ἡ χρῆσις διὰ γάλακτος γυναικείου· ἡ κρᾶσις μέση. Ὅταν δὲ οὐδὲ ᾖ ἐπιφορά, ἀλλὰ ἡ διάθεσις περὶ τοὺς ὀφθαλμοὺς ᾖ, ἀπέχεσθαι δεῖ τοῦ κολλυρίου.

ρκγ'. Τὸ διὰ λιβάνου πρὸς ῥεύματα καὶ χημώσεις. — Καδμείας κεκαυμένης καὶ πεπλυμένης ∠κ', λιβάνου ∠κ', ψιμμιθίου πεπλυμένου ∠μ', ὀπίου ∠ς', κόμμεως ∠ς'. Ὕδατι ὀμβρίῳ.

ρκδ'. Κύκνος πρὸς ἕλκη παντοῖα, ἐπιφορὰς, περιωδυνίας, ὑποπύους ὀφθαλμούς. — Σποδίου πεπλυμένου ∠δ', γῆς σαμίας, ἀμύλου, ἀκακίας, ὀπίου ἀνὰ ∠δ', τραγακάνθης ∠ϛ'. Ὕδατι ὀμβρίῳ. Ἡ χρῆσις διὰ ᾠοῦ.

ρκε'. Λιβιανὸν πρὸς φλύκτεις, ἐπικαύματα, ῥήξεις, κοιλώματα, πρὸς ὑποπύους ὀφθαλμοὺς, χημώσεις, σταφυλώματα, πρὸς περιωδυνίας καὶ διαθέσεις· καὶ οὐλὰς ἀποσμήχει. — Καδμείας κεκαυμένης καὶ πεπλυμένης ∠ις', ψιμμιθίου ∠γ', σμύρνης ∠ιϛ', στίμμεως κεκαυμένου καὶ πεπλυμένου ∠ιϛ', μολίβδου κεκαυμένου καὶ πεπλυμένου ∠η', ὕδωρ, καὶ πρὸς τὴν ἀνάληψιν ᾠῶν εἴκοσι τὸ λευκόν· ἐν ἄλλῳ καὶ ὀπίου ∠ϛ'.

1. δηκτικόν Aët.; δηκτόν Codd. — 4. πεπλυμ. καί om. BP. — Ch. 122; l. 8. ποιεῖ om. A. — Ib. ἐπί om. A. — Ib. ἀγροίκων A. — 9. πεπλ. ∠ϛ' A. — 10. ∠ις' e LN: ∠ς' Codd. gr. — Ch. 123; l. 14. ῥεῦμα F. — 15. ∠κ'] ἀνὰ ∠ς' A. — Ib. ∠κ'] χ μ' BP. — Ch. 124; l. 19. ∠ϛ'] ∠α' BP. — Ch. 125; l. 21. φλυκταίνας BP. — 22. σταφ. περ. BP. — 25. μολίβδου] βδελλίου BP. — 26. ∠η'] χ ϛ' BP. — Ib. ὕδωρ τὸ ἀρκοῦν BP. — Ib. τὰ λευκά BP. — 27. β'] ια' BP.

ρκς'. Τὸ διὰ κέρατος ἐλάφου πρὸς ἕλκη, φλύκτεις· καὶ οὐλὰς
1 ἀποσμήχει. — Κέρατος ἐλάφου κεκαυμένου ∠δ', λιβάνου ∠δ', μο-
λίβδου κεκαυμένου καὶ πεπλυμένου ∠β', λεπίδος χαλκοῦ ∠β', ὀπίου
∠α', κόμμεως ∠δ', ὕδωρ ὄμβριον.

1 ρκζ'. Δημοσθένους τὸ Νειλέως διὰ ῥόδων. — Ῥόδων ἀπαλῶν ∠δ', 5
κρόκου ∠β', μήκωνος ὀβολὸς, νάρδου ὀβολὸς, κόμμεως ∠α', ὕδωρ.
2 Ποιεῖ δὲ πρὸς χημώσεις καὶ προπλώσεις καὶ φλυκταίνας καὶ ἕλκη
προέχοντα καὶ ῥυπαρὰ καὶ πρὸς περιωδυνίας καὶ τραχέα βλέ-
φαρα.

1 ρκη'. Τὸ μηδικόν. — Γλαυκίου ∠δ', σαρκοκόλλης ∠δ', κρόκου 10
2 ∠α', τραγακάνθης ∠β'. Λεάνας ἐν ὕδατι τὰ ἄλλα, ὅταν καλῶς ἔχῃ,
προβεβρεγμένην τὴν τραγάκανθαν συλλέανον, καὶ ἀναπλάσας χρῶ
πολλάκις ὑπαλείφων παχυτέρῳ.

1 ρκθ'. Τὸ σποδιακὸν ποιοῦν πρὸς φλεγμονὰς καὶ ῥεῦμα. — Λι-
βάνου, σλίμμεως ἀνα ∠ρ', καδμείας, ψιμμιθίου ἀνὰ ∠κδ', γῆς ἀσλέ- 15
2 ρος ∠γ', μήκωνος ∠γ', κόμμεως ∠ιε'. Λέαινε ἐν θαλλίας χυλῷ,
ποίει δὲ τὸν χυλὸν οὕτως· τὰ ἀπαλώτατα φύλλα τῆς ἐλαίας πλυ-
θέντα κόψας ἐν ὅλμῳ, σύμμετρον ὕδατος παραχέων, διὰ ὀθονίου
καθαροῦ ἀπόθλιψον.

1 ρλ'. Νάρδινον. — Καδμείας ∠ιβ', χαλκοῦ κεκαυμένου ∠γ', σλίμ- 20
μεως ∠κ', νάρδου συριακῆς ∠δ', ἀκακίας ∠ι', κρόκου ∠β', κόμμεως
2 ∠κ'. Λέαινε ὀμβρίῳ ὕδατι.

ρλα'. Κολλύρια μήτε ἐμπλάσσοντα, μήτε παχύνοντα τὰ ὑγρὰ,
ἀλλὰ χέοντα καὶ ἐκκρίνοντα, οἷά ἐσλι τὸ ἀρωματικὸν καὶ τὸ χια-
1 κόν· ἔσλι δὲ τὸ μὲν ἀρωματικὸν τοιόνδε. — Πομφόλυγος ∠ε', χαλ- 25

Ch. 126; l. 3. λεπ... β' LN Gal.; om. Codd. gr. — 4. δ'] β' BP. — Ch. 127; l. 5. Νειλέως Cels.; Νείλου Codd., et sic sæpius.—Ib. διάῤῥοδον BP; διάροδον F. — 6. α'] β' BP. — 7. δὲ καὶ πρός F. — Ib. προπλώσεις Gal.; πλώσεις Codd. — 8. προέχοντα e conj.; προέχον F; προέχων BP. —Ib. πρός om. BP.—Ch. 128; l. 10. μαδικόν BP. — Ib. κρόκους BP, et sic sæpius. — 11. β'] α' BP. — Ib. ὅταν] ὅπως BP. — Ch. 129; l. 14 ῥεύματα BP. — 15-16. σαμίας γῆς ἀσλέρος Codd. — 17. ἀπαλλότερα BP. —18. παραχέας BP. — Ch. 130; l. 20. ιβ'] ιη' BP. — Ib. γ'] ς' BP. — 21. β'] α' BP. — Ch. 131; l. 25. ε'] γ' BP.

κοῦ κεκαυμένου ∠ϐ', σμύρνης ∠γ', λίθου αἱματίτου ∠δ', ϖεπέρεως λευκοῦ κόκκοι ιη', κρόκου ∠ϐ', κόμμεως ∠γ'. Οἴνῳ χίῳ ἢ Φαλε- 2
ρίνῳ χρῶ.

ρλϐ'. Τὸ δὲ χιακόν. — Σποδίου ∠γ', χαλκοῦ κεκαυμένου ∠γ', 1
5 κρόκου ∠α', σμύρνης ∠δ', μηκωνείου ∠α', ϖεπέρεως λευκοῦ κόκκοι ιϐ', κόμμεως ∠α'. Λέαινε οἴνῳ χίῳ ἀθαλάσσῳ ἢ ἀμιναίῳ. 2

ρλγ'. Ξηρὸν ϖρὸς τοὺς ψωρώδεις καυθούς. — Χαλκίτεως ∠ε', 1
καδμείας ∠ε'. Λεῖα ἐντίθεται εἰς ἀγγεῖον κεραμεοῦν καὶ βάλλεται τὸ 2
χυτρίδιον εἰς ὄξος κεκραμένον, ὥσϑε ἔξω μὲν βρέχεσθαι τὴν χύτραν,
10 ἔσωϑεν δὲ αὐτῆς μὴ ϖαραῤῥυῆναι τὸ ὑγρὸν, καὶ ἀφίεται ἡμέρας ζ', εἶτα ξηραίνεται.

ρλδ'. Κολλύριον τὸ δικέντητον. — Καδμείας ∠δ', ἰοῦ ∠α', μί- 1
συος ὀπτοῦ τριώϐολον, ϖεπέρεως λευκοῦ ∠γ', κόμμεως ∠ϐ'. Ποιεῖ 2
δὲ καὶ ϖρὸς ἀμϐλυωπίας καὶ ϖρὸς ἀρχομένας ὑποχύσεις καὶ λεπτύ-
15 νει· ἔστι δὲ ϑερμόν.

ρλε'. Ἡ Ἐρασιστράτου ϖάγχρηστος ὑγρὰ ϑαυμαστὴ ϖοιοῦσα ϖρὸς φλεγμονὰς τῶν ὀφθαλμῶν καὶ ϖρὸς τὰς ἀρχομένας ὀφθαλμίας καὶ βλέφαρα τραχέα, καὶ σχεδὸν ϖερὶ ϖᾶσαν ὀφθαλμίαν τῶν ἐνεργῶν· ἐχρῆτο δὲ αὐτῇ καὶ ϖρὸς αἰδοῖα ἡλκωμένα καὶ ὦτα ϖυορ-
20 ροοῦντα καὶ ϖαρίσθμια καὶ σταφυλὰς καὶ ϖρὸς τὰ ἐπὶ τοῦ σώματος ἄλλως οὐχ ὑγιαζόμενα ἕλκη, καὶ μελανίας τὰς ἐπὶ τῶν ἑλκῶν, καὶ ϖρὸς τὰ ἐν τοῖς μυκτῆρσι γινόμενα ϖάθη καὶ τὰ ἐν τῷ στόματι. — Ἔστι δὲ χαλκοῦ κεκαυμένου ∠ϐ', σμύρνης ∠α', μίσυος ὀπτοῦ ∠α', 1
ϖεπέρεως ὀϐολοὺς β', κρόκου τριώϐολον. Οἴνῳ χίῳ λεαίνεται, εἶτα 2
25 μίγνυται γλυκέος κο. α', καὶ ϖάλιν λεαίνεται ἕως μιγῇ τὸ φάρμακον, εἶτα εἰς χαλκοῦν ἀναληφθὲν ἀγγεῖον ἕψεται ἐπὶ μαλακοῦ ϖυρὸς

1-2. λίϑου... γ' om. BP. — Ch. 132; l. 5. ∠α' post μηκ. e L; ∠δ' Codd. gr.— 6. ιϐ'] η' BP. — Ch. 133; l. 8. ἀλλὰ καί BP. — Ch. 134; l. 12. δικέντητον Aët.; διακέντητον Codd. — Ib. δ'] ε' BP. — 13. λευκοῦ] ὀπτοῦ BP. — Ib. β'] α' BP. — 14. δὲ ϖρός BP. — Ch. 135; l. 16. ὑγρὰ ϑαυμ. om. A. — 17. καὶ ϖρὸς τάς om. A. — 18-19. βλέφ... ἡλκ. καί om. A. — 18. τραχέα om. BP. — 20. ϖρὸς τά om. BFP. — 21. καὶ..... ἑλκῶν om. A. — 24. ὀϐ. β' L N Gal.; ὀϐ. ιϐ' Codd. gr. — 25. ϖάλιν ὁμοίως BP.

μέχρι γένηται ἰξῶδες, εἶτα μεταχεῖται εἰς χαλκῆν πυξίδα, καὶ τελέως ἔχει πρὸς τὰς εἰρημένας χρείας.

ρλς'. Κολλύριον πρός τε τὰ καθαρὰ ἕλκη καὶ ἀκάθαρτα, καὶ τὰ νεμόμενα καὶ τὰς ὑπεροχὰς, ἔτι δὲ παλαιὰς διαθέσεις καὶ τραχέα βλέφαρα καὶ συκώσεις καὶ ἐκτροπὰς καὶ ἥλους καὶ σταφυλώματα καὶ ῥεῦμα πᾶν καὶ περιωδυνίας καὶ ψωροφθαλμίας· ποιεῖ δὲ καὶ τὰς οὐλὰς λείας· ποιεῖ δὲ καὶ πρὸς τὰς ἀνθρακώσεις καὶ τὰς πυώσεις· παραδιαφορηθείη γὰρ ἂν τὸ πύον· καὶ καθόλου κάλλιστον
1 πρὸς πάντα τὰ ἐν ὀφθαλμοῖς. — Ἔστι δὲ σποδίου ∠γ', χαλκάνθου ∠β', κρόκου ∠α', σμύρνης ὀβολοὺς δ', μηκωνείου ὀβολοὺς δ', πεπέρεως λευκοῦ κόκκοι ιβ', κόμμεως ∠α', οἴνου χίου αὐστηροῦ ἢ ἀμιναίου τὸ ἱκανόν.

ρλζ'. Ἄλλο πρὸς τὰ καθαρὰ ἕλκη καὶ ἤδη δεόμενα πληρώσεως καὶ ἀπουλώσεως τὸ τοῦ Κλέωνος λεγόμενον, ᾧ καὶ ἡμεῖς χρώμενοι εὐαρεστοῦμεν· πάνυ γὰρ βαθύτατα ἕλκη πληροῖ τάχιστα καὶ κατουλοῖ συντόμως λεπταῖς καὶ ἀδήλοις οὐλαῖς, καὶ ἀφλέγμαντα τὰ
1 ἕλκη διατηρεῖ. — Ἔστι δὲ σποδίου ∠δ', μολίβδου κεκαυμένου μετὰ θείου ἀπύρου καὶ πεπλυμένου ∠δ', λεπίδος στομώματος πεπλυμέ-
2 νης ∠α' καὶ τριώβολον, κόμμεως ∠β'. Ὕδατι λεάνας καὶ ἀναπλάσας χρῶ μετὰ γάλακτος ἢ ᾠοῦ τοῦ λευκοῦ.

1 ρλη'. Κολλύριον τὸ Δίωνος. — Σποδίου ∠δ'· οἱ δὲ ∠α'· φλοιοῦ λιβάνου ὀβολὸν, σμύρνης ὀβολὸν, λεπίδος χαλκοῦ ὀβολὸν, ἀκακίας, νάρδου ἰνδικῆς, μηκωνείου πεφωγμένου ἀνὰ ὀβολὸν, κόμμεως ∠δ',
2 ὕδωρ ὄμβριον. Ἔγχριε διὰ ᾠοῦ.

1. μέχρι] ἕως A. — Cn. 136; l. 3. πρὸς τὰ κάθυγρα καὶ ἀκάθαρτα ἕ. A. — 3-4. καὶ νεμ. A. — 4-5. καὶ τὰς... ἥλους om. A. — 6. καὶ ῥ. πᾶν om. A. — 6-7. ψωροφθ... πρὸς τάς om. A. — 7. οὐλ. λ.] προσφάτους καὶ παχείας BP. — 7-8. καὶ πυώσεις A. — 8. παραδ. ...πύον om. A. — Ib. παραδιαφ. e L qui habet *digerit*; παραδιηθείη F; παραδινθείη BP. — Ib. ἂν e conj.; καί BP; om. F. — 9. Ἔστι δέ om. BP. — 10. ὀβολοὶ..... ὀβολοί A. — 11. κό. ιβ'] ∠α' A. — 11-12. ἢ ἀμ. om. ABP. — Cn. 137; l. 13. ἕλκη ἤδη BP. — 14. ἐπουλ. BP. — 15. εὐχαριστοῦμεν BP. — 17. δ' e N; α' Codd. gr. — Ib. μολ.] βδελλίου BP. — 18. στομώμ. om. BP. — Cn. 138; l. 21. οἱ... α' om. BP.

ρλθ'. Κολλύριον τὸ καλούμενον πεπιεσμένον ἄριστον πρὸς οὐλὰς καὶ τὰ ὑπερσαρκώματα καὶ πρὸς τραχέων βλεφάρων ἀποκάθαρσιν καὶ πρὸς τὰς ἐκτροπὰς καὶ λιθιάσεις καὶ χαλάζια καὶ σκιρρώδεις διαθέσεις καὶ πτερύγια καὶ ἐγκανθίδας καὶ ψωροφθαλμίας καὶ
5 ὑμένων παχύτητας καὶ ῥεύματος πολλοῦ καὶ παχέος ἀποκάθαρσιν, καὶ πρὸς τὸ ὑδαρὲς καὶ πολὺ ἐπέχειν ῥεῦμα· ἀποτήκει τε γὰρ καὶ ἀποκαθαίρει ἀσφαλῶς, λεπτύνει καὶ σμήχει δάκνον ἱκανῶς, ἀσύγχυτόν τε τηρεῖ τὸν ὀφθαλμὸν, ἥδιστον καὶ προσηνέστατον. — Ἔστι 1
δὲ τοιόνδε· χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου ὀβολοὶ δ', κρόκου
10 ∠α', σμύρνης ὀβολοὶ γ', νάρδου ἰνδικῆς ὀβολοὶ β', κινναμώμου ὀβολοὶ β', μήκωνος ὀβολοὶ β', πεπέρεως κόκκοι ιε', κόμμεως ὀβολοὶ γ', οἴνου χίου τὸ ἱκανόν. Εἰ δέ ποτε προσβάλλοις σποδίου ∠δ', γίνε- 2
ται πρὸς πᾶν ῥεῦμα καὶ ὀφθαλμίαν ἄριστον.

ρμ'. Κολλύριον πρὸς ἀνθρακώσεις τὸ λεγόμενον ἀνίκητον. —
15 Σποδίου πεπλυμένου ∠δ', μηκωνείου ∠α', ὑοσκυάμου χυλίσματος 1
∠α', ἀκακίας ∠α', νάρδου ὀβολοὶ β', λεπίδος χαλκοῦ ἐρυθροῦ ὀβολοὶ β', λιβάνου ἀτόμου αἰθάλης ὀβολοὶ δ', κόμμεως ∠γ', κωνείου χυλίσματος ∠α'. Ἔστι δὲ καὶ περίχριστον. 2

ρμα'. Πρὸς ἄνθρακας. — Μηκωνείου, ἀκακίας, ὑοσκυάμου ἢ μί- 1
20 συος, μυρίκης καρποῦ ἑκάστου ἴσον. Λεάνας καὶ διεὶς οἴνῳ παχεῖ 2
ἐπίχριε τούς τε ἐπὶ τῶν ὀφθαλμῶν ἄνθρακας καὶ περὶ τὰ ἄλλα μέρη.

ρμβ'. Κολλύριον πρὸς φθίσιν. — Ἀμμωνιακοῦ ∠α', κροκο- 1
μάγματος ∠δ', κρόκου ∠β', ἰοῦ ∠α'. Ὕδατι ἀναλάμβανε. 2

25 ρμγ'. Πρὸς ὑποχύσεις. — Μαράθρου χλωροῦ χυλὸν μίξας μέλιτι 1

CH. 139; l. 1-2. οὐλάς] βλέφαρα A. — 2. καὶ τά om. A. — Ib. ὑπερσαρκοῦντα A. — 2-3. καὶ... ἐκτρ. καί om. A. — 4-5. καὶ ψωροφθ... ἀποκάθαρσιν om. A. — 7. ἀσφ. om. A. — Ib. ἰσχυρῶς BP. — 8. δέ BP. — Ib. ἥδ. τε καί A. — 9. τοιοῦτον F. — Ib. ὀβολούς BFP. — 10-11. νάρδου..... ὀβ. γ' om. BP. — Ib. κινναμώμου ὀβ. ιβ' A. — 12. Εἰ... προσβάλλοις om. A. — Ib. α' A. — 13. ὀφθαλμίας A. — CH. 140; l. 15. μήκωνος A. — 16. λεπίδος c N; om. Codd. gr. — 17. γ'] ς' BP. — CH. 141; l. 19-20. ὑοσκυάμου ἡμίσεος A. — CH. 142; l. 23. Κολλύριον φθισικόν F.

2 ἴσον ἴσῳ ἅμα ζέσον ἕως ὅτου μέλιτος σχῇ πάχος. Τοῦτο καὶ πλε-
ρύγια ἀφαιρεῖται· ἡμεῖς δὲ μάλιστα χρώμεθα τῇ ὑπογεγραμμένῃ·
3 ἐπὶ πολλῶν γὰρ τὸ δέον ἐποίησεν. Καυκαλίδος χυλοῦ, χαμαίδρυος,
4-5 κορωνόποδος ἑκάστου ἴσον. Λεάνας ποιεῖ κολλύρια. Ἐνίοτε δὲ καὶ
ὀθόννης χυλοῦ ἓν μέρος ἔμιξον· ταύτην δὲ τὴν ὀθόννην τινὲς κα- 5
6 λοῦσι χελιδόνιον μέγα, ὡς ὁ Διοσκορίδης (II, 213) φησίν. Φυ-
λάττεσθαι δὲ χρὴ τὸ μικρὸν χελιδόνιον ὃ καλοῦσι καὶ πυρὸν ἄγριον·
δριμὺ γάρ ἐστι καὶ ἑλκοῖ ὡς καὶ ὁ Γαληνὸς (*Med. simpl.* VIII, XXII,
7 9) μαρτυρεῖ. Ἀδηκτότερον δέ ἐστι τὸ πρότερον τὸ πρὸς ὑποχύσεις.

1 ρμδ'. Ἀρχιγένους ὀξυδορκικώτατον. — Ὀνίσκου τοῦ ἰχθύος λίπος 10
2 τὸ ἐν τῇ κοιλίᾳ λαβὼν ἀπόστησον γο γ', σκαμμωνίας γο ϛ''. Τού-
3 τοις λείοις μίσγεται κεδρίας γο α'. Ἐγχρίεσθαι δὲ δεῖ ἢ ἐν βαλα-
νείῳ ἢ ἐν ἡλίῳ ἐκπύρῳ.

ρμε'. Δημοσθένους κολλύριον πρὸς τὰς παλαιὰς διαθέσεις. —
1 Λυκίου ∠γ', χαλκοῦ κεκαυμένου ∠ιβ', καδμείας ∠ιβ', μηκωνείου 15
2 ∠ϛ', κρόκου ∠ιβ', ἀκακίας ∠ιβ'. Λέαινε ὕδατι.

1 ρμϛ'. Ἀνακόλλημα ῥεύματος ἐφεκτικὸν Κλέωνος. — Γῆς σαμίας
2 μέρος ἓν, σμύρνης μέρος ἓν, μάννης μέρος ἕν. Ἀναλάμβανε ᾠοῦ
τῷ λευκῷ, ἔπειτα ἐμπλάσας εἰς ὀθόνην ἐπιτίθει κατὰ τῶν κροτά-
φων καὶ τοῦ μετώπου. 20

1 ρμζ'. Ξηρὸν καλλιβλέφαρον ποιοῦν νηπίοις μάλιστα. — Στίμ-
μεως ∠ις', μολίβδου κεκαυμένου ∠η', λεπίδος, κρόκου, ῥόδων ἄν-
θους, σμύρνης, νάρδου ἰνδικῆς, λιβάνου ἄρρενος, πεπέρεως λευκοῦ
2 ἀνὰ ∠α', φοινίκων ὀστᾶ λ'. Πάντα βαλὼν εἰς ἄγγος κεραμεοῦν ὅπλα
φιλοπόνως, ἔπειτα εἰς θυίαν ἐξεράσας καὶ τρίψας ἐπίβαλλε ὀπο- 25
βαλσάμου κοχλιάρια δύο, ἔπειτα ἀνακόψας καὶ ξηράνας χρῶ.

ρμη'. Ξηρίον πρὸς ψωροφθαλμίαν καὶ σύκωσιν καὶ σηπεδόνας
1 καὶ ὑπερσαρκώματα. — Καδμείας ∠ι', χαλκίτεως ∠κ', πεπέρεως
2 κόκκοι ιε', νάρδου κελτικῆς ∠α'. Τρίβε καδμείαν καὶ χαλκῖτιν μετὰ

1. ἅμα ζέον F; ἀνάξεσον A. — Ib. σχεῖ BP. — Ib. τό om. BP. — Cu. 144; A; ἔχει BFP. — Ib. σύστασιν BP. — l. 12. Χρίεσθαι BP. — 13. εἰς πύρωσιν 5. ὀθόνης... ὀθόνην Could. — 9. πρῶτον BP. — Cu. 146; l. 19. ὀθόνιον ABP

οἴνου καὶ ὅταν ξηρανθῇ, ἐπίβαλλε νάρδου καὶ τὸ πέπερι καὶ ποιήσας χυοῶδες χρῶ.

ρμθ'. Ὑγρὰ πρὸς τὰς συκώδεις ἐπαναστάσεις καὶ πάσης σαρκὸς ἐξοχὴν, καὶ πρὸς ἐγκανθίδας. — Μίσυος ὀπτοῦ ∠ς', χαλκάνθου 1
5 ∠δ', μέλιτος ἀττικοῦ κυάθους ι'.

ρν'. Ἄλλο πρὸς τύλους καὶ πᾶσαν ἐξοχήν. — Χαλκοῦ κεκαυμένου 1
∠β', μίσυος κεκαυμένου ∠α', σμύρνης, κρόκου, ὄμφακος ἀνὰ ∠α', οἴνου χίου κυ. η', μέλιτος ἀττικοῦ γο ς'.

ρνα'. Πρὸς ὀξυδορκίαν καὶ ἀπογλαύκωσιν. — Πέρδικος χολῆς 1
10 μέρος α', μέλιτος ἀττικοῦ μέρη γ', κενταυρείου χυλοῦ μέρος α'.

ρνβ'. Οὐλὰς ὀφθαλμῶν ἆραι. — Λαγωοῦ χολὴν μετὰ μέλιτος 1
λειώσας ἔγχριε.

ρνγ'. Ἀνακολλήματα τριχῶν. — Κηροῦ, πίσσης, λιθοκόλλης ἀνὰ 1
∠α' ὁμοῦ τήξας ἀπόθου· ἐν δὲ τῇ χρήσει μηλωτίδος τὸ ἄκρον πυ-
15 ρώσας παράπτου τῷ φαρμάκῳ, καὶ τὸ διαλυόμενον αἴρων ἀνακόλλα τὰς τρίχας.

ρνδ'. Πρὸς κριθὰς καὶ χαλάζια. — Σαγαπηνὸν μετὰ ὄξους τρί- 1
ψας χρῶ.

ρνε'. Πρὸς αἰγίλωπας. — Λιβάνου ∠η', σμύρνης ∠η', λαδάνου 1
20 ∠δ', κηροῦ ∠η', σχιστῆς ∠δ', ἀφρονίτρου ∠δ', πυτίας λαγωοῦ
∠δ'. Κόπτεται τὸ φάρμακον καὶ μαλάσσεται ἰρίνου μύρου ὑπο- 2
στάθμῃ.

ρνς'. Πρὸς περιωδυνίας ὀφθαλμῶν κατάπλασμα. — Ῥόδων ξη- 1
ρῶν ∠δ', ὀπίου ∠α', κρόκου ∠α'. Ἀναλάμβανε μελιλώτου ἀφεψήματι 2
25 ἐν γλυκεῖ.

ρνζ'. Πρὸς περιωδυνίας ἐπίχρισμα. — Ἀλόης, λυκίου, ῥόδων 1
χλωρῶν, κρόκου, ὀπίου, σμύρνης ἑκάστου τὸ ἴσον. Οἴνῳ φυράσας 2
ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ· ἐν δὲ τῇ χρήσει γλυκεῖ διαλύων ἐπίχριε τοὺς ὀφθαλμοὺς καὶ τὸ μέτωπον καὶ τοὺς κροτάφους.

1. ξηρανθῇ] γὰρ κρανθῇ BP. — Ch. 1. 10. κενταυρίου BFP. — Ch. 152; 150; l. 7. ∠β' om. BP. — Ib. ∠α' post l. 11. Πρὸς οὐλὰς ὀ. ἆ. BP. — Ch. 155; κεκ. om. BP. 8. γ ο α' BP. — Ch. 151; l. 20. σχ. ∠δ' om. BP.

ρνη'. Διὰ ῥόδων Διαγόρου τὸ μέγα καλούμενον πρὸς περιωδυνίας, φλυκταίνας, ἐπικαύματα, σταφυλώματα, προπτώσεις, ὑποπύους ὀφθαλμοὺς, ῥεύματα παλαιὰ, ὀφθαλμίας, δυσαπαλλάκτους
1 διαθέσεις. — Ῥόδων χλωρῶν χωρὶς τῶν λοβῶν ∠οβ', καδμείας ∠κδ', κρόκου ∠ς', ὀπίου ∠γ', σλίμμεως ∠β', χαλκοῦ κεκαυμένου ∠β', ἰοῦ ∠β', νάρδου ἰνδικῆς ∠α', σμύρνης ∠γ', κόμμεως ∠κδ', ὕδωρ ὄμβριον. 5

ρνθ'. Κροκῶδες παιδικὸν ἐπιγραφόμενον πρὸς ἐπιφορὰς καὶ
1 περιωδυνίας καὶ τὰς ἐκ πληγῶν διαθέσεις. — Σποδοῦ πομφόλυγος
2 ∠ις', κρόκου ∠ις', ὀπίου ∠ις', τραγακάνθης ∠η'. Ὕδατι ὀμβρίῳ, καὶ πρὸς τὴν ἀνάληψιν ὠῶν τεσσάρων τὸ λευκόν. 10

ρξ'. Τὸ Ἀσκληπιάδειον τὸ Παππιανὸν πρὸς περιωδυνίας, ῥεῦμα λεπτὸν καὶ πολὺ, ἐπικαύματα, φλυκταίνας, ὑμένων ἐπαναστάσεις, τραχώματα, κεχρονισμένας διαθέσεις· καὶ τοὺς ὑπὸ πολλῶν ἐγχρί-
1 σεων βλαβέντας παραχρῆμα ὠφελεῖ. — Καδμείας, χαλκοῦ κεκαυμένου, κρόκου, λεπίδος χαλκοῦ ἀνὰ ∠ιβ', σμύρνης, λίθου αἱματίτου, ῥόδων ξηρῶν, νάρδου ἰνδικῆς, ὀπίου ἀνὰ ∠δ', πεπέρεως λευκοῦ
2 κόκκοι κ', κόμμεως ∠ιβ', οἴνου χίου τὸ αὔταρκες. Ἡ χρῆσις διὰ ᾠοῦ. 15

ρξα'. Πρὸς τὴν ἀχλὺν τῶν ὀμμάτων ἐγχεῖν δεῖ τοῖς ὀφθαλμοῖς
1 ἐπὶ ἑκάστης ἡμέρας ὧδε πεποιημένον ἐπὶ μῆνα καὶ ἡμέραν. — Μάραθρα βάλλειν χλωρὰ εἰς ἄγγος κεραμεοῦν ἔξωθεν πίσσῃ κεχρισμένον καὶ ὕδωρ ὄμβριον, ἔπειτα ἐξελόμενον τὰ μάραθρα ἔχειν ἀποκείμενον. 20

1 ρξβ'. Σμήγματα καὶ δρώπακες. — Σμῆγμα ὁ Ἀσκληπιός. Ἀλῶν κοινῶν, ἁλῶν ἀμμωνιακῶν, ἁλῶν καππαδοκικῶν πεφωγμένων, νίτρου φρυκτοῦ, κισήρεως, ἀφρονίτρου λευκοῦ, δαφνίδων ξηρῶν ἀνὰ 25

Ch. 158; l. 1. Διάῤῥοδον ABP; διάροδον F. — 2. προπτ om. A. — 3. παλαιάς ABP. — 5. κεκαυμ. N; om. Codd. gr. — 6. ἰοῦ ∠β' N Lips.; om. Codd. gr. — Ib. σμ. ∠γ' LN Aët. Paul.; σμ. γο γ' Codd. gr. — Ch. 159; l. 10. ὀπ. ∠ις' Gal.; om. Codd. — 11. τῇ ἀναλήψει Codd. Gal. — Ch. 160; l. 15-16. κεκ. LN Gal.; om. Codd. gr. — 18. κόκκοι ∠ις' BP. — Ib. θ' BP. — Ch. 161; l. 20 ὧδε] ὕδωρ F. — Ib. ἡμέρας BFP. — 22. καί om. BFP. — Ch. 162; l. 25. πεφρυγμ. BP. — 25-26. νίτρ. φρυκτοῦ LN; om. Codd. gr.

λ α', ἐλλεβόρου λευκοῦ, σιρουθίου, σιαφίδος ἀγρίας, νάπυος ἀλεξανδρίνου, θείου ἀπύρου, πυρέθρου, σφέκλης, σχοίνου ἄνθους, κυπέρου ἀνὰ γο ς', σαμψύχου, σιυπληρίας σχισιῆς, κηκῖδος, κόμμεως, λιβανωτοῦ, ἀλκυονίου, πεπέρεως, κάχρυος, σικύου ἀγρίου ῥίζης, χα-
5 μαιλέοντος, ἴρεως, πρασίου ξηροῦ ἀνὰ γο γ'. Κόψας σήσας χρῶ. 2

ρξγ'. Σμῆγμα ξηραῖνον κεφαλήν.—Κιμωλίας ∠β', νίτρου, βρυω- 1
νίας, σικύου ἀγρίου φλοιοῦ τῆς ῥίζης ξηροῦ, κυαμίνου ἀλεύρου, θερμίνου ἀνὰ ἡμίξεσιον. Λεῖα μετρήσας ἔνωσον· χρῶ δὲ ἐν λουτρῷ· 2
σπουδαίως βοηθεῖ.

10 ρξδ'. Σάπων ἀποκρουσιικός. — Βαλαυσιίων γο α', ἀλόης, κηκῖ- 1
δος, σιυπληρίας, λιβάνου, φύλλου, σιδίων, κόσιου ἀνὰ γο α', νάρδου σιάχυος γο α', σαρκοκόλλης γο α', σάπωνος γαλλικοῦ γο ς', θέρμων πικρῶν ἀπόζεμα ὅσον αὔταρκες. Ἔνιοι δὲ προσιιθέασι 2
σμύρνης γο α', κυτίνων γο α'.

15 ρξε'. Δρώπαξ Γάλλος. — Κολοφωνίας τῆς λιβανωτιζούσης λ δ', 1
πιτυΐνης λ δ', καὶ τῆς ξυλώδους καλουμένης ἐν Ἰταλίᾳ μόνῃ γινομένης λ δ', ἀποχύματος, πίσσης ξηρᾶς λ δ', κηροῦ λ δ', φρυκτῆς λ ιε', πίσσης βρυτιίας λ β', νίτρου λ α', ἀσφάλτου, χαλβάνης, ἀδάρκης, πυρέθρου ἀνὰ γο ς', ὀποπάνακος, εὐφορβίου, ἐλλεβόρου λευκοῦ,
20 πεπέρεως ἀνὰ γο δ', θείου ἀπύρου γο γ', κασιορίου, ἀμμωνιακοῦ, σιαφίδος ἀγρίας ἀνὰ γο β', ἐλαίου σικυωνίου λ α', ὀποβαλσάμου γο ς'.

ρξς'. Ἄλλο ἁπλοῦν. — Κηροῦ λ α', πίσσης ξηρᾶς λ ϛ", πίσσης 1
βρυτιίας λ α', πιτυΐνης λ α', φρυκτῆς λ α' γο γ'.

25 ρξζ'. Ψίλωθρον. — Ὄρυζαν, κυάμινον ἄλευρον, πλισάνην ἕψει 1
ἐν ὕδατι, καὶ τῷ χυλῷ τούτων χρησάμενος ἀντὶ ὕδατος μίσγε ἀρσενικοῦ γο α', ἀσβέσιου λ α', καὶ μετὰ ταῦτα μίγνυε σμύρνης γο α', μασιίχης γο α', κισήρεως ὀπῆς γο ϛ", ὀποβαλσάμου κοχλιάρια β'.

5. γο α' ἢ γ' BP. — Ib. Κόψ. καὶ σ. BP. — Cn. 163; l. 8. λουτροῖς A. — 9. σπ.] καὶ ταχέως A. — Cn. 164; l. 11. κόσι. om. ABP. — 11-12. ν. σι. γο α' om. BP. — 13. δέ om. A. — Cn. 165; l. 16. καλ. καὶ ἐν BP. — Cn. 166; l. 23. π. ξ. λ ϛ" N; om. Codd. gr. — Cn. 167; l. 27. καὶ... γο α' om. BP.

ρξη'. Πρὸς ῥυτίδωσιν ἐκ τῶν Ῥούφου σμῆγμα· συνεχῶς σμηχόμε-
1 νον τὸ ῥυσὸν σῶμα τούτῳ τείνεται. — Σύκοις ἅμα πίοσι βρυωνία
κόπτεται καὶ ἄλευρα ὀρόβων κεκαυμένα, σηπίας ὀστρακα, μέλιτος
ἐπιστάζομένου βραχέος.

1 ρξθ'. Σμῆγμα λαμπρυντικὸν καὶ χνοῦν ἀφαιροῦν. — Κυάμων 5
ἀλεύρου χ° β', κισήρεως καθαρᾶς χ° β', σεμιδάλεως χ° β', ἀφρο-
νίτρου λευκοῦ χ° β', μαράθρου ἑψηθέντος εἰς πτισάνην καὶ ἀποπλυ-
θέντος ὕστερον ὀξυμέλιτι, εἶτα κοπέντος καὶ σησθέντος χ° β',
2 σάπωνος γαλλικοῦ ℞ β'. Μίγνυε τὸν σάπωνα εἰς τὰ λοιπὰ ἐπι-
θρύβων ταῖς χερσὶ, καὶ κέχρησο ἐν βαλανείῳ. 10

ρο'. Στοματικά. — Φιλαγρίου πρὸς τὰς ἐν τῷ στόματι ἀνα-
1 βρώσεις. Σχίνου καρποῦ μηδέπω μελανθέντος ∠δ', κηκῖδος ∠δ',
κόστου ∠α', φύλλου ∠α'.

ροβ'. Σμῆγμα εὐῶδες ὀδόντων, ἵνα καὶ λευκοὶ ὦσι καὶ μὴ βι-
1 βρώσκωνται. — Νίτρου, σηπίας ὀστράκου, σμύρνης ἀνὰ γο α'. 15
2 Λείοις χρῶ.

1 ρογ'. Τὸ διὰ μόρων ὡς Γαληνός. — Μέλιτος κο. α', τῶν μόρων
τοῦ χυλοῦ κο. ε', κρόκου ∠α' ς'', σμύρνης ∠α' ς'', στυπτηρίας σχιστῆς
2 τριώβολον, ὀμφακίου γο α', οἴνου αὐστηροῦ κο. α'. Εἰ δὲ μὴ ἔχεις
3 ὀμφάκιον, ἀντὶ αὐτοῦ ῥοῦ χυλὸν ἔμβαλλε. Προέψεσθαι δὲ χρὴ τὸν 20
χυλὸν αὐτὸν κατὰ ἑαυτὸν μόνον ἄχρι γλοιοῦ σχῇ πάχος, εἶτα οὕτω
προσβάλλειν τὸ μέλι, καὶ ἐπειδὰν ἤδη μέλλῃς αἴρειν τὴν κακκάβην,
4 κινεῖν ἄχρι πάντα ἑνωθῇ καλῶς. Ἡ μὲν οὖν τοῦ μέσου τῇ δυνάμει
φαρμάκου συμμετρία τε καὶ ἕψησις ἁρμόττουσα ταῖς μετρίαις φλεγ-
μοναῖς καὶ ταῖς τῶν μειζόνων ἀκμαῖς, ἔτι τε πρὸς ἀρχάς τε καὶ 25

CH. 168; l. 3. ἄλευρον ὀρόβου κεκαυμένον BP. — Ib. ὀστρακον BP. — CH. 169; l. 5. χοῦν BP. — 6-7. κισ..... λ. χ° β' om. BP. — 8. καὶ σησθ. om. BP. — CH. 170; l. 11. τῷ om. A. — CH. 171. Vide p. 133 var. lectt. — CH. 172; l. 14. καί ante λευκ. om. F. — CH. 173; l. 17. κο. α' Gal.; ℞ α' Codd. — 18. κοχλιάρια ε' BP. — Ib. κρ. ∠α' ς'' Gal.; κρ. γο α' ς'' F; κρ. γο ς'' BP. — Ib. σμ. ∠α' ς'' Gal.; σμ. γο α' ς'' Codd. — 18-19. στ. σχ. τριώβ. Gal.; om. Codd. — 19. κο. ε' Codd. — 20. Προεψεῖν BP. — 22. αἴρειν] ἐκβαλεῖν BP. — 23-24. τοῦ μ. τῇ δ. τοῦ φαρμ. F. — 25. ἔτι τε τὸ πρός Gal.; εἴτε πρός Codd.

αὐξήσεις αὐτῶν ἁρμότιον φάρμακον εἴρηται· πρὸς δὲ τὰς σκληρυνομένας φλεγμονὰς, ὅταν ἤδη παύσηται μὲν ἡ ἀκμὴ, καὶ μηκέτι ἐπιῤῥέῃ μηδὲν, ἥκῃ δὲ τοῦ διαφορεῖν ὁ καιρὸς, ἐπιμίγνυσθαι προσήκει τῷ στοματικῷ φαρμάκῳ τῶν διαφορητικῶν ἔνια· ἀρκεῖ δὲ τῇ
5 προειρημένῃ τοῦ μέσου συμμετρίᾳ μιχθῆναι λίτρου ∠δ', θείου ∠δ'.

ροδ'. Ἡ διὰ τοῦ βησασᾶ στοματικὴ διάχριστος ἔνδοξος πρὸς συνάγχας τὰς ἀπηλπισμένας. — Ἀνήσσου σπέρματος, σελίνου 1
σπέρματος, ἄμμεως σπέρματος, σχοίνου ἄνθους, στυπτηρίας σχιστῆς, ἴρεως, βησασᾶ ὅ τινες ἁρμαλᾶ καλοῦσι, κινναμώμου, σμύρ-
10 νης τραγλοδύτιδος, ἀριστολοχίας μακρᾶς, κασίας, κροκομάγματος, ῥόδων ξηρῶν ἀνὰ γο α', κόστου, χελιδόνων νοσσίας σποδοῦ προσφάτου ἀνὰ γο γ', κρόκου γο α', νάρδου ἰνδικῆς, ἀμώμου γο ϛ'', κηκῖδας η'. Λείοις σὺν μέλιτι χρῶ· ἐπὶ δὲ τῆς χρείας ἄνιε μέ- 2
λιτι. — Καρκίνοι ποτάμιοι κεκαυμένοι ἐν ὕδατος ψυχροῦ κο. α' 3
15 λειωθέντες καὶ διηθούμενοι συναγχικῶν ἀναγαργάρισμα κράτιστόν ἐστιν· παχέα γὰρ ἄγει συχνὰ ὥστε ἐπικουφίζειν αὐτίκα.

ροε'. Πρὸς συνάγχην. — Κυνείαν κόπρον λευκὴν λαβὼν ξήρα- 1
νον, καὶ λεάνας σῆσον, καὶ ἔχε ἕτοιμον· ἐπὶ δὲ τῆς χρείας ἄνιε μέλιτι καὶ διάχριε. Ἰσχυρότερον τούτου τοῦ φαρμάκου οὐδὲν ἔγνων, 2
20 οὔτε ἐπὶ συναγχικῶν, οὔτε ἐπὶ παρισθμίων μεγάλῃ φλεγμονῇ καὶ ἀντιάδων κινδυνευόντων πνιγῆναι. Ὅταν δὲ ὀστᾶ βεβρωκότες ὦσιν 3
οἱ κύνες, λευκή τέ ἐστιν ἡ κόπρος καὶ ἀρίστη.

ροϛ'. Πρὸς κιονίδα κεχαλασμένην. — Μέλιτος ℞ α', στυπτηρίας 1
ὑγρᾶς ℞ α', ῥόδων ἄνθους ℞ α', ὑποκιστίδος χυλοῦ γο ε'. Ἕψε τὴν 2
25 στυπτηρίαν μέλιτι, εἶτα τὰ ξηρὰ ἔμβαλλε καὶ οὕτω χρῶ· ἕψε δὲ ἐπὶ ὀλίγον. Καλόν ἐστιν ὄντως τὸ φάρμακον τοῦτο, καὶ δεῖ χρῆ- 3
σθαι τρισὶ τρόποις αὐτῷ· εἷς μὲν γὰρ τρόπος χρήσεώς ἐστι, καὶ

1. αὐτῶν Gal.; αὕτη Codd. — 1-2. σκληρυνομ. Gal.; σκληρουμ. Codd. — 2. παύσηται Gal.; παύηται F; παύεται BP. — 5. λίτρου ∠ ex em.; λίτραι Codd. Cf. Gal. — Ch. 174; l. 8. ἄμμ. σπ. om. BP. — 11. νοσσιᾶς BP. — 13. η'] γ' BP. — 14. ποταμιαῖοι BP, et sic fere semper. — Ib. κεκαυμ. LN Aët.; om. Codd. gr. — 16. συχνάκις BP. — Ch. 175; l. 17. κυνάγχην BP. — 20. μεγάλης φλεγμονῆς BP. — Ch. 176; l. 23. M. ℞ β' BP. — 25. σὺν μέλ. BP.

μάλιστα ἐν ἀρχῇ, διαλύοντας τὸ φάρμακον ἢ διὰ ὕδατος θερμοῦ, ἢ διὰ ὑδρομέλιτος, ἀνακογχυλίζεσθαι· καὶ γὰρ παρηγορητικόν ἐστι τοῦτο καὶ τὸ δέον ἀνύει· μεταξὺ δὲ τῆς τοιαύτης χρήσεως καὶ ἀκράτῳ τῷ φαρμάκῳ χρῆσθαι προσήκει, τοῦτο μὲν διαχρίοντα τοῖς δακτύλοις, τοῦτο δὲ διὰ κοχλιαρίου προσαπτόμενον μετὰ τοῦ ἀναπιέζειν καὶ ἅμα πρὸς τοὐκτὸς ἄγειν τὴν κιονίδα· συμφέρει γὰρ ὡς ὅτι μάλιστα πρὸς τὴν γλῶττιαν αὐτὴν ἐπιῤῥέπειν, ἀποχωροῦσαν τῆς εὐθύτητος.

1 ροζ'. Εἰ λίνα πλείονα, καὶ μάλιστα τῶν ἀπὸ τῆς θαλαττίας πορφύρας περιβαλὼν ἐχίδνης τραχήλῳ πνίξειας αὐτοῖς τὴν ἔχιδναν, εἶτα περιάπτοις ἕκαστον τῶν λίνων τῷ τραχήλῳ, θαυμαστῶς ὅπως
2 ὀνίνησι παρίσθμιά τε καὶ ὅσα περὶ τράχηλον ἐκβλαστάνει. Γαληνὸς ἐπαινεῖ τοῦτο.

1 ροη'. Ὀδόντων προφυλακτικόν. — Κέρατος ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου μέρος ἕν, μαστίχης χίας τὸ ἥμισυ, κυπέρου τὸ
2 τρίτον. Κόψας εὖ μάλα καὶ σήσας χρῶ.

1 ροθ'. Πρὸς σειομένους ὀδόντας. — Στυπτηρίαν στρογγύλην
2 μετὰ ἁλὸς διπλοῦ περίπλαττε τοῖς ὀδοῦσιν. — Ἢ πτελέας φλοιὸν ἐν οἴνῳ ἑψήσας διακράτει.

1 ρπ'. Πρὸς χείλη κατερῤῥωγότα. — Κηκῖδα ὀμφακῖτιν λείαν ἀνα-
2 λάμβανε τερμινθίνῃ, ἢ οἰσύπῳ, ἢ μέλιτι, καὶ ἐπίχριε. — Πρὸς δὲ τὰς βαθυτέρας ἐπιῤῥήξεις ἐπάλειφε λίπει αἰγείῳ τεθεραπευμένῳ, ἢ βοείῳ, ἢ μυελῷ βοείῳ, ἢ στέατι χηνείῳ.

1 ρπθ'. Ἀντίδοτοι. — Πρὸς κολικούς. Λύκου κόπρον ἐπότιζέ τις τοὺς κολικοὺς, οὐ μόνον ἐν τοῖς παροξυσμοῖς, ἀλλὰ καὶ ἐν τοῖς δια-
2 λείμμασιν, ὅσοι γε χωρὶς φλεγμονῆς ἔπασχον. Εἶδόν τινας αὐτῶν μηκέτι ἁλόντας τῷ παθήματι, τοὺς δὲ ἁλόντας οὐδέποτε αὖθις ἰσχυ-

4. τῷ Gal.; om. Codd. — Ib. διαχρίοντα Gal.; διαχρίοντας Codd. — Ch. 177; l. 10. ἐπιβαλὼν BP. — 11. τῶν λίνων ad Eun. Gal.; λῖνον BP; λινόν F. — 12. περιτράχηλα BP. — Ch. 178; l. 14. ἐλάφου BP. — 15. τὸ ἥμισυ μέρος BP. — Ib. τό post κυπ. om. F. — Ch. 180; l. 20. Πρὸς ...κατερῤ. om. BP. — 21. ἢ ante οἰσ. om. BFP. — 23. ἡμ. β. om. BFP. — Ib. στέατι om. BP. — Ch. 181. Codd. hic iterum exhibent cap. 170. — Ch. 182; l. 25. τούς om. F.

ρῶς παθόντας, ἀλλὰ οὐδὲ μετὰ ὀλίγον χρόνον. Ἐλάμβανε δὲ τὴν 3
λευκοτέραν κόπρον ἥ τις ὀσΙοφαγούντων ἀποκρίνεται. Ἐθαύμασα 4
δὲ αὐτῆς ὅτι καὶ περιαπΙομένη πολλάκις ἐναργῶς ὠφέλησεν. Ἐλάμ- 5
βανε δὲ οὗτος τὴν κόπρον οὐδὲ πεπΙωκυῖαν ἐπὶ τὴν γῆν· οὐ χαλε-
5 πῶς δὲ γίνεται τοῦτο· φύσιν γὰρ ἔχει τὸ ζῷον καθάπερ ὁ κύων,
ἐπαίρων τὸ ἕτερον τῶν ὀπισθίων σκελῶν οὐρεῖν καὶ ἀποπατεῖν
πρός τι τῶν ἐξεχόντων τῆς γῆς. Εὑρίσκεται δὲ ἐν ταῖς κόπροις αὐ- 6
τῶν καὶ αὐτῶν τῶν ὀσΙῶν μόρια, καὶ αὐτὰ ταῦτα κόπΙων καὶ λειῶν
ἐδίδου πίνειν τοῖς κολικοῖς. Ἐπὶ δὲ τῶν καθαριωτέρων ἁλός τι 7
10 ἐμίγνυε καὶ πεπέρεως, ἐδίδου δὲ ἐν οἴνῳ λεπΙῷ· ἔσΙι δὲ ὅτε καὶ
ἐν ὕδατι. Τὸ δὲ οὖν περιαπΙόμενον τῆς κόπρου ταῖς λαγόσι περιῆ- 8
πΙεν ἄρτημα ἔχον, μάλισΙα μὲν ἀπὸ βοὸς ἢ προβάτου λυκοβρώτου
γεγονός· εἰ δὲ μὴ, ἐκ δέρματος ἐλαφείου, περιελιτΙομένου τοῦ
ἱμάντος ταῖς λαγόσιν. Καὶ αὐτὸ δὲ τὸ περιέξον ἐκέλευσεν εἶναι ἐκ 9
15 δέρματος ἐλαφείου. — Ἡ Φίλωνος πρὸς κολικοὺς ἀνώδυνος.] Κρό- 10
κου ∠ε', πυρέθρου ∠α', εὐφορβίου ∠α', νάρδου σΙάχυος ∠α', πε-
πέρεως λευκοῦ ∠κ', ὑοσκυάμου ∠κ', ὀπίου ∠ι'. Τοῦτο τὸ φάρμακον 11
ἔνδοξόν ἐσΙιν.

ρπγ'. Ἡ τρίγωνος ἀναξηραντικὴ ἀνώδυνος. — Ὑοσκυάμου σπέρ- 1
20 ματος ∠δ', σελίνου σπέρματος ∠δ', ἀνίσου ∠β', ὀπίου ∠α'. Σὺν 2
ὕδατι ἀνάπλατΙε τροχίσκους τριωβολιαίους· δίδου σὺν ψυχρῷ πρωὶ
καὶ ἑσπέρᾳ ἕνα καὶ ἕνα.

ρπδ'. Πρὸς τοὺς ἐκκαιομένους καταπότιον ἐκ τῶν Διοσκορίδους.
— Σικύου ἡμέρου σπέρματος ∠η', ἀνδράχνης ∠η', τραγακάνθης 1
25 ∠δ'. Διάλυε τὴν τραγάκανθαν ᾠῶν ὠμῶν προσφάτων τῷ λευκῷ, καὶ 2
ὅταν διαλυθῇ, τρίψας ἐπιμελῶς καὶ μίξας ἀνάπλασσε καταπότια καὶ

3. αὐτήν BP. — 6. σκελῶν Gal.; σκέλος Codd. — 7-8. αὐτῶν] τῶν ζώων BP. — 8. αὐτά om. BP. — Ib. ταῦτα om. F. — 10. καὶ ἐδ. ἐν BP. — Ib. οἴ. καθαρῷ λεπΙῷ BP. — 11. οὖν om. BP. — 12. ἔχον ex em.; ἔχουσαν Codd. — 16. πυρ. ∠α' LN Gal.; πυρ. ∠δ' Codd. gr. — 17. λευκοῦ om. BP. — Ib. ∠ κ α', ὑοσκυάμου BP. — Ch. 183; l. 20. σελίνου σπέρματος ∠δ' LN Gal.; om. Codd. gr. — 21. τριωβολιαίους LN; τέταρτον BP; om. F. — 22. καὶ ἕνα Gal.; om. Codd.

- Ch. 184; l. 24. ἀνδράχνης ∠η' Gal.; om. Codd.

ξήραινε ἐν σκιᾷ, καὶ δίδου ἓν ὑπὸ τὴν γλῶσσαν κατέχειν καὶ τὸ διαλυόμενον ὑγρὸν καταπίνειν.

1 ρπε'. Πρὸς τεταρταίους Γαληνοῦ. — Ὀποῦ κυρηναϊκοῦ, πεπέ-
2 ρεως, σμύρνης, πηγάνου φύλλων ἀνὰ ∠α'. Λειώσας καὶ μίξας ἀνα-
λάμβανε καὶ χρῶ πρὸ τῆς ἐπισημασίας ἐν ὀξυμέλιτι διδοὺς ὀβολοὺς 5
δύο μόνους.

1 ρπς'. Πρὸς λυσσοδήκτους. — Καρκίνων ποταμίων ἡ τέφρα
θαυμασίως ἐπὶ τῶν λυσσοδήκτων ὠφελεῖ, καὶ μόνη μὴν, ἀλλὰ καὶ
μετὰ γεντιανῆς τε καὶ λιβανωτοῦ, ὡς εἶναι τοῦ λιβανωτοῦ μὲν μίαν
2 μοῖραν, πέντε δὲ τῆς γεντιανῆς καὶ τῶν καρκίνων δέκα. Καίεσθαι 10
δὲ τοὺς καρκίνους οὕτως· κατὰ λοπάδα ἐξ ἐρυθροῦ χαλκοῦ ζῶντας
ἐπιτιθέντας τοὺς καρκίνους καίειν δεῖ μέχρις οὗ τεφρωθῶσιν ὡς εὐ-
κόλως λειοῦσθαι· καίειν δὲ μετὰ κυνὸς ἐπιτολὴν, ἡνίκα ἐν λέοντι
μὲν ὁ ἥλιος, ὀκτωκαιδεκαταία δὲ ἡ σελήνη· πίνειν δὲ [διδόναι] κατὰ
ἑκάστην ἡμέραν τὸ φάρμακον τοῦτο τοῖς λυσσοδήκτοις ἄχρι τῆς τεσ- 15
3 σαρακοστῆς, ἐπιπάσσοντα ὕδατι κοχλιάριον εὐμέγεθες. Εἰ δὲ οὐκ
ἐξ ἀρχῆς, ἀλλὰ μετὰ ἡμέρας τινὰς τοῦ δηχθῆναι προνοῇ τοῦ δε-
4 δηγμένου, δύο κοχλιάρια κατὰ ἡμέραν ἐπίπασσε. Χρῆσθαι δὲ κατὰ
αὐτοῦ τοῦ τραύματος τῷ διὰ τῆς βρυτίας πίτης φαρμάκῳ, μίαν
μὲν λαμβάνοντι τῆς πίτης λίτραν, ἕνα δὲ ὄξους δριμυτάτου ξέστην 20
5 ἰταλικὸν, ὀποπάνακος δὲ γο γ'. Τούτοις Αἰσχρίων ἐχρῆτο, καὶ οὐ-
δεὶς οὐδέποτε ἀπέθανεν.

1 ρπζ'. Πρὸς τοὺς ἀπὸ μυκήτων πνιγομένους. — Ἐπὶ μυκήτων
πνιγόντων καλῶς ποιεῖ τὸ ἀφρόνιτρον, καὶ νίτρον δὲ κεκαυμένον
2 καὶ ἄκαυστον. — Ὁμοίως δὲ καὶ ἀλεκτορίδων κόπρῳ ἐπί τινων ὑπὸ 25
μυκήτων ἐδωδῆς πνιγομένων ἐχρησάμην ἐπιπάτων λελειωμένην

2. διαλυμένον BP. — Ch. 186; l. 8. θαυμασίως AF. — Ib. μήν ex em.; μέν Codd. — 14. ὁ om. BFP. — Ib. δέ ante ἡ om. ABP. — Ib. [διδόναι] e Gal. Aët. qui habent ἐδίδου; om. Codd. — 15. τοῖς λυσσοδήκτοις Gal. Aët.; τοὺς λυσσοδήκτους Codd. — 16. ἐπιπάσσων BFP. — 19. πράγματος BP; φαρμάκου A 1ª m.; ἕλκους 2ª m. — 22. ἀποθανεῖται A. — Ch. 187; l. 24. πνιγομένων BFP. — Ib. δέ om. BFP. — 24-25. κεκαυμένον καὶ ἄκαυστον om. BP. — 25. δὲ καί om. BFP. — 25-26. ἐπὶ..... πνιγομένων om. BP. — 26. ἐδωδῆς om. A. — Ib. ἐχρησάμην δ' ἐγὼ ἐπιπάτων BP.

κυάθοις τρισὶν ἢ τέτρασιν ὀξυκράτου τε καὶ ὀξυμέλιτος, καὶ προφανῶς ὠφέλησε διὰ ταχέων· ἥμεσαν γὰρ ὀλίγον ὕστερον οἱ πινιγόμενοι φλεγματώδη καὶ παχύτατον χυμὸν, ἐπὶ ᾧ τελέως ἐπαύσαντο τοῦ συμπτώματος. — Καὶ καλαμίνθης δὲ χυλὸς ἢ ἀπόζεμα 3
5 πινόμενον ὠφελεῖ καὶ θεραπεύει.

ρπη'. Πρὸς ἐπιληπτικοὺς τὸ διὰ σκίλλης. — Μελιτηρὸν ἀγγεῖον 1
οὐκέτι ἔχον μέλι παρασκευάσας ἐμβάλλω σκίλλαν εἰς λεπτὰ διαθρύψας ταῖς χερσὶν, εἶτα πωμάσας στεγανῷ πώματι, καὶ περιθεὶς ἔξωθεν ὅλῳ τῷ στόματι τοῦ ἀγγείου δέρμα, καὶ δήσας ἀκριβῶς, ἐν χωρίῳ
10 κατατίθεμαι πρὸς μεσημβρίαν μὲν ἐστραμμένῳ, σκεπομένῳ δὲ ἀπὸ τῶν βορείων πνευμάτων ὡς μηδὲ ὅλως ὑπὸ αὐτῶν καταπνεῖσθαι. Ποιῶ δὲ τοῦτο κατὰ τὴν τοῦ κυνὸς ἐπιτολὴν ἐν ταῖς τεσσαράκοντα 2
ἡμέραις· ἀτρέμα δέ πως ἔν τισιν αὐτῶν ὑπαλλάττων τοῦ κεραμίου τὴν θέσιν, θερμαίνεσθαι κατὰ πᾶν μέρος ὁμοίως αὐτὸ βουλόμενος,
15 εἶτα μετὰ τὸν χρόνον τῶν τεσσαράκοντα ἡμερῶν εὑρίσκω λύσας τὸ ἀγγεῖον ἡψημένῳ παραπλήσιον τὸ σῶμα τῆς σκίλλης, ἐξερρυηκότα δὲ τὸν χυλὸν αὐτῆς, ὃν ἀνελόμενος ἡδύνω μέλιτι καλλίστῳ καὶ δίδωμι τοῦτο κατὰ ἑκάστην ἡμέραν κοχλιάριον μεστὸν, τοῖς μὲν παιδίοις μικρὸν, τοῖς δὲ τελείοις μέγα. Καὶ μέντοι καὶ τὸ σωματῶδες 3
20 τῆς σκίλλης κόψας καὶ λειώσας μετὰ μέλιτος δίδωμι κοχλιάριον ἓν ὥσπερ εἴρηται. Δευτέραν δύναμιν τοῦτο τοῦ πρόσθεν ἔχειν γί- 4
νωσκε.

ρπθ'. Πρὸς φωνῆς ῥῶσιν τροχίσκος. — Νάπυος πεφρυγμένου 1
καὶ σεσησμένου λεπτοτάτῳ κοσκίνῳ μέρη τρία, πεπέρεως λεπτο-
25 τάτου μέρος ἕν. Μέλιτι ἀναλαμβάνεται ἀπέφθῳ, καὶ γίνονται τρο- 2

1. τε om. A. — 3. καί om. A. — 5. ὠφελεῖ καί om. BFP. — Ch. 188; l. 6. ἐπιληπτους A. — 7. ἐμβάλλω Gal.; ἐπίβαλλε Codd. — Ib. λεπτότατα A. — 9. δέρμα Gal.; τὸ δέρμα Codd. — Ib. ἰσχυρῶς A. — 10. κατατίθημι ABP. — Ib. ἀπό ex em.; ὑπό Codd. — 12. τοῦτο om. BP. — Ib. ταῖς Gal.; om. Codd. — 13. κεράμου A. — 15. μετὰ τὴν μ' ἡμέραν A. — Ib. εὕρισκον BFP. — 16. παραπλησίως BP. — Ib. ἐξερρύεν A. — 17. ἡ δύνωμαι τὸ καλλίστῳ BP. — 18. τούτῳ F. — Ib. ἡμέραν om. BP. — 18-19. παισί A. — 20. καί om. BFP. — 21. ὥσπερ εἴρηται om. A. — Ch. 189; l. 25. ἀναλάμβανε A.

3-4 χίσκοι ὀβολιαῖοι. Ἕνα τροχίσκον κατεσθίειν δεῖ. Δῆξιν καὶ πύρωσιν οὐκ ὀλίγην ἀνίσ|ησιν, ἀλλὰ τὴν ἀρτηρίαν ποιεῖ λείαν εἶναι.

1 ρζ'. Ἄλλο. — Ὑπὸ τῇ γλώτ|ῃ κρατεῖται κυάμου μέγεθος ὥσ|τε καταπίνειν ἐπὶ σχολῆς τὸ τηκόμενον, καὶ σφόδρα τὴν ἀρτηρίαν
2 λεαίνει τε καὶ ἀνδρειοῖ· ποιεῖται δὲ οὕτως. Γλυκυῤῥίζης ∠ιβ', κα- 5
σίας ∠δ', κρόκου, σμύρνης, φύλλου, νάρδου κελτικῆς, λιβανωτοῦ,
3 ὑποκισ|ίδος χυλοῦ, λυκίου, κόμμεως ἀνὰ ∠β'. Τὰ μὲν κόπ|εται, τὰ δὲ τρίβεται, καὶ μέλιτι ἀτ|ικῷ πάντα καταμίγνυται, συμμιχθείσης αὐτοῖς τερμινθίνης ∠β'.

ρζα'. Ἡ διὰ ὀπωρῶν πρὸς δυσεντερικοὺς καὶ κοιλιακούς. — 10
1 Ῥοιαὶ ὁλόκληροι κ', μῆλα κυδώνια κ', ῥόδων ξηρῶν ξ α', προύμνων ἀγρίων ξ β', οὔων ἐπετείων ξ β', ἄπιοι ταρεντῖναι κ', μῆλα σκαυδιανὰ λ', ῥοῦ συριακοῦ ξ γ', γλεύκους ἀμιναίου ἀφηψημένου εἰς τὸ
2 τρίτον ξ μη'. Ἕψε ὁμοῦ ἕως σχῇ μέλιτος πάχος, καὶ ἀποτίθεσο ἐν ὀσ|ρακίνῳ καινῷ. 15

1 ρζβ'. Ἀντίδοτος ἡ Κοΐντου ἀνώδυνος. — Στύρακος, ἀσάρου, ὀπίου, ὑοσκυάμου σπέρματος, κασ|ορείου ἴσα μέλιτι ἀναλάμβανε.

1 ρζγ'. Ὁ διοσπολίτης ἐνίοτε μὲν ἐξ ἁπάντων ἴσων σκευάζεται, κυμίνου τε καὶ πεπέρεως μακροῦ ἢ λευκοῦ καὶ πηγάνου καὶ νίτρου, καὶ ἔσ|ι μᾶλλον οὕτως ὑπακτικώτερος γασ|ρός· ἐνίοτε δὲ τῶν μὲν
2 ἄλλων ἴσον ἑκάσ|ου μίγνυται, λίτρου δὲ τὸ ἥμισυ. Ἐναποβρεχέσθω δὲ τὸ κύμινον ὄξει δριμυτάτῳ, κἄπειτα εὐθέως τριβέσθω, ἢ
3 πρότερον φρυγέσθω μετρίως. Ἔσ|ω δὲ καὶ τὰ τοῦ πηγάνου φύλλα
4 προανεξηραμμένα συμμέτρως. Τούτοις τοῖς τέτ|αρσιν ἐνίοτε μὲν

1. ὀβολαῖοι A. — Ib. Δ. δὲ καί A. — Ch. 190; l. 3. τῆς γλώσσης (γλώτ|ης P) BP. — Ib. μεγέθει A. — 5. ποι.] γίνεται A. — Ib. ιβ'] β' A. — 7. Τὰ μὲν δὲ κόπ|. BP. — 8. τὰ δὲ καὶ τρ. A. — 9. αὐτῷ BFP. — Ch. 191; l. 12. ἄπιοι Gal.; ἀπίους AF; ἄπια BP. — Ib. ταρεντ. ex em.; τερεντίνας A; τερεντίους F; τερεντῖνα BPLN. — 12-13. σκαυδ. om. A. — 14. ἀποτιθέσθω A. — Ch. 192; l. 17. κασ|ορίου BFP. — Ch. 193; l. 18. Ἀντίδοτος ὁ διοσπολίτου A. — 20. οὕτως om. A. — Ib. τῆς γ. A. — 21. νίτρου A. — Ib. τό ad. Eun.; om. Codd. — 21-22. Ἐμβρεχέσθω BFP. — 22. ἢ om. BFP. — 23. φρυγ. om. BP. — 24. μετρίως BP; om. A. — Ib. τοῖς τέτ|. om. A.

ἀναμίγνυται μέλι ϖροαπηφρισμένον· ἐνίοτε δὲ οὐδὲν, ἀλλὰ μόνα χωρὶς τοῦ μέλιτος ἀποτεθέντα ϖτισάνης ἐμβάλλεται χυλῷ, ἢ ὅτῳ ϖερ ἂν τῶν ἐδεσμάτων δόξῃ.

ρϛδ'. Τὸ διὰ τριῶν ϖεπέρεων τὸ ἁπλοῦν ἐστι τοιόνδε. — Εἰς 1
ϖεντήκοντα ∠ ἑκάστου τῶν τριῶν ϖεπέρεων ἀρκεῖ μιγνύειν ἀνίσου τε καὶ θύμου καὶ ζιγγιβέρεως ἑκάστου ∠η'.

ρϛε'. Τὸ διὰ καλαμίνθης. — Καλαμίνθης καὶ γληχοῦς καὶ ϖε- 1
τροσελίνου καὶ σεσέλεως ἑκάστου ∠ιβ', σελίνου σπέρματος ∠δ', θύμου κορύμβων ∠δ', λιγυστικοῦ ∠ις', ϖεπέρεως ∠μη', μέλι τὸ κάλλιστον ἀπηφρισμένον.

ρϛς'. Τὸ διὰ τοῦ χυλοῦ τῶν κυδωνίων. — Μήλων κυδωνίων τοῦ 1
χυλοῦ λαβόντας ξ β', χρὴ μῖξαι μέλιτος μὲν ὡς ὅτι καλλίστου τὸ ἴσον μέτρον, ὄξους δὲ ξ α', καὶ ταῦτα ἐπὶ ἀνθράκων διακεκαυμένων ϖροεψήσαντα μετρίως καὶ ἀπαφρίσαντα μῖξαι ζιγγιβέρεως γο γ', ϖεπέρεως λευκοῦ γο β', καὶ ϖάλιν ἐπὶ τῶν διακεκαυμένων ἀνθράκων ἑψῆσαι μέχρι μελιτώδους συστάσεως.

ρϛζ'. Ἡ Ζηνοφίλου ἀντίδοτος ϖρὸς κύστιν ἡλκωμένην καὶ νε- 1
φροὺς, καὶ λίθους θραύουσα ἡ ϖαρὰ τοῦ θεοῦ. — Κασίας σύριγγος γο α', σαξιφράγου γο δ', βεττονικῆς, κυπέρου, ϖετροσελίνου, κόστου ἀνὰ τριώβολον, λύγου σπέρματος, λινοσπέρμου ϖεφωγμένου ἀνὰ γο β', φύλλου, νάρδου στάχυος, ἀσάρου, δικτάμνου, δαφνίδων, ὠκίμου σπέρματος ἀνὰ γο α', στροβίλων γο ς', ζιγγιβέρεως γο ϛ'', σελίνου σπέρματος γο α', μέλιτος λ β'. Δίδου ἐν λουτρῷ ἢ ϖρὸ λου- 2
τροῦ διὰ οἰνομέλιτος ἢ χρυσαττικοῦ κυάμου τὸ μέγεθος.

ρϛη'. Καθαρτήρια. — Γαληνοῦ ἡ ϖικρά. Ἀλόης ∠ρ', κινναμώ- 1

1. ἀναμίγν. om. A. — Ib. μ. ϖεφυραμένον καὶ ϖροαπηφρ. BP. — Ch. 195; l. 7. γληχοῦς ex em.; γλίχους F; γλίχωνος A; γλίχωνα BP. — 8. ιβ' LN; β' AF; η' BP. — Ch. 196; l. 11. τοῦ post διά om. BP. — 12. χρή om. BP; post ϖροεψ. (l. 14) A. — Ib. μῖξαι om. A. — 13. διακεκ. om. A. — 14. ζιγγίβερ F; ζιζίβερ BP. — 14-15. γο γ'.... γο β' LN Gal.; om. Codd. gr. — 15. διακεκ. ad Eun.; κεκ. BFP; om. A. — Ch. 197; l. 20. λινοσπέρματος A. — Ib. ϖεφρυγμ. ABP. — 22. στροβιλίων BF; στροβηλίνου P. — 23. σελ. σπ. γο ϛ'' A. — Ch. 198; l. 25. Καθαρτ. om. BP. — Ib. Γαλ. om. F.

μου, νάρδου σΙάχυος, ξυλοβαλσάμου, μασΙίχης, ἀσάρου, κρόκου
2 ἀνὰ ∠ς'. Ἐγὼ δὲ ἀλόης μὲν ∠ζ', κρόκου δὲ ∠ε' βαλὼν οὕτως αὐτῷ
3 χρῶμαι. Ἡ δόσις ἐσΙὶ ∠α'.

1 ρΙθ'. Ὑπακτικὴ γασΙρὸς ἢ καθαρτική. — Ζιγγιβέρεως, σκαμ-
μωνίας ἀνὰ γο α', ἁλῶν ἀμμωνιακῶν γο δ', ἀλόης γο δ', ὄξους, γά- 5
ρου ἀνὰ κο. α'.

σ'. Κοκκάρια ὑγιεινὰ σΙομαχικὰ, γασΙρὸς ὑπακτικὰ μάλισΙα·
1 περιγράφει δὲ καὶ τύπους. — Ἀλόης γο α', ἀψινθίου χυλοῦ γο γ',
2 σκίλλης ἐγκαρδίου γο α'. Τὴν σκίλλαν ἐμβαλὼν ζύμῃ καὶ ὀπΙήσας
ὥσΙε ἑψηθῆναι, τὴν σκίλλαν ἐξελὼν καὶ ἐξινίσας σΙάθμισον καὶ 10
βαλὼν εἰς ὅλμον εὐτόνως κόψον ἐπεμβάλλων τὸν χυλὸν τοῦ ἀψιν-
θίου, καὶ τὴν ἀλόην λελειωμένην προσεμπάσας ἀναλάμβανε μα-
λάξας ὥσΙε ἑνωθῆναι, καὶ ποιήσας ζύμην ἀνελοῦ, καὶ ἀποθέμενος
πλάσσε κοκκάρια ἐρεβίνθου τὸ μέγεθος, καὶ δίδου τοῖς ἀπὸ νόσου
μακρᾶς δυσαναλήπΙως ἔχουσιν. 15

1 σα'. Ἄλλο. — Σκαμμωνίας γο α', ἀλόης γο α', κολοκυνθίδος
ἐντεριώνης γο ϛ'', βδελλίου ∠γ', μασΙίχης, ἀψινθίου χυλοῦ, κράμβης
2 χυλοῦ ἀνὰ ∠β'. Ἀναλάμβανε ὀροβιαῖα, καὶ δίδου ἢ ις', ἢ ιθ', ἢ κα'
τοῖς ἔχουσιν ὑγιεινῶς, νοσοῦσι δὲ ἢ ζ', ἢ ϑ', ἢ ια', ἢ ιγ', ἢ ιε' ἑξῆς
3 ἡμερῶν ε', ἢ ζ', ἢ ϑ'. Ἐὰν δὲ ϑέλῃς φλεγμαγωγὰ ποιῆσαι, ἢ εὐ- 2
τονώτερα, πρόσβαλλε τῇ ζύμῃ εὐφορβίου ∠α' εἰς τὸ πᾶν.

1 σβ'. Καθαρτικὸν καλούμενον κοπΙάριον. — Σεμιδάλεως ∠α',
2 κώνων ∠δ', πεπέρεως ∠β', σκαμμωνίας ∠γ'. Ἀναλάμβανε μέλιτι
3-4 ἀτΙικῷ. Ἡ τελεία δόσις ∠β'. Χρῶ καὶ ἐπὶ ἰκτερικῶν.

1 σγ'. ΠάσΙιλλος καθαίρων. — Σκαμμωνίας ∠δ', εὐφορβίου ∠δ', 2
2 πεπέρεως ∠β', φύλλου ∠β', μέλιτος ℞ α'. Ἡ δόσις γο α'.

2. μέν om. A. — Ib. δέ post κρόκου] ἀνά F. — Ib. οὕτως αὐτῷ om. BP. — 3. α' εἰς ὕδωρ A. — Ch. 199; l. 6. β' BP. — Ch. 200; l. 9. ἐγκαρδίου] ἀρκάδος BP. — 11. ἐπεμβαλών F; ἐπιβαλών BP. — 12. προσπάσσας A.; προσεμβάσας BP. — 13. ὥσΙε] ἕως F. — Ib. λειωθῆναι BP. — Ch. 201; l. 18. ις'] XIII aut XV ∠. — 19. ἢ ante ζ' om. BFP. — 20. φλεγμαγωγόν A. — Ch. 202; l. 23. κώνων ex em.; κώνου Codd. — Ib. ∠γ'] ℞ β' BP. — 24. ἰκτερικοῖς B. — Ch. 203; l. 26. πεπέριν A. — Ib. φύλλου ∠ β' N; φύλλου γο β' Codd. gr.

σδ'. Κοκκία. — Σκαμμωνίας γο α', ἀλόης ∠δ', εὐφορβίου ∠δ'. 1
Ἀναλάμβανε ὕδατι ὀροβιαῖα καὶ δίδου ζ', ἢ ϑ', ἢ ια', ἢ ιγ', ἢ ιε', ἢ 2
ιζ', ἢ ιθ', ἢ κα'.

σε'. Καθαρτικὸν κολικὸν ὑποκαθαῖρον. — Εὐφορβίου, κυπέρου, 1
5 πετροσελίνου, ἴρεως ἴσα.

σς'. Τὸ συμβιωτάριον. — Σκαμμωνίας γο β', πεπέρεως, ζιγ- 1
γιβέρεως, ἁλῶν, πετροσελίνου ἀνὰ γο α'.

σζ'. Ἐλεφαντιώντων καθαρτικόν. — Κολοκυνθίδας δύο συμμέ- 1
τρους τῷ μεγέθει περίγλυψον, καὶ πῶμα ποιήσαντα τό τε σπέρμα
10 πᾶν ἐκκενώσαντα τὴν ἐντεριώνην ἑᾶσαι δεῖ καὶ γεμίσαι ἐλαίῳ,
τῷ ἰδίῳ [δὲ] πώματι πωμάσαι νύκτα τε ἑᾶσαι μίαν· τῇ δὲ ἑξῆς, τοῦ
ἐλαίου κενωθέντος, ἑψῆσαι δεῖ τὰς κολοκυνθίδας ἐν ὕδατι ἄχρι τακε-
ρωθῶσιν, εἶτα αὐτὰς μὲν ῥῖψαι, τοῦ δὲ ἐλαίου τῷ ὕδατι παραχυθέν-
τος, προσεμβάλλειν μέλανος ἐλλεβόρου τριώβολον, σκαμμωνίας
15 δὲ ∠α', συνεψῆσαι δὲ τούτοις πολτάριον ἐκ σεμιδάλεως, ἔπειτα ἀπὸ
αὐτοῦ τῷ πάσχοντι δοῦναι λιτῶς προδιητημένῳ μέγεθος καρύων
ποντικῶν τεσσάρων καὶ εἴκοσι, καὶ ποτὸν ὕδωρ.

ση'. Τὸ διὰ τοῦ ζωμοῦ τοῦ παλαιοῦ ἀλεκτρυόνος καθαρτήριον.
— Ἐξελεῖν δεῖ τὰ ἐντὸς, ἔπειτα ἐμβαλεῖν ἅλας ὥστε ἐμπεπλῆσθαι, 1
20 καὶ καταῤῥάψαντας ἕψειν ὕδατι πολλῷ βραχὺ μὲν ἐλαίου ἔχοντι,
δαψιλὲς δὲ ἀνήθου καὶ πράσου· συντακέντων δὲ αὐτῶν ἡδὺς καὶ
εὐστόμαχος μὲν, καθαρτικώτατος δὲ ὁ ζωμὸς γίνεται. Διδόσθω δὲ 2
διηθημένος τὸ ἐλάχιστον κο. β', ἵνα ἄκρως ποιεῖ πρὸς τὰς κεχρονι-
σμένας καταφοράς.

25 σθ'. Διάχρισμα ἕδρας πρὸς ἔκδοσιν φυσῶν. — Πήγανον μέλιτι 1
ἑφθῷ συλλειοτριβεῖται, ὥστε ἔγχυλον γενέσθαι, καὶ ἐσωτάτω δια-

Ch. 204; l. 1. Σκ. γο β' BP. — Ib. ἀλ. γο δ' BP. — Ib. εὐφ. γο δ' A. — Ch. 206; l. 6. β'] α' BP. — Ch. 207; l. 9. τε ex em.; om. Codd. — 10. ἐκκενώσαντας F; ἐκκενῶσαι δεῖ καί A. — Ib. ἐλ. om. A. — 11. [δέ] om. Codd. — Ib. πωμάσας BP; om. AF. Cf. t. IV, p. 66. — Ib. ν. ἑᾶσον μ. BP. — 13. ῥῖψον BP. — 13-14. παραχυθ.] συμμιχθ. BP. — 15. δέ ante ∠ α' om. A. — 16. αὐτῶν F. — Ib. μεγέθει BP. — 17. καὶ π. ὕδ. om. A. — Ch. 208; l. 19. Ἐκβαλεῖν BP. — Ib. ἐμπλησθῆναι BP. — 22. καθαρτικώτερος BP.

2 χρίεται τῆς ἕδρας. Πρακτικώτατον δέ ἐστιν εἰ προσλάβοι κυμίνου
3 βραχὺ καὶ νίτρου, ἢ κυκλαμίνου χυλοῦ. Καὶ κροκύδι δὲ ἀναληφθὲν
παρεντίθεται· φῦσαι γὰρ ὑπεξίασιν ἱκαναὶ πάνυ καὶ κουφίζουσαι.

1 *σι'.* Ῥούφου ἱερά. — Σικυωνίας ἤτοι κολοκυνθίδος ἐντεριώ-
νης ∠κ', χαμαίδρυος ∠ι', ἀγαρικοῦ ∠ι', σαγαπηνοῦ ∠η', ὀποπάνα- 5
κος ∠η', πετροσελίνου, ἀριστολοχίας στρογγύλης, πεπέρεως λευκοῦ
ἀνὰ ∠ε', κινναμώμου, κασίας σύριγγος, νάρδου στάχυος, κρόκου,
2 σμύρνης, πολίου ἀνὰ ∠δ'. Πάντα ταῦτα μίξας, λεπτὰ ποιήσας,
μέλιτι δεύσας ἀπόθου, καὶ τὸ πλεῖστον δίδου ∠δ'.

1 *σια'.* Καθαρτικὸν Λύκου. — Σκαμμωνία μετὰ ἁλῶν ὅτι λευκο- 10
τάτων λειοῦται ἐπὶ ἱκανὸν, ἔπειτα ἕψεται ἐν πυξίδι μολιβδίνῃ ἐν
2 διπλώματι. Τρόπος δὲ τῆς διπλῆς ἑψήσεως ὅδε· πυξὶς μολιβδῆ ἐστι,
τὸ δὲ ἐπίθεμα αὐτῆς ἢ τρῆμα ἢ αὐλὸν ἔχειν ὀφείλει· ἐνταῦθα ἡ μετὰ
τῶν ἁλῶν λελειωμένη βάλλεται σκαμμωνία, καὶ ἐγκαθίσταται τὸ
3 ἀγγεῖον τοῦτο λοπάδι ἐρεγμοῦ πλήρει. Ἕψεται δὲ ὁ ἐρεγμὸς ἔχων 15
τὴν μολιβδῆν πυξίδα, ὀξυκράτου ἐπιχυθέντος, καὶ οὐχ ὕδατος, ὅ τε
4 ἐρεγμὸς ἕψεται, καὶ ἡ σκαμμωνία ἱκανῶς ἑψήσεως ἔχει. Ἐπειδὰν
δὲ τοῦτο γένηται, ἀποψῦξαι ἐν τῇ πυξίδι τὸ φάρμακον χρὴ καὶ αὖ-
θις λειοῦν, ἢ αὐτὸ κατὰ ἑαυτὸ, ἢ πεπέρεως λευκοῦ μίξαντα τοσοῦ-
5 τον ὅσον ἡδῦναι τὸ φάρμακον ἱκανῶς. Οὕτως εἰ μεταχειρίσαιο, ἡ 20
σκαμμωνία οὔτε τῷ στόματι, οὔτε τῷ στομάχῳ ἀηδὴς γίνεται, καὶ
καθαίρει οὐδὲν μεῖον.

1 *σιβ'.* Ἄλλο καθαρτικὸν πρὸς τοὺς ἐλεφαντιῶντας. — Λαβὼν κολο-
κυνθίδα καλὴν ἔμβρεχε εἰς ἔλαιον νύκτα καὶ ἡμέραν, εἶτα ἀποχέας
τὸ ἔλαιον ἕψε ἐν κυθριδίῳ καινῷ τὴν κολοκυνθίδα μετὰ ὕδατος ἕως 25

1. Πρακτικώτερον A. — Ib. κυμίνου om. A. — 2. ἀναληφθέν Paul.; ἀνάλατος F; ἀνάλατον AP; ἀνάλωτον B. — 3. παρεντίθ. ex em.; ἐντίθεται Paul.; παρατεθέντος F; παρατεθέντα ABP. — Ib. ἐξιᾶσι A. — Ib. κουφίζουσιν A. — Ch. 210; l. 4. κ'] γ' BFP. — 5. σαγ. ∠β', ὀπ. ∠β' A. — 7. κιννάμ. ἢ τοῦ διπλοῦ κασ. BFP. — Ib. νάρδου Aët.; om. Codd. Cf. t. II, p. 274. — 7-8. σμ. ἀνὰ ∠ δ', πολίου ∠ (∠ B) γ' ς'' BP. — Ch. 211; l. 14. τό] εἰς BP. — 15-21. τοῦτο ..... σκαμμ.] καὶ ἑψῆται καί BP. — 15-16. ἐρεγμοῦ..... ὅ τε om. F. Cf. t. II, p. 263. — 17. ἑψηθῇ F. — 21. οὔτε τῷ στόματι om. BP. — Ch. 212; l. 24-25. νύκτα..... ἔλαιον] καί BP. — 25. ἀγγείῳ BP; κροκύδι F.

ἂν καταλειφθῇ κρασείδιον, καὶ πρόσβαλλε σεμιδάλεως ὅσον ἐξαρκεῖ ἀναλαβεῖν τὸ ὕδωρ, καὶ ὅταν ἑψηθῇ, μίγνυε ἑλλεβόρου μέλανος ∠α′, σκαμμωνίας ∠α′, καὶ ἀνακινήσας καρφίῳ ἀνήθου ἀνάπλασσε, ὡς ἔστι θερμὸν, ποντικοῦ καρύου μέγεθος, καὶ δίδου καταπίνειν.

σιγ′. Διάχρισμα καθαρτικὸν κινοῦν γαστέρα. — Στυπτηρία 1
σὺν μέλιτι συλλεανθεῖσα ἕψεται ἄχρις οὗ κιῤῥὰ γένηται, καὶ ἐκ
τούτου διαχρίουσι τὴν ἕδραν. Καλεῖται δὲ χεζανάγκη τὸ φάρμα- 2
κον· ῥᾳδίως δὲ πολλὰ μὲν, οὐκ ἀπόνως δὲ προβιβάζει.

σιδ′. Θυμιάματα. — Πολτάριον, ἤτοι θυμιατόν. Ῥόδων νεαρῶν 1
℞ β′· εἰ δὲ ξηρῶν, ℞ α′ ϛ″, φύλλου, κρόκου, κασίας ἀνὰ γο ϛ″, στύρακος γο α′, ἀμώμου γο α′, ὄνυχος γο α′, σμύρνης γο β′, βδελλίου γο α′, καρποβαλσάμου γο α′, ἀκακίας γο β′, ὀποβαλσάμου γο β′.

σιε′. Ἄλλο. — Φύλλου γο ε′, ἀμώμου ἀνὰ γρ η′, καρυοφύλ- 1
λων γρ ϛ′, νάρδου στάχυος γρ ε′, στύρακος γρ ϛ″, ῥόδων γο ϛ″,
σμύρνης γο α′. Λείου τὴν σμύρναν οἴνῳ, καὶ πάντα ἀναμαλάξας 2
ἀνάπλασσε μετὰ βραχέος ὀποβαλσάμου.

σιϛ′. Θυμίαμα. — Κόστου, ἀμώμου, σμύρνης, κασίας ἀνὰ γο α′, 1
στύρακος, ἀκακίας, βδελλίου, ὄνυχος, βρύου, λαδάνου ἀνὰ γο β′,
ῥόδων κεκαθαρμένων γο κθ′.

σιζ′. Ῥούφου ἡ ἁπλῆ. — Κολοκυνθίδος ἐστὶ ∠β′, πρασίου, χα- 1
μαίδρυος, στοιχάδος ἀνὰ ∠ι′, γεντιανῆς, ἀγαρικοῦ ἀνὰ ∠ιβ′, βδελλίου, νάρδου στάχυος, κρόκου, κινναμώμου ἀνὰ ∠η′, κασίας, σχοίνου ἄνθους, πεπέρεως λευκοῦ, πεπέρεως μακροῦ, σκίλλης ὀπτῆς
ἀνὰ ∠ϛ′, κενταυρίου τῆς ῥίζης ∠δ′. Λεῖα πάντα καταμίγνυται διε- 2
θέντι τῷ βδελλίῳ ἀφεψήματι πάνακος καὶ μέλιτι καθέφθῳ.

1. ἂν om. BP. — 3-4. καρφίῳ..... καί] καὶ κοκκία ποιήσας A. — Ch. 213; l. 6. κινεῖ BFP. — 7. λεανθεῖσα BP; λειωθεῖσα A. — Ib. ἕως οὗ BP. — 9. πολλόν BP. — Ib. διαβιβάζει A. — Ch. 214; l. 10. θυμιατόν ex em.; θυμιάτων BP; θυμιαμάτων F. — 11. β′] α′ BP. — Ib. α′ ϛ″ N; β′ BP; α′ F. — 12. ὄνυχος ex em.; ὀνύχων Codd. — 13. ἀκακίας γο β′ N; χίας γο β′ F; χίας γο α′ BP. — Ch. 215; l. 14-15. Ἄλλο... γρ ϛ″ om. BP. — Ch. 216; l. 19. ἀκακίας e conj.; χίας Codd. Cf. cap. 214, l. 13. — Ib. ὄνυχος, βρύου ex em.; ὀνύχων, βρύον Codd. — Ib. β′] α′ BP. — Ch. 217; l. 21. ἐστὶ ∠β′ om. F.

1 σιη'. Ξηρόμυρον τὸ ἀραβικόν. — Φύλλου, ἀμώμου, κόστου, ζαρναβᾶ ἀνὰ γο α', καρποβαλσάμου ℞ α'.

1 σιθ'. Θυμίαμα ὑπνοποιόν. — Στύρακος, ἀμώμου, κόστου, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου σκυθικοῦ, μανδραγόρου ῥίζης, ὀποῦ
2 μήκωνος ἴσα. Θυμία ἐπὶ κυπαρισσίνων ξύλων.

1 σκ'. Κῦφι τὸ σεληνιακόν. — Βδελλίου γο ζ', ἑλενίου γο ζ', σχοίνου ἄνθους γο β', σφάγνου γο ε', ἀρκευθίδας μικρὰς ν', ἀσπαλάθου γο ϛ'', καρδαμώμου γο ε', κασίας σύριγγος γο ε', νάρδου στάχυος γο β', κυπέρου γο θ', ἀσφοδέλου ῥίζης γο δ', κυπαρίσσου σπέρματος γο γ', βράθυος γο δ', νάρδου κελτικῆς γο γ', κόστου γο β', σμύρνης γο ζ', ἰσχάδων λιπαρῶν ℞ β', σταφίδων ἐκγεγιγαρτισμένων ℞ β', στροβίλων γο γ', τερμινθίνης ℞ α', ῥόδων ξηρῶν γο γ', στύρακος γο ζ', φοινίκων λιπαρῶν ℞ α', μέλιτος ℞ ε', οἴνου εὐώδους τὸ ἀρκοῦν.

Ch. 218; l. 2. ζαρναβᾶ ex em.; ζαναζοῦ BP; ζηρναζοῦ F. — Ch. 219; l. 5. Θυμίαμα BFP. — Ib. ἐπί ex em.; ἐπὶ τῶν AF; ἐκ τῶν BP. — Ch. 220; l. 6. σεληνιακόν Paul.; σελήνης Codd. — Ib. ἑλενίου] ὃ λέγεται ῥάσδον F marg. — 7. β'] α' BP. — 8. ϛ''] ζ' BP. — 9. β'] ϛ' BP. — 12. στροβιλίων F.

ΒΙΒΛΙΟΝ Δ'.

α'. Ὅσα λεπτύνει ἐν τροφαῖς.

Σκόροδα, κρόμμυα, κάρδαμα, πράσα, νᾶπυ, πέπερι, σμύρνιον, 1
πύρεθρον, ὀρίγανος, καλαμίνθη, ὕσσωπον, σίον, σισύμβριον, γλήχων, θύμον, θύμβρα χλωρὰ προσφερόμενα· ξηρανθέντα γὰρ ἤδη φάρμακα, καὶ οὐκέτι τροφαί· καθόλου γὰρ πᾶν τὸ ξηρότερον ἰσχυ-
5 ρότερον τοῦ τεθηλότος ἐστὶ, καὶ ὅσα κατὰ λόφους ἢ ἐν χωρίοις ἀνυδροτέροις ηὐξήθη τῶν ἐν πεδίοις ἢ κήποις ἢ τέλμασιν ἰσχυρότερα. Ταῦτα μὲν οὖν ὑπὲρ πάντων χρὴ γινώσκειν κοινῇ· τοῖς δὲ 2
εἰρημένοις ἐφεξῆς ἐστιν εὔζωμα, σία, σέλινα, πετροσέλινα, ὄκιμα, ραφανῖδες, κράμβαι, τεῦτλα, σκόλυμος, ἠρύγγιον, κορίαννον, ἀκα-
10 λήφη, μάραθρον, πήγανον, ἄνηθον, λιγυστικὸν, κύμινον, καππάρεως καὶ τερμίνθου καρπὸς, τὸ τῆς καροῦς σπέρμα, ἀνίσου, σίνωνος, ἄμμεως, δαύκου, σεσέλεως, τορδύλου, καὶ πάντων τῶν εὐωδῶν καὶ δριμέων καὶ θερμῶν ἐπιφανῶς. Τῶν ἰσχυρῶς δὲ λεπτυ- 3
νόντων ἐστὶ τὸ τοῦ πηγάνου σπέρμα καὶ καννάβεως, ὡς εἶναι φαρ-
15 μακώδη λοιπόν. Τῶν δὲ δημητρίων σπερμάτων εἰς λεπτύνουσαν 4
δίαιταν ἄλυποι κριθαὶ μόναι· δεύτεροι δὲ ἤδη οἱ ἐκ τῶν πυρῶν ἄρτοι κριβανῖται· τῶν δὲ ἄλλων ἀπέχεσθαι πειρᾶσθαι πλὴν εἰ διὰ μακροῦ χρόνου πίσσου ἢ φακοῦ γεύεσθαί τις ἐθέλοι. Πλείστην δὲ 5
ἂν ἔχοις, εἰ βούλοιο, καὶ ἄφθονον ἐδεσμάτων χρῆσιν εἰς λόγον
20 λεπτυνούσης διαίτης ἀπό τε τῶν πετραίων ἰχθύων καὶ τῶν ὀρεινῶν ὀρνίθων τῶν μικρῶν· τὰ γὰρ ἐν τοῖς ὄρεσι διαιτώμενα ζῷα πάντα ξηρότερά τε καὶ θερμότερα ταῖς κράσεσιν ὑπάρχει, καὶ ἡ σὰρξ αὐτῶν ἥκιστα φλεγματώδης ἐστὶ καὶ γλίσχρα. Ψᾶρας οὖν καὶ κί- 6
χλας καὶ κοτύφους καὶ πέρδικας ἐσθίειν. Καὶ οἱ πυργῖται καλού- 7

Ch. 1; l. 3. θύμον] θῦμα F. — 6. οἱ Codd. Cf. t. I, p. 194. — 23. ἐστί] ἐπιπαιδίων F. — 16. δευτεροειδεῖς δὲ ὑπάρχει BP. — Ib. καὶ γλ. om. BP.

μενοι σΙρουθοὶ, καὶ ὅσοι κατὰ τὰς ἀμπέλους διαιτῶνται, καὶ τῶν
περισΙερῶν αἱ ἐκ τῶν πύργων ἀμείνους τῶν κατοικιδίων εἰσὶ, καὶ
καθόλου πάντα τὰ γεγυμνασμένα τῶν ἀγυμνάσΙων, καὶ τὰ ξηροτέ-
ραις τροφαῖς χρώμενα τῶν ὑγροτέραις, καὶ τὰ καθαρὸν καὶ λεπΙὸν
8 ἀναπνέοντα τὸν ἀέρα βελτίω τῶν ἐναντίων. Καὶ ἰχθύων δὲ τῶν πε- 5
τραίων ἐσθίειν ἰουλίδος καὶ φυκίδος καὶ κοτΙύφου καὶ κίχλης καὶ
σκάρου, καὶ ἁπλῶς ἁπάντων ὅσοι μαλακήν τε ἅμα καὶ ψαθυρὰν
ἔχουσι τὴν σάρκα· τῶν δὲ ἤτοι σκληρὰν ἢ γλίσχραν ἐχόντων ἀπέ-
9 χεσθαι παντάπασιν. Μαλακὴ μὲν οὖν ἡ τῶν ὀνίσκων σὰρξ, ἀλλὰ
ἧΙΙον ψαθυρὰ τῆς τῶν πετραίων· τῶν μέντοι τριγλῶν ψαθυρὰ μὲν, 10
10 οὐ μὴν καὶ μαλακή. Ταῦτα οὖν ἔχειν ἄμφω τὰ γνωρίσματα περὶ
παντὸς ζῴου σαρκὸς, τὸ μαλακόν τε καὶ ψαθυρὸν, καὶ τούτοις
προσέχων τὸν νοῦν, ᾧ μὲν ἂν ὑπάρχῃ τὸ συναμφότερον, εἰς κόρον
ἐσθίειν, τῶν δὲ ἄλλων ᾧ μὲν μηδέτερον, ἀπέχεσθαι παντάπασιν, ᾧ
δὲ ϑάτερον μόνον, ἐσθίειν μέν ποτε καὶ τοῦδε τῶν ἄλλων ἀπορή- 15
σαντα, φυλάΙΙεσθαι δὲ εἰς κόρον, ὥσΙε καὶ ὀνίσκων καὶ τριγλῶν
καὶ τῶν ἄλλων πελαγίων ἰχθύων ἐξέσΙαι σοι προσφέρεσθαι μὴ
παρόντων πετραίων, καὶ μᾶλλον ὅσοι διὰ νάπυος ἐσθίονται, καθάπερ
11 ὁ σκορπίος. ΕΙσΙι δὲ δή τινα γένη ζῴων οἷς ὑπάρχει μὲν τὸ ἕτερον ὧν
εἶπον γνωρισμάτων, ἀλλὰ διὰ τὴν ἀμετρίαν ϑατέρου φυλάΙΙεσθαι 20
χρὴ καὶ τὴν τούτων ἐδωδήν· αἱ μὲν γὰρ ἐγχέλυες, καὶ τὰ πλεῖσΙα
τῶν μαλακίων τε καὶ σελαχίων, καίτοι μαλακὴν ἔχοντα τὴν σάρκα,
διὰ τὸ γλίσχρον καὶ φλεγματῶδες αὐτῆς ἱκανῶς ἐσΙι βλαβερά·
τοῖς δὲ λεπΙυνούσῃ διαίτῃ χρῆσθαι δεομένοις ἐπιτηδεία ἐκ τῶν σε-
λαχίων ἐσΙὶν ἡ νάρκη καὶ ἡ τρυγὼν μόνα, καὶ χρῆσθαι δέ ποτε καὶ 25
12 τούτοις ἐγχωρεῖ μὴ παρόντων πετραίων. Τῆς δὲ αὐτῆς ἐσΙι δυνά-
13 μεως τά τε βούγλωτΙα καὶ ἡ ψῆτΙα. Καὶ τοῖς ἀλεκτρυόσι δὲ, εἰ
γυμνάζοιτό τις, οὐ κωλύω κεχρῆσθαι, καὶ περισΙεραῖς καὶ τρυγόσι,

1-2. καὶ αἱ περισΙεραὶ ἀμ. BP. — 2. ἡμέρων BP. — 3. ἐγγεγυμν. F; ἄγρια BP. — Ib. ἡμέρων BP. — 5. τόν om. BP. — 8-9. ἀπέχου BP. — 17. ἔσΙαι BP; ἐξ ἔσΙι F 1ª m. Cf. t. I, p. 196. — 18. μάλισΙα BP. — Ib. ὥσπερ BP. — 22. μαλ. τε καί om. BP. — 28. κωλύει F.

καὶ μάλιστα ταῖς ἐν ὄρεσι διαιτωμέναις· χρὴ δὲ μὴ πρόσφατον, ἀλλὰ ἕωλον ἐργασαμένους ἡμέραν μίαν τοὐλάχιστον οὕτως ἐσθίειν πάντα τὰ μετρίως σκληρὰν ἔχοντα τὴν σάρκα. Καὶ οἱ ταριχευθέν- 14
τες δὲ τῶν ἰχθύων ἱκανώτατα λεπτύνουσι καὶ τέμνουσιν· ἐκλέγεσθαι δὲ καὶ τούτων ὅσοι φύσει μαλακόσαρκοι· τοὺς δὲ κητώδεις φυλάττεσθαι. Ταριχευθέντων γέ τοι καὶ τῶν χοιρείων κρεῶν γεύοιτο 15
ἄν τις ἀσφαλῶς. Καὶ ὑπὸ τῶν ὀπωρῶν δὲ ἥκιστα ἄν τις λυποῖτο τῶν 16
λαπαττουσῶν τὴν κοιλίαν. Τὰς μαλακωτέρας οὖν μᾶλλον ἐσθίειν 17
τῶν σκληροτέρων καὶ βραδυπόρων· οὐ μὴν εἰς κόρον γε οὐδενός· ὅσα δὲ σφοδρῶς αὐστηρὰ καὶ στρυφνὰ μοχθηρὰ τῇ τοιαύτῃ διαίτῃ. Ἐπιτηδειότερα δὲ πάντων εἰσὶν ἰσχάδες, κάρυα καὶ πιστάκια καὶ 18
τῶν ἀμυγδαλῶν αἱ ὑπόπικροι. Ἐλαίας δὲ οὔτε ἐπαινεῖν ἔχοιμι ἄν, 19
οὔτε ψέγειν. Τῶν δὲ γλυκέων, οὐκ ἐδεσμάτων μόνον ἀλλὰ καὶ πο- 20
μάτων, τὸ μέλι μόνον, ὡς ἔπος εἰπεῖν, ἀκριβῶς λεπτοῦ τὴν σύστασίν ἐστι χυμοῦ γεννητικόν. Καὶ τῶν οἴνων δὲ οἱ λευκοὶ καὶ λεπτοὶ 21
τέμνουσί τε τοὺς παχεῖς χυμοὺς καὶ καθαίρουσι διὰ οὔρων. Καὶ 22
μὲν δὴ καὶ ὁ τοῦ γάλακτος ὀρὸς ἐκ τῶν λεπτυνόντων ἐστίν· χρησιμώτερον δὲ εἰς λεπτύνουσαν δίαιταν τὸ ὀξύμελι μάλιστα ὑπάρχει.

β'. Ὅσα παχύχυμα.

Οἱ ἰπνῖται τῶν ἄρτων καὶ οἱ μὴ καλῶς ἐσκευασμένοι παχύχυ- 1
μοι, καὶ ὁ καλούμενος τράγος, καὶ τὰ διὰ γλεύκους καὶ σεμιδάλεως πέμματα καὶ λάγανα καὶ ῥύμματα ἅπερ ἴτρια προσαγορεύεται, καὶ πᾶν ἄζυμον ἐκ πυροῦ πέμμα, καὶ οἱ διὰ αὐτῶν δηλονότι σκευαζόμενοι πλακοῦντες. Ἔστι δὲ καὶ ἡ σεμίδαλις καὶ ὁ χόνδρος ἱκανῶς 2
παχύχυμα· ἄμυλον μετρίως. Καὶ οἱ λοβοὶ δέ εἰσι παχύχυμοι καὶ οἱ 3
θέρμοι, καὶ τῆς φακῆς ἡ οἷον σὰρξ, κύαμοι φρυγέντες, σησάμου σπέρμα, ἐρυσίμου σπέρμα, τὰ καλούμενα μαλάκια, τευθίδες, ση-

1. καὶ... δέ om. BP. — 2. ἡμέρᾳ μιᾷ F. — 4. καὶ τέμν. om. BP. — 5. καί] ἐκ BP. — 6. γέ τοι] δέ BP. — 11. πάντως BP. — 16. τε om. BP. — 18. μάλ. ὑπάρχει om. BP. — Ch. 2; l. 21. καὶ παραρύμματα Codd. Cf. t. I, p. 199. — 24-25. καὶ θέρμοι Codd. Cf. t. I, p. 199.

4 πίαι, πολύποδες, οἱ κητώδεις τῶν ἰχθύων. Ἱκανῶς δὲ παχύχυμα τά τε ὄστρεα, οἱ κήρυκες, αἵ τε πορφύραι, χῆμαι, λεπάδες, κτένες, πίνναι, καὶ πάντα ἁπλῶς τὰ ὀστρακόδερμα, ἐγχέλυες, κοχλίαι, ἐλάφεια κρέα, αἴγεια, βόεια, λάγεια, χοίρεια, ἧπαρ, νεφροὶ, ὄρχεις, ἐγκέφαλος, νωτιαῖος μυελὸς, οὖθαρ, ἀδένες· γλῶττα μετρίως· γάλα τὸ ἐπὶ πλέον ἑψηθὲν, τυροὶ πάντες· οἱ δὲ νέοι καὶ ὀξυγαλάκτινοι ἧττον· ὀξύγαλα, πυρίεφθον, καὶ τῶν ᾠῶν ὅσα μέχρι τελέας πήξεως ἕψουσι, μᾶλλον δὲ τὰ ὀπτὰ, καὶ ἔτι μᾶλλον τὰ τηγανιστὰ, φοίνικες, κάστανα, βάλανοι, βολβοὶ, γογγύλαι, μύκητες, ἄρου ῥίζαι, ὕδνα, κῶνος, σῦκα τὰ μὴ καλῶς πέπειρα, κιτρίου σὰρξ, σί- 10
5 κυος τοῖς πλεονάσασι τῇ ἐδωδῇ αὐτῶν. Τῶν οἴνων οἱ γλυκεῖς αἵματος παχέος εἰσὶ γεννητικοὶ, καὶ μᾶλλον ἔτι τὸ καλούμενον σίραιον, καὶ ὁ γλεύκινος ὁμοίως, καὶ οἱ παχεῖς καὶ μέλανες οἶνοι.

γ'. Ὅσα μέσα τῶν λεπτυνόντων καὶ παχυνόντων εἰσίν.

1 Οἱ κάλλιστα κατασκευασθέντες ἄρτοι, καὶ αἱ σάρκες τῶν ἀλεκτορίδων τε καὶ ἀλεκτρυόνων, ὀρνίθων τε καὶ φασιανικῶν, καὶ περδίκων καὶ περιστερῶν, ἀτταγήνων τε καὶ τρυγόνων καὶ κιχλῶν, κοτύφων τε καὶ τῶν μικρῶν στρουθίων ἅμα πάντων, ἔτι τε πετραίων ἰχθύων, αἰγιαλείων τε καὶ πελαγίων, κωβιῶν τε καὶ σμυραίνων, καὶ βουγλώσσων, καὶ πάντων ἁπλῶς ἰχθύων ὅσοι μήτε γλισχρότητά τινα, μήτε δυσωδίαν ἔχουσι κατὰ τὴν ἐδωδὴν, σῦκα τὰ πέπονα, λαχάνων ἀγρίων ἡ σέρις· τοῦτο δὲ κοινόν τι γένος ἐστὶ πλειόνων, τὰ δὲ κατὰ εἶδος ἕκαστον αὐτῶν ἴδιον ὄνομα κέκτηται παρὰ τοῖς Ἀττικοῖς, οἷον θριδακίνη καὶ χονδρίλη, γιγγικίδια καὶ ἄλλα μυρία τούτου τοῦ γένους ἐστίν· ὅ τε ἔλειος καὶ ὁ μυακάνθινος καὶ ὁ τῆς χαμαιδάφνης ἀσπάραγος καὶ ὁ τῆς βρυωνίας· οἶνος ὁ ξανθός τε ἅμα καὶ γλυκὺς καὶ διαυγὴς, οἷός ἐστιν ὅ τε ἀριούσιος

2. ὄστρεια F. — 4-5. αἰδοῖα BP. — 5. ἐγκέφαλοι Codd. Cf. t. I, p. 200. — Ib. οὖθαρ om. BP. — 7. ὁπόσα BP. — 9. γογγυλίς BP. — 9-10. ῥίζα BP. — 13. γλευκίνης F. — Ch. 3; l. 15. καὶ ante φασ. om. Codd. Cf. t. I, p. 201. — Ib. φασιανῶν BP, et sic fere semper. — 21. πέπ. καὶ λαχ. Codd. Cf. t. I, p. 201. — 23. γιγγίδια F; om. BP. Cf. t. I, p. 613.

καὶ ὁ λέσβιος καὶ ὁ φαλερῖνος καὶ ὁ τμωλίτης· χρηστὸν γὰρ οἱ τοιοῦτοι πάντες αἷμα καὶ σύμμετρον τῷ πάχει γεννῶσιν.

δ'. Ὅσα γλίσχρον χυμὸν γεννᾷ.

Τῶν πυρῶν ὅσοι μὲν βαρεῖς καὶ πυκνοὶ καὶ διὰ βάθους ξανθοὶ 1
γλίσχροι· ὅσοι δὲ κοῦφοι καὶ ἀραιοὶ καὶ λευκοὶ τὰ ἔνδον ἧττον
5 τοιοῦτοι. Καὶ ἡ σεμίδαλις δὲ καὶ ὁ χόνδρος ἱκανῶς γλίσχρα. Τέ- 2-3
νοντες καὶ ἀπονευρώσεις καὶ τὰ περὶ τὰ χείλη μόρια, καλλωσὸν,
χοίρειον πᾶν κρέας, καὶ ἡ τῶν ἀρνῶν σὰρξ, τὸ τοῦ σησάμου
σπέρμα, βολβοὶ, φοίνικες οἱ λιπαροί.

ε'. Ὅσα ὠμοὺς χυμοὺς γεννᾷ.

Φοίνικες χλωροὶ χυμῶν ὠμῶν ἐμπιπλῶσι τοὺς ἐσθίοντας ὡς 1
10 δυσεκθερμάντοις ἁλίσκεσθαι ῥίγεσιν. Καὶ ἡ ῥίζα τῆς γογγυλίδος, 2
ὅταν πλεονάσῃ τις ἐπὶ τῇ ἐδωδῇ αὐτῆς, καὶ ἡ σὰρξ τῶν ὀστρακο-
δέρμων τῶν σκληροσάρκων ἀποβαλοῦσα τὸν ἁλυκὸν χυμὸν ἐκ πλείο-
νος ἑψήσεως, καὶ τὰ μαλάκια καλούμενα, πολύποδες, σηπίαι, ὅσα
τε ἄλλα τοιαῦτα, πάντα τὰ κητώδη τῶν ἐν θαλάττῃ ζῴων, κοιλία,
15 ἔντερα, μῆτραι τῶν τετραπόδων, καὶ οἱ σκληρότεροι τῶν ἀδένων
ἀπεπτούμενοι, ὀξύγαλα, τηγανῖται, θέρμοι, σταφυλὴ ἐπισχεθεῖσα
καὶ μὴ διαχωρηθεῖσα.

ς'. Ὅσα ψυχροὺς χυμοὺς γεννᾷ.

Τοῖς ἄδδην σικύων ἐμφορουμένοις ψυχρὸν χυμὸν ἀθροίζειν συμ- 1
βέβηκεν οὐκ εὐπετῶς ἐπιδέξασθαι δυνάμενον τὴν εἰς αἷμα χρηστὸν
20 ἀλλοίωσιν. Κοιλία καὶ ἔντερα καὶ μῆτραι τῶν τετραπόδων ζῴων, 2
ὀξύγαλα, βωλῖται, μῆλα τὰ μὴ πέπειρα, βολβοί.

2. ἀπογεννῶσιν BP. — CH. 4; l. 3. μέν om. BP. — CH. 5; l. 13-14. καὶ ὅσα τοιαῦτα BP. — 15-16. τῶν τετρ... ἀπεπτούμενοι om. BP. — CH. 6; l. 18-19. πέφυκεν BP. — 19. τήν om. ABP. — 20. Κοιλίαι A.

ζ'. Ὅσα φλέγμα γεννᾷ.

1 Φλεγματικὸν δὲ ἁπλῶς χυμὸν γεννᾷ τῶν ζῴων τὰ νευρώδη μόρια, ἐγκέφαλος, πνεύμων, νωτιαῖος, ἀδένες ἀπεπτούμενοι, ἡ τῶν ἀρνῶν σὰρξ, ἀμανῖται, βωλῖται, καὶ ἡ σὰρξ τῶν ὀστρακοδέρμων τῶν μαλακοσάρκων, μῆλα τὰ μὴ πέπειρα.

η'. Ὅσα μελαγχολικὸν χυμὸν γεννᾷ.

1 Κρέα βόεια, αἴγεια, καὶ μᾶλλον τὰ τῶν τράγων καὶ ταύρων, 5 ἔτι δὲ μᾶλλον ὄνεια, καμήλεια, ἀλωπέκεια, κυνῶν, λαγωῶν, τῶν ἀγρίων ὑῶν, τὰ ταριχευθέντα κρέα τῶν ἐπιγείων ζῴων, καὶ οἱ σπλῆνες τῶν ζῴων, τῶν δὲ θαλαττίων θύννης καὶ φαλαίνης, φώκης, κυνὸς, δελφῖνος, καὶ τῶν κητωδῶν ἁπάντων, κοχλίαι, κράμβαι, καὶ τῶν δένδρων οἱ βλαστοὶ διὰ ἅλμης τε καὶ ὀξάλμης συντιθέμενοι, 10 σχίνου λέγω καὶ τερμίνθου καὶ βάτου καὶ κυνοσβάτου, καὶ τῆς κινά-
2 ρας ἡ οἷον σάρξ. Καὶ ἡ φακῆ δὲ μελαγχολικώτατόν ἐστιν ἔδεσμα, καὶ μετὰ ταύτην οἱ πιτυρῖται τῶν ἄρτων, οἵ τε ἐκ τῆς τίφης καὶ τῶν ἄλλων τῶν μοχθηρῶν σπερμάτων, οἵ τε παλαιοὶ τυροὶ, καὶ ἀφάκη καὶ βίκος, καὶ τῶν οἴνων οἱ παχεῖς καὶ μέλανες. 15

θ'. Ὅσα χολώδη χυμὸν γεννᾷ.

1-2 Κεράτια. Τῆς κινάρας ὁ χυλὸς λεπτὸς καὶ πικρόχολός ἐστιν·
3 ἄμεινον δὲ ἀφέψοντας αὐτὴν ἐσθίειν. Καὶ τὸ μέλι ῥᾳδίως ἐκχολοῦται κατὰ τὰ θερμὰ σώματα· πάντες γάρ εἰσιν οἱ γλυκεῖς χυμοὶ ὕλη τῇ ξανθῇ χολῇ· καὶ οἱ γλυκεῖς οἶνοι.

ι'. Ὅσα περιττωματικά.

1 Φάτται, χῆνες πλὴν τῶν πτερῶν, σπλάγχνα πάντα, νωτιαῖος, 20

Ch. 7, l. 1. δέ om. A. — 4. τῶν μαλακοσ. om. Codd. Cf. t. I, p. 204. — Ch. 9; l. 7-8. τὰ..... ζῴων om. BP. — 8. θύννος A. — Ib. καὶ φαλ. om. A. — 13. τῶν ἄρτ. om. BP. — 13-14. οἱ... σπερμάτων] φακή BP. — 14. οἱ ἁπαλοὶ τυ. AF; οἱ ἁπ. τε τ. BP. Cf. t. I, p. 205. — 14-15. καὶ ἀφ. om. ABP; καὶ φακκός F. Cf. t. I, p. 205. — 15. καὶ β. om. ABP. — Ch. 9; l. 19. τῆς ξανθῆς χολῆς BP.

ἐγκέφαλος, οἱ ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις καὶ τοῖς πεδίοις ὄρνιθες, ἐρέβινθοι, κύαμοι χλωροὶ, κύαμος αἰγύπτιος, οἱ νέοι τῶν χοίρων, τῶν προβάτων ἡ σὰρξ, καὶ πάντων τῶν νέων ζῴων, καὶ τῶν ἀργῶς βιούντων, καὶ τῶν ἰχθύων οἱ ποτάμιοι καὶ οἱ λιμναῖοι καὶ
5 οἱ ἐν ἰλύι διαιτώμενοι, καὶ πάντα τὰ κητώδη τῶν ἐν θαλάττῃ ζῴων.

ια'. Ὅσα ἀπέριττα.

Τράχηλοι ζῴων, οὐραὶ, πτερὰ, ἡ τῶν ἀγρίων ζῴων σὰρξ καὶ 1
τῶν ἐν ξηροῖς τόποις διαιτωμένων.

ιβ'. Ὅσα πολύτροφα.

Συῶν ἡμέρων αἱ σάρκες πάντων ἐδεσμάτων εἰσὶ τροφιμώταται. 1
10 Βοῶν ἐγκέφαλοι, ὄρχεις, καρδία, νωτιαῖος καὶ ὁ ἄλλος μυελὸς, 2
καὶ πτερὰ τῶν χηνῶν, καὶ μᾶλλον ἀλεκτορίδων, καὶ πάντων τῶν πτηνῶν αἱ κοιλίαι, κοχλίαι, καὶ μᾶλλον δίσεφθοι γενόμενοι. Τῶν 3
ὀστρακοδέρμων τὰ σκληρόσαρκα, οἷον χῆμαι, πορφύραι, κήρυκες, ὅσα τε ἄλλα τοιαῦτα, πλείονα τροφὴν δίδωσιν· ἀσταχοὶ, πάγουροι,
15 καρκίνοι, καρῖδες, κάραβοι καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ μαλάκια, οἷον πολύποδες, σηπίαι, τευθίδες καὶ τὰ τοιαῦτα. Τῶν σελαχίων 4
νάρκη μὲν καὶ τρυγὼν μετρίως, βάτοι καὶ λειόβατοι καὶ ῥῖναι μᾶλλον· τρίγλαι καὶ κωβιοὶ ἔλαττον. Γάλα τὸ μὲν παχύτερον μᾶλ- 5
λον, τὸ δὲ ὑγρότερον ἔλαττον. Τῶν ἄρτων τροφιμώτατος ὁ σι- 6
20 λιγνίτης, ἐφεξῆς δὲ ὁ σεμιδαλίτης, καὶ τρίτος ὁ συγκομιστός. Ἑφθοὶ 7
πυροὶ, σεμίδαλις, χόνδρος. Κύαμοι σαρκοῦσι τὴν ἕξιν οὐκ ἐσφιγμένῃ 8
καὶ πυκνῇ σαρκὶ, ἀλλὰ χαυνοτέρᾳ μᾶλλον. Ἐρέβινθοι κυάμων τρέ- 9
φουσι μᾶλλον, φάσηλοι καὶ ὦχροι τήλεως πλέον. Δόλιχοι οὓς λο- 10
βοὺς καὶ φασηόλους καλοῦσι, τρέφουσι πίσσων οὐκ ἔλαττον. Θέρμοι 11
25 τρόφιμοι, κάστανα, φακὴ, οἱ γλυκεῖς φοίνικες, σταφίδες αἱ γλυ-

3. τῶν ante ἀργ. om. F. — Ch. 11; l. 7. καὶ τ. ἀ. ζ. ἡ σ. καὶ BP. — Ch. 12; l. 14. τε om. BP. — 18. καί ante κωβ. om. Codd. Cf. t. I, p. 208. — 19-20. τροφιμώτατοι οἱ σιλιγνῖται BP. — 20. δὲ καὶ ὁ Codd. Cf. t. I, p. 208.

κεῖαι καὶ λιπαραὶ, βάλανοι, γογγυλὶς ἣν καὶ βουνιάδα καλοῦσιν.
12-13 Βολβοὶ τροφιμώτατοι, καὶ μᾶλλον δίσεφθοι. Μέλι τὸ ἀπαφρισθὲν
ἐπιτήδειον πρός τε ἀνάδοσιν καὶ θρέψιν γίνεται, καὶ μελίκρατον
14 τὸ καλῶς ἑψηθέν. Ἅπας οἶνος ἀνὰ λόγον τρέφει τῆς παχύτητος· οἱ
μὲν οὖν ἐρυθροὶ καὶ παχεῖς πάντων οἴνων εἰσὶν εἰς αἵματος γένεσιν 5
ἐπιτηδειότατοι, ἐφεξῆς δὲ αὐτῶν οἱ μέλανες καὶ παχεῖς καὶ σλύ-
φοντες· τούτων δὲ ἧττον τρέφουσιν οἱ λευκοί τε ἅμα καὶ παχεῖς
15 καὶ αὐσληροί· πάντων δὲ ἧττον οἱ λευκοὶ καὶ λεπτοί. Καὶ πάντα
δὲ τὰ παχύχυμα, εἰ καλῶς πεφθείη καὶ αἱματωθείη, πολύτροφα
γίνεται. 10

ιγ'. Ὅσα ἐλάττονα τροφὴν δίδωσιν.

1 Τὰ ἄκρα τῶν ζῴων, μήτρα, γαστὴρ, ἔντερα, οὐρὰ, ὦτα, πι-
2 μελὴ, σπέαρ. Ἅπαν τὸ γένος τῶν ὀρνίθων ὀλιγοτροφώτερόν ἐστι
3 παραβαλλόμενον τῷ γένει τῶν πεζῶν. Καὶ ἡ τῶν γεγηρακότων
4 ζῴων σὰρξ ὀλιγοτροφωτέρα τῶν ἔτι αὐξανομένων. Τῶν δὲ ἰχθύων
ἡ τροφὴ αἱματώδ ἐστι λεπτοτέρου γεννητική, ὡς μήτε τρέφειν δα- 15
5 ψιλῶς καὶ διαφορεῖσθαι θᾶττον. Τῶν δὲ ὀστρακοδέρμων τὰ μαλα-
6 κόσαρκα, οἷα τὰ ὄστρεα, ὀλιγότροφα. Ἄρτοι κρίθινοι, ὅπως ἂν
σκευασθῶσιν, ὀλιγότροφοι πάντες εἰσὶ, τὰ ἐκ κριθῶν τε ἄλφιτα,
τούτοις τε ὁμοίως ἄρτοι πιτυρίαι, καὶ οἱ ῥυπαροὶ πάντες, καὶ οἱ
πλυτοὶ, ἄμυλον, μᾶζα ἐξ ἀλφίτων κριθῆς, βρόμος, κέγχρος, καὶ 20
μᾶλλον ἔλυμος, ὄρυζα, κύαμοι χλωροὶ, μήκωνος σπέρμα, λίνου
σπέρμα, ὅρμινα, συκάμινα, ὁ τῶν κυνοσβάτων καρπὸς, ἀρκευθίδες,
μύρτα, ἀμύγδαλα, πιστάκια, κοκκύμηλα, περσικὰ, ἀρμενιακὰ,
πραικόκκια, ἐλαῖαι, καὶ μάλιστα αἱ δρυπεπεῖς, λεπτοκάρυα, καὶ
μᾶλλον τὰ βασιλικὰ κάρυα, σηρικὰ, κράνα, προῦμνα, βάτινα, 25

3. καί ante μελίκρατον om. Codd. Cf. t. I, p. 209. — Ch. 13; l. 11. Τὰ ἄκρεα F text.; Τὰ κρέα B text. F marg. P. — 15. λεπτομεροῦς Codd. Cf. t. I, p. 210. — 18. πάντων Codd. Cf. t. I, p. 210. — Ib. τε om. F. — 19. τε om. BF text. P. — Ib. καί post πάντες om. Codd. Cf. t. I, p. 210. — 20. κριθή Codd. Cf. t. I, p. 210. — 21-22. λίνου σπέρμα om. Codd. Cf. t. I, p. 210. — 24. δρυπεταί BP.

μιμαίκυλα, ζίζυφα, διόσπυρα, ἀλικάκκαβα, κάππαρις, καὶ μάλισ-
τα ἡ ταριχευθεῖσα, τῆς τερμίνθου πάντα, κράμβη, τεῦτλα, λάπα-
θον, ὀξυλάπαθον, ἀνδράχνη, σπρύχνον, ῥαφανὶς, γογγυλὶς, νᾶπυ,
κάρδαμον, πύρεθρον, καὶ οἱ ἀσπάραγοι πάντες, σταφυλῖνος, δαῦ-
5 κος, καρώ. Κρόμμυα δὲ καὶ σκόροδα καὶ πράσα καὶ ἀμπελόπρασα 7
ὠμὰ μὲν οὐδὲ ὅλως τροφὴν δίδωσιν, ἑψηθέντα δὲ δὶς ἢ τρὶς ὀλιγί-
στην. Ῥοιαὶ ὀλιγότροφοι· ἄπιοι δὲ, καὶ μάλιστα αἱ μεγάλαι, ἔχουσί 8
τι τρόφιμον. Κολοκύνθη ὀλιγότροφον· σταφίδες αἱ αὐστηραί τε καὶ 9
ἀλιπεῖς. Μέσα δέ πως ἐστὶ τῶν ὀλιγοτρόφων τε καὶ πολυτρόφων 10
10 φάσηλοι, ὦχροι, λάθυροι, ἄρακοι. Καὶ σῦκα οὐχ ὁμοίως ταῖς ἄλλαις 11
ὀπώραις ὀλιγότροφα, σομφώδη δὲ ποιεῖ τὴν σάρκα· ὁμοίως στα-
φυλαί· ἔλαττον δὲ αὗται τῶν σύκων τρέφουσι χαύνῃ καὶ πλαδαρᾷ
σαρκί. Πάντα ὅσα τῶν ἐδεσμάτων φαρμακώδη τινὰ ἔχει ποιότητα 12
σφοδρὰν, ὅταν ἀποθῆται ταύτην ὀπτήσεσιν ἢ ἑψήσεσιν ἢ τέγξε-
15 σιν ὀλίγην τροφὴν δίδωσι τῷ σώματι, πρότερον οὐδὲ ὅλως δι-
δόντα.

ιδ'· Ὅσα εὔχυμα.

Εὐχυμότατόν ἐστι τὸ γάλα σχεδὸν ἁπάντων ὧν προσφερόμεθα· 1
ἄριστον δὲ τὸ τῶν εὐεκτούντων ζῴων, ὅταν ἀμελχθῇ πινόμενον εὐ-
θέως. Ὠὰ τρομητὰ καὶ ῥοφητά· ἀμείνω δὲ τὰ τῶν ἀλεκτορίδων ἐστὶ 2
20 καὶ τὰ τῶν φασιανικῶν, χείρω δὲ τά τε τῶν χηνῶν καὶ τῶν στρου-
θοκαμήλων. Ὄρνιθες καὶ ἰχθύες ὀλίγου δεῖν ἅπαντες εὔχυμοι πλὴν 3
τῶν ἐν ἕλεσι καὶ λίμναις καὶ ποταμοῖς ἰλυώδεσι διαιτωμένων, καὶ
μάλιστα ὅταν ἐκ πόλεως ῥέῃ τὸ ὕδωρ ἐκκαθαῖρον ἀποπάτους τε καὶ
βαλανεῖα, καὶ μαγειρεῖα καὶ τὰ τῶν πλυνόντων τὴν ἐσθῆτα ῥύμ-
25 ματα. Ἀσφαλὲς οὖν ἀεὶ προσφέρεσθαι τῶν ἰχθύων τοὺς ἐκ τῆς 4
ἀμίκτου θαλάσσης ὕδατι γλυκεῖ, οἷοί εἰσιν οἵ τε πελάγιοι καὶ οἱ

3. ὀξυλάπ. om. Codd. Cf. t. I, p. 211. — Ib. ῥάφανος F — Ib. γογγυλίς om. Codd. Cf. t. I, p. 211. — 8. Κολοκύνθαι ὀλιγότροφοι BP. — 9. τε om. BP. — 15. τοῖς σώμασι BP. — Ch. 14; l. 19-21. ἀμ..... στρουθοκαμ. om. Codd. Cf. t. I, p. 212-213. — 24. καὶ μαγ. om. Codd. Cf. t. I, p. 213.

πετραῖοι· καὶ γὰρ εἰς εὐχυμίαν καὶ εἰς ἡδονὴν πολὺ προύχουσι τῶν
5 ἄλλων. Εἰ δέ τι τῶν ἐν ἑκατέροις τοῖς ὕδασι διαιτωμένων εἴη, καθάπερ γε κέφαλοι καὶ ὁ λάβραξ, ὀνίσκος τε καὶ κωβιὸς, σμύραινά τε καὶ καρκίνοι καὶ ἐγχέλυες, ἀναπυνθάνεσθαι μὲν χρὴ πρότερον, ὅθεν εἴη τεθηραμένον, μετὰ δὲ ταῦτα τῇ τε ὀσμῇ καὶ τῇ γεύσει τὴν διάγνωσιν 5
αὐτῶν ποιεῖσθαι· καὶ γὰρ δυσώδεις καὶ ἀηδεῖς καὶ βλεννώδεις εἰσὶν
6 ὅσοι τὴν δίαιταν ἔχουσιν ἐν ὕδατι μοχθηρῷ. Καὶ μέντοι καὶ λίπος αὐτοῖς ὑπάρχει πολὺ πλέον ἢ τοῖς ἄλλοις, καὶ σήπονται ταχέως.
7 Καὶ παρὰ τὰς ἐπιχωρίους δὲ τροφὰς ἀμείνους τε καὶ χείρους ἑαυτῶν οἱ ἰχθύες γίνονται διαγινωσκόμενοι ῥᾳδίως ὀσμῇ τε καὶ γεύσει, 10
καθάπερ αἱ τρίγλαι· μοχθηρόταται γὰρ αὐτῶν αἱ τὴν καρκινάδα σιτούμεναι· τῶν δὲ ἄλλων ἡ σὰρξ σκληροτέρα μὲν, οὐ κακόχυμος
8 δέ. Κίθαρος καὶ ῥόμβος καὶ ἧπατος καὶ βούγλωσσον καὶ ἡ ψῆτα καὶ σαῦρος μέσοι πώς εἰσι τῶν ἀπαλοσάρκων καὶ σκληροσάρκων· ἡ τροφὴ δὲ αὐτῶν καλλίστη τοῖς τε μὴ γυμναζομένοις ἐστὶ, καὶ τοῖς 15
9 ἀσθενέσι καὶ τοῖς ἐκνοσηλευομένοις. Ἡ ψαθυρὰ καὶ μαλακὴ τροφὴ πρὸς ὑγείαν ἐπιτηδειοτάτη ἐστὶν, διότι καὶ εὐχυμοτάτη πασῶν
10 ἐστιν. Αἱ σάρκες τῶν ζῴων, ὅταν καλῶς πεφθῶσιν, αἵματός εἰσιν ἀρίστου γεννητικαὶ, καὶ μάλιστα τῶν εὐχύμων, οἷόν ἐστι τὸ γένος τῶν ὑῶν· κάλλιστον γὰρ δὴ τὸ τούτων κρέας εἰς ἡδονήν τε καὶ πέψιν ἐστὶ, καὶ μάλιστα τὸ τῶν μέσων κατὰ τὴν ἡλικίαν ὑῶν· χεῖρον γὰρ τό τε τοῦ παλαιοτάτου καὶ τὸ τοῦ μετὰ τὴν ἀποκύησιν εὐθέως ἐσθιομένου· ὑγρότατόν τε γὰρ ὑπερβαλλόντως ἐστὶ τὸ τῶν ἀρτιγε-
11 νῶν καὶ φλέγμα γεννᾷ πλεῖστον. Οὔθαρ εὔχυμον, ἧπαρ, τὰ περὶ
12 τὰ χείλη μόρια, πλερὰ καὶ τὰ ἄλλα τὰ ἄκρα. Ἔντερά τε καὶ μήτρα καὶ οὐρὰ τῶν σαρκῶν ἥττον εὔχυμα· οἱ δὲ ἀδένες πεφθέντες καλῶς
13 διδόασιν ὁμοίαν τροφὴν ἐγγὺς τῇ κατὰ σάρκα. Καρδία οὐ κακόχυ-
14 μος. Βελτίους οἱ πόδες τῶν ὑῶν εἰσι τοῦ ῥύγχους καὶ τῶν ὤτων·

1. πολλῷ BP. — 3. ὁ κέφαλος BP. — Ib. τε post ὀν. om. BP. — 5. τεθηραμένα F; τεθηρευμένα BP. Cf. t. I, p. 213. — 17. διότι om. Codd. Cf. t. I, p. 214. — Ib. πασῶν Gal.; πάντων Codd. — 19. οἷαί εἰσι BP. — 20. δὴ om. BP. — 20-21. ἡδ. καὶ εἰς π. BP. — 27-28. Καρδίαν οὐ κακόχυμον ἔγνωμεν BP.

τῶν δὲ ἄλλων ζῴων, κατὰ ὅσον αἱ σάρκες εἰς ἀρετὴν τροφῆς ἀπο-
λείπονται τῶν ὑῶν, κατὰ τοσοῦτον καὶ τῶν ἄκρων ἐν ὑσὶ μορίων
εἰσὶ χείρω τὰ κατὰ ἐκεῖνα τὰ ζῷα. Οἱ ἐγκέφαλοι τῶν πτηνῶν πολὺ 15
βελτίους εἰσὶ τῶν ἐν τοῖς πεζοῖς. Τῶν ἀγρίων ζῴων ἡ σὰρξ εὐχυ- 16
5 μοτέρα τῆς τῶν ἡμέρων ἐστίν. Ἄρτος καθαρὸς καλῶς ἐσκευασμένος 17
εὔχυμος· χόνδρος, πτισάνη καλῶς ἡψημένη, κύαμοι. Κάστανα οὐ 18
κακόχυμα, σῦκα πέπειρα καὶ σταφυλὴ πέπειρος· κρεμασθεῖσα δὲ
ἄμεμπτος. Ἰσχάδες ἀναδοθεῖσαι μὲν ταχέως εὔχυμοι· χρονίσασαι δὲ 19
ἐν γαστρὶ κακόχυμοι γίνονται καὶ φθειρῶν γεννητικαί· μετὰ δὲ
10 καρύων ἐσθιόμεναι κάλλιστον ἔδεσμα· ὅσοι δὲ μετά τινος ἄλλου
τῶν ἐδεσμάτων ἐσθίουσι τὰ σῦκα καὶ τὰς ἰσχάδας οὐ μικρὰ βλά-
πτονται. Θρίδαξ, ὡς ἐν λαχάνοις, αἷμα γεννᾷ, καὶ μετὰ αὐτὴν οἱ 20
ἴντυβοι. Οἱ εὐώδεις οἶνοι εὔχυμοι· τῶν εὐχυμοτάτων δέ ἐστιν ὁ φα- 21
λερῖνος, καὶ μᾶλλον ὁ γλυκύτατος, καὶ ὁ ἀριούσιος, καὶ ὁ κιρρὸς
15 τμωλίτης ὁ γλυκύς.

ιε'. Ὅσα κακόχυμα.

Τῆς κακοχυμίας οὐχ ἓν εἶδός ἐστιν· ἡ μὲν γὰρ ψυχροτέρα τυγ- 1
χάνει, ἡ δὲ θερμοτέρα τε καὶ χολωδεστέρα, ἄλλη δὲ ὑδατωδεστέρα,
καθάπερ ἄλλη μελαγχολικωτέρα. Πάντων δὲ ἀπέχεσθαι τῶν κακο- 2
χύμων ἐδεσμάτων συμβουλεύω, κἂν εὔπεπτα ᾖ· λανθάνει γὰρ ἐν
20 χρόνῳ πλείονι μοχθηρὸς ἐν ταῖς φλεψὶ χυμὸς ἀθροιζόμενος ἐξ αὐ-
τῶν, ὃς ἐπειδὰν ἀφορμῆς ὀλίγης εἰς σῆψιν ἐπιλάβηται, πυρετοὺς
κακοήθεις ἀπεργάζεται. Ἔστι δὲ κακόχυμα τάδε· τῶν προβάτων ἡ 3
σὰρξ, καὶ ἡ τῶν αἰγῶν ὁμοίως μετὰ δριμύτητος· ἡ δὲ τῶν τράγων
χειρίστη, ἐφεξῆς δὲ ἡ τῶν κριῶν, εἶτα ἡ τῶν ταύρων· ἐν ἅπασι δὲ
25 τούτοις τὰ τῶν εὐνουχισθέντων ἀμείνω, τὰ δὲ πρεσβυτικὰ χείριστα.
Τῶν λαγωῶν δὲ ἡ σὰρξ αἵματος μέν ἐστι παχυτέρου γεννητικὴ, 4
βελτίονος δὲ εἰς εὐχυμίαν ἢ κατὰ βοῦν καὶ πρόβατον· κακόχυμος

6. χόνδρος om. A; χίναρ B text. P. — 13. ὁ om. Codd. Cf. t. I, p. 217. — 14. ὁ ante ἀρ. om. Codd. Cf. t. I, p. 217. — Ch. 15; l. 16. ἐστιν om. A. — 21. τινός BP. — 23. καὶ τῶν αἰγ. Codd. Cf. t. I, p. 218. — Ib. ὁμ. om. BP.

5 δὲ οὐδὲν ἧττων τούτων ἐστὶ καὶ ἡ τῶν ἐλάφων. Νεφροὶ κακόχυμοι,
καὶ τῶν ἐπὶ πλέον ηὐξημένων οἱ ὄρχεις πλὴν τῶν ἐν τοῖς ἀλεκτρυό-
6 σιν. Ἐγκέφαλος, νωτιαῖος, καλλωσὸν, σπλήν· ἧττον δὲ ὁ τῶν ὑῶν·
πάντα τὰ σπλάγχνα τῶν ζῴων, ᾠὰ ταγηνιστὰ, τυροὶ παλαιοὶ,
βωλῖται, ἀμανῖται· τῶν γὰρ ἄλλων μυκήτων ἀσφαλέστερον μηδὲ 5
7 ἐσθίειν· τῆλις, φακή. Τίφαι, βρόμος, ὅ τε ἀπὸ τούτων ἄρτος οὐκ
8 εὔχυμος. Ἐρέβινθος οὐκ εὔχυμος· ἡ δὲ ὄλυρα τοσοῦτον πυροῦ χεί-
ρων ἐστὶν ὅσον τίφης καὶ βρόμου κρείττων· μελίνη, κέγχρος, καὶ
9 ὅσα τοιαῦτα οὐκ εὔχυμα. Δράκοντες, κόκκυγες, γαλεώνυμοι, σκορ-
πίοι τε καὶ τράχουροι, τρίγλαι, ὀρφοὶ, γλαῦκοι, ζύγαιναι, γόγ- 10
γροι, φάγροι, καὶ ὅσα ἄλλα τῶν ἐν θαλάττῃ ζῴων κητώδη, πάντα
10 κακόχυμα. Καὶ οἱ ὡραῖοι καρποὶ καλούμενοι πάντες κακόχυμοι·
σῦκα δὲ ἧττον τῶν ἄλλων ὡραίων· αἱ δὲ ἰσχάδες τοῖς πλεονάζουσιν
ἐν αὐταῖς οὐ πάνυ χρηστὸν αἷμα γεννῶσιν· ὅθεν αὐταῖς καὶ τὸ τῶν
11 φθειρῶν ἕπεται πλῆθος. Μῆλα τὰ μήπω πέπειρα, ἄπιοι πρὶν πε- 15
φθῆναι, ὁ τῆς τερμίνθου καρπὸς κακόχυμος, κινάρα, καὶ μᾶλλον
ὅταν σκληροτέρα γένηται, σίκυοι, πέπονες· μηλοπέπονες δὲ ἧττον.
12 Κολοκύνθη τούτων μὲν ἀμείνων ἐστὶν, ἀλλὰ καὶ αὐτὴ διαφθαρεῖσα
13 κατὰ τὴν γαστέρα κακόχυμος ἱκανῶς γίνεται. Τῶν δὲ λαχάνων οὐδὲν
μὲν εὔχυμόν ἐστιν, ἐν μέσῳ δὲ εὐχύμων τε καὶ κακοχύμων θρίδαξ 20
ἐστὶ καὶ ἴντυβοι, καὶ μετὰ ταῦτα μαλάχη, εἶτα ἀτράφαξυς καὶ ἀν-
14 δράχνη καὶ βλίτον καὶ λάπαθον. Αἱ δὲ ῥίζαι τῶν λαχανωδῶν φυτῶν
κακόχυμοι μὲν ὅσαι δριμεῖαι, καθάπερ ἡ τῶν κρομμύων καὶ πράσων
καὶ σκορόδων καὶ ῥαφανίδων καὶ δαύκου· μέσαι δὲ εὐχύμων

1. Νεβροί BP. — 3. ἧττον..... ὑῶν om. BP. — 4. τά ex em.; om. Codd. — Ib. τηγανιστά BP. — 5. δέ BP. — Ib. μυκήτων] βωλιτῶν Codd. Cf. t. I, p. 218. — 7. Ἐρέβινθοι οὐκ εὔχυμοι BP. — 7-8. τοσοῦτον..... κρείττων] ἔλυμος A; χειρίστη BP. — 10-11. ζύγαιναι, γόγγροι, φάγροι om. Codd. Cf. t. I, p. 219. — 15. μή A. — 17. μηλοπέπονες om. A text. BFP; πέπονες A marg. Cf. t. I, p. 220. — Ib. αὕτη A. — 19. ἐστιν A. — 21. καί ante ἴντυβοι om. Codd. Cf. t. I, p. 220. — Ib. καί ante μετά om. A. — 22. λάπαθα F. — 23. ἡ om. Codd. Cf. t. I, p. 220. — Ib. τὸ κρόμμυον A. — 23-24. καὶ τὸ σκόρδον καὶ πράσον A. — 24. καὶ ῥαφ. δὲ καί A. — Ib. δαύκων F 1ª m. BP.

καὶ κακοχύμων αἵ τε τῶν ἄρων εἰσὶ καὶ τῶν γογγυλίδων ἃς βουνιάδας ὀνομάζουσι, καὶ τῆς καλουμένης καροῦς. Ὥκιμον κακοχυμότατον· γογγυλὶς ἡ ὠμοτέρα, κράμβη, βολβοὶ μὴ καλῶς ἑψηθέντες. Κρόμμυα δὲ καὶ σκόροδα καὶ πράσα καὶ ἀμπελόπρασα δίσεφθα γενόμενα τὴν κακοχυμίαν ἀποτίθεται. Κακόχυμα δέ ἐστι πάντα ἐσχάτως ἃ καλοῦσιν ἄγρια λάχανα, θριδακίνη, χονδρίλη, σκάνδιξ, γιγγίδιον, σέρις, κιχώριον. Οἴνων οἱ παχεῖς ἅμα καὶ δυσώδεις καὶ ἀηδεῖς καὶ αὐστηροὶ, οἷός ἐστιν ὁ φαῦλος βιθυνὸς ὁ ἐν τοῖς μεγάλοις κεραμίοις· ὁ γὰρ ἐν τοῖς μικροῖς οὔτε εὔχυμός ἐστιν, οὔτε κακόχυμος, ἀλλὰ μέσος.

ις'. Ὅσα εὔπεπτα.

Ἄρτοι οἱ καλῶς σκευασθέντες, ἰχθύων οἱ πετραῖοι πάντες, κωβιὸς, νάρκη, τρυγών. Παντὸς τοῦ γένους τῶν πτηνῶν ὀρνίθων ἡ σὰρξ παραβαλλομένη τῷ γένει τῶν πεζῶν εὐπεπτοτέρα τυγχάνει, καὶ μάλιστα πέρδικος, ἀτταγῆνός τε καὶ περιστερᾶς, ἀλεκτορίδος τε καὶ ἀλεκτρυόνος καὶ φασιανικῶν. Τὰ πτερὰ τῶν χηνῶν εὔπεπτα, καὶ μᾶλλον τὰ τῶν ἀλεκτορίδων, καὶ καθόλου κάλλιστα μὲν τὰ τῶν εὐτραφῶν τε καὶ νέων πτερὰ, χείριστα δὲ τὰ τῶν ἰσχνῶν καὶ γεγηρακότων. Τῶν σιτευθέντων διὰ ὀροῦ γάλακτος χηνῶν τὸ ἧπαρ, καὶ τῶν ὁμοίως τραφέντων ἀλεκτρυόνων οἱ ὄρχεις εὐπεπτότατοι. Τὰ κρέα τῶν ὑῶν εἰς πέψιν ἐπιτηδειότερα, τοῖς μὲν ἀκμάζουσι καὶ διαπονουμένοις τὰ τῶν ἀκμαζόντων, τοῖς δὲ ἄλλοις τὰ τῶν ἔτι αὐξανομένων· τῶν δὲ τελείων βοῶν οἱ μόσχοι βελτίους εἰσὶν εἰς πέψιν, καὶ οἱ ἔριφοι τῶν αἰγῶν. Πάντων τῶν ἔτι αὐξανομένων ἡ

1. τε καί A. — Ib. καὶ αἱ τῶν BP. — 2-3. κακόχυμον A. — 4. τε BFP. — 5-6. δὲ πάντα καὶ τὰ ἄγρια A. — 7. Οἶνοι BP. — 7-8. καὶ ἀηδεῖς om. BP. — Ch. 16; l. 11. οἱ om. Codd. Cf. t. I, p. 221. — Ib. οἱ πετραῖοι τῶν ἰχθύων BP. — Ib. πάντες om. A. — 12. τοῦ ex em.; om. Codd. — 16. καί ante καθόλου om. Codd. Cf. t. I, p. 222. — 20. κρέα] ἄκρα Codd. Cf. t. I, p. 222. — Ib. ἐπιτηδειότατα BP. — 20-22. Τοῖς... αὐξανομένων om. Codd. Cf. t. I, p. 222. — 23. καί ante οἱ om. Codd. Cf. t. I, p. 222.

σὰρξ εὐπεπτοτέρα τῆς τῶν παρακμαζόντων ἐστὶ, καὶ τῶν ἐν ξηροῖς
7 τόποις διαιτωμένων εὐπεπτοτέρα τῆς τῶν ἄλλων. Τὸ βασιλικὸν
8 κάρυον πέτεται μᾶλλον τοῦ λεπτοκαρύου. Βολβοὶ πεφθῆναι ῥᾴους
9 οἱ δίσεφθοι. Ὠὰ τρομητὰ καὶ ῥοφητὰ, θρίδακες, ἴντυβοι, μαλάχη,
10 κολοκύνθη ἑφθὴ, ὅταν μὴ διαφθαρῇ. Οἱ γλυκεῖς οἶνοι τῶν αὐστηρῶν 5
11 πέτονται μᾶλλον. Ἄμεινον δὲ εἰς τὴν πέψιν ἰστέον εἶναι τῶν ἐξίσης ὑγιεινῶν τὸ ἥδιον.

ιζ'. Ὅσα δύσπεπτα.

1 Αἴγεια κρέα, βόεια, ἐλάφεια· χειρίστη δὲ τῶν τράγων ἡ σὰρξ πρὸς πέψιν, ἐφεξῆς δὲ ἡ τῶν κριῶν, εἶτα ἡ τῶν ταύρων· καὶ τὰ πρεσβυτικὰ δὲ τῶν ζῴων χείριστα, καὶ τῶν ὑῶν αὐτῶν οἱ γηρά- 10
2 σαντες. Γαστὴρ δύσπεπτος, ἔντερα, μήτρα, καλλωσὸν, καρδία, ἧπαρ, ὦτα, οὐρὰ, νεφροὶ, σπλάγχνα πάντα, ἐγκέφαλος, νωτιαῖος, καὶ οἱ τῶν τελείων ζῴων ὄρχεις, ἅπαν αἷμα, χῆνες πλὴν τῶν πτε-
3 ρῶν. Φατνῶν, κιχλῶν, κοτυφῶν καὶ τῶν μικρῶν στρουθίων σκληροτέρα ἡ σάρξ ἐστι, καὶ ἔτι μᾶλλον τρυγόνος καὶ νήττης, καὶ πλέον 15
4 ἡ τοῦ ταῶνος καὶ ἡ τῶν ὠτίδων. Αἱ κοιλίαι πᾶσαι τῶν πτηνῶν δύσπεπτοι· ψευδῶς γὰρ ἐπαινοῦσιν ἔνιοι τὴν τῆς στρουθοκαμήλου καὶ αἰθυίας ὥς τι φάρμακον πεπτικόν· οὔτε αὐταὶ γὰρ πέτονται
5 ῥᾳδίως, οὔτε ἄλλων σιτίων πεπτικόν εἰσι φάρμακον. Κοχλίαι δύσπεπτοι, ὀξύγαλα, καὶ μάλιστα τοῖς ψυχρὰν ἔχουσι τὴν κοιλίαν· 20 τυρὸς παλαιός· ὁ δὲ νέος, καὶ μάλιστα ὁ ὀξυγαλάκτινος, καλλίων.
6 Πορφυρῶν ἡ σὰρξ καὶ κηρύκων, καὶ τῶν ἄλλων ὀστρακοδέρμων τὰ
7 σκληρὰν ἔχοντα τὴν σάρκα, δύσπεπτα. Ἀστακοὶ, πάγουροι, καρκίνοι, κάραβοι, καρῖδες, καὶ παντὰ τὰ τοιαῦτα, πολύποδες, σηπίαι, τευθίδες, καὶ πάντα τὰ καλούμενα μαλακόδερμα, βάτοι, λειόβατοι, 25

4. καὶ μαλάχη BP. — Cu. 17; l. 8. κρέα om. Codd. Cf. t. I, p. 223. — 9. δὲ κριῶν Codd. Cf. t. I, p. 223. — Ib. ἡ ταύρων Codd. Cf. t. I, p. 223. — 10-11. γεγηρακότες BP. — 12. οὐραὶ Codd. Cf. t. I, p. 223. — 20-21. ὀξύγαλα..... νέος καὶ μάλιστα om. BP. 20. μᾶλλον A. — 22. καὶ τῶν ἄλλων om. A. — 22-23. τὴν σκληρὰν ἔχοντα σάρκα ὀστρακοδέρμων A.

ῥῖναι, δράκοντες, κόκκυγες, γαλεώνυμοι, σκορπίοι, τράχουροι, τρίγλαι, ὀρφοὶ, γλαῦκοι, ζύγαιναι, σάλπαι, γόγγροι, φάγροι, λαμίαι, ἀετοὶ, ᾠὰ ὁπλὰ, ἐφθὰ, ταγηνισλὰ, πυροὶ ἑφθοὶ, ὁ καλούμενος τράγος. Τὸ κρίμνον δυσπεπλότερον ἀλφίτου. Τίφαι, βρόμος 8-9
καὶ οἱ ἐξ αὐτῶν ἄρτοι, κύαμοι, ὦχροι, δόλιχοι, φάσηλοι, λάθυροι, ἄρακοι, ἐρέβινθοι, ὄρυζα, θέρμοι, μελίνη, κέγχρος, καὶ ὅσα τοιαῦτα, ἀφάκη, βίκος, σήσαμον, ἐρύσιμον, κάσλανα, βάλανοι, μῆλα καὶ ἄπιοι, καὶ σῦκα πρὶν πεπανθῆναι, σλαφυλαὶ ὀξεῖαι καὶ αὐσληραὶ, φοίνικες πάντες, κεράτια, κίτριον· εἰ δὲ ὡς φαρμάκῳ τις χρῷτο, τὸ ἔξωθεν αὐτοῦ συντελέσει πρὸς πέψιν, ὥσπερ καὶ ἄλλα πολλὰ τῶν δριμέων. Ὤκιμον, γογγυλὶς ἡ ὠμοτέρα, βολβοὶ 10
ὠμότεροι, σλαφυλῖνος, δαῦκος, καρὼ, καὶ πᾶσαι αἱ ῥίζαι τῶν λαχάνων, καὶ αὐτὰ τὰ λάχανα πάντα πλὴν θρίδακος καὶ ἰντύβου. Οἴνων οἱ παχεῖς καὶ νέοι δύσπεπλοι. Δύσπεπλον δὲ καὶ 11-12
ὕδωρ πᾶν.

ιη'. Ὅσα εὐσλόμαχα.

Φοίνικες οἱ αὐσληροὶ, μῆλα κυδώνια, ἐλαῖαι ἁλμάδες· ἐπιτη- 1
δειότεραι δὲ αἱ μετὰ ὄξους συντιθέμεναι· σλαφίδες αὐσληραὶ, ἡ ἐν τοῖς σλεμφύλοις ἀποτιθεμένη σλαφυλὴ, τὸ βασιλικὸν κάρυον τοῦ λεπλοκαρύου μᾶλλον, καὶ πολὺ πλέον σὺν ἰσχάσιν. Τὰ ἀκανθώδη 2
πάντα μετρίως ἐσλὶν εὐσλόμαχα, τουτέσλι σκόλυμος, ἀτρακτυλὶς, λευκάκανθα, δίψακος, κνῆκος, τραγάκανθα, ἀτραγὶς, ἥ τε τιμωμένη μειζόνως ἢ προσήκει κινάρα· σισάρου ῥίζα ἑφθή. Τὸ γιγγί- 3
διον παραπλήσιόν ἐσλι τῷ σκάνδικι· πάνυ δέ ἐσλιν εὐσλόμαχον, καὶ ὠμὸν καὶ ἑφθὸν ἐσθιόμενον· μακροτέρας δὲ ἑψήσεως οὐκ ἀνέχεται. Νᾶπυ, ῥάφανος, γογγυλὶς, κάρδαμον, πύρεθρον, καὶ ὁ βα- 4

3. ἄμειαι Codd. Cf. t. I, p. 225. — 5. ὁ A. — Ib. ἀπό F. — Ib. αὐτοῦ ἄρτος A. — 7. ἀφάκη Gal.; φακός Codd. — 13. ἅπαντα BFP. — Ch. 18; l. 17. δέ om. Codd. Cf. t. I, p. 226. — 21. λευκάκανθα om. ABP. — Ib. δίψακος .....ἀτραγὶς om. BP. — Ib. ἀτρακὶς A; ἀτρακτυλὶς F. Cf. t. I, p. 227. — 21-22. ἡ τετιμημένη Codd. Cf. t. I, p. 227.

σιλικὸς ἀσπάραγος καὶ ὁ ἔλειος, καὶ ὁ τῆς ὀξυμυρσίνης καὶ χαμαι-
5 δάφνης, ὀξυακάνθης τε καὶ βρυωνίας. Βολβοὶ εἰς ὄρεξιν ἐπεγείρουσιν·
6 κάππαρις ταριχευθεῖσα. Κιτρίου τὸ ἐκτὸς ῥώννυσιν ἐν φαρμάκου
7 μοίρᾳ λαμβανόμενον. Καὶ ὁ αὐστηρὸς οἶνος ῥώννυσι στόμα γαστρὸς
8 καὶ κοιλίαν μάλιστα κατὰ δυσκρασίαν θερμὴν πεπονθυῖαν. Ὡς δὲ 5
ἐν φαρμάκοις, ἀψίνθιον, ἀλόη.

ιθ'. Ὅσα κακοστόμαχα.

1 Ἀρκευθίδες δάκνουσι τὸν στόμαχον, κεδρίδες δὲ μᾶλλον· μιμαί-
2 κυλον, ἀμάραντον, ἄγνου σπέρμα. Τεῦτλα κακοστόμαχα, ὡς καὶ
3 δηγμὸν ἐμποιεῖν ὅταν πλείονα βρωθῇ· λάπαθον ὁμοίως. Ὄκιμον,
γογγυλὶς ἡ ὠμοτέρα· βλίτον, ἀτράφαξυς, εἰ μὴ μετὰ ὄξους καὶ 10
4 γάρου καὶ ἐλαίου προσφέροιντο. Τῆλις ἀνατρέπει, καὶ σήσαμον
5 ὁμοίως. Γάλα τοῖς μὲν ψυχρὰν ἔχουσι τὴν κοιλίαν ὀξύνεται, τοῖς
δὲ θερμὴν κνισοῦται· εἰκότως οὖν βλαβερόν ἐστι καὶ τοῖς πυρέτ-
6 τουσιν. Εἴ τις τοῦ μέλιτος πλεῖον προσενέγκοιτο, πρὸς ἔμετον
7 ὁρμᾷ. Πέπων μὴ καλῶς πεφθεὶς χολερικοὺς ἀποτελεῖν εἴωθεν· καὶ 15
γὰρ καὶ πρὶν διαφθαρῆναι εἰς ἔμετον ἐπιτήδειός ἐστι, καὶ πλείων
βρωθεὶς, ἐὰν μή τις αὐτῷ τι τῶν εὐχύμων ἐδεσμάτων ἐπιφάγῃ,
8 κινήσει πάντως ἔμετον· καὶ μηλοπέπων, [ἀλλὰ οὐχ] ὁμοίως. Ἐγκέ-
φαλος πᾶς κακοστόμαχος καὶ ναυτιώδης, ὥσπερ καὶ ὁ τῶν ὀστῶν
9 μυελός. Οἶνος μέλας καὶ αὐστηρὸς ῥᾳδίως ἀποξύνεται καὶ εἰς ἔμετον 20
10 ὁρμᾷ, καὶ ὁ παχὺς καὶ νέος. Ὡς δὲ ἐν φαρμάκοις, ἀβρότονον, σέρι-
φον, ἀφρόνιτρον.

κ'. Ὅσα κεφαλὴν βλάπτει.

1 Συκάμινα, βάτινα κεφαλαλγῆ, μιμαίκυλα, ἀρκευθίδες, κεδρίδες,

1. ὁ τῆς Gal. Aët.; om. Codd. — 1b. ὀξυμύρσινος (ον BP) Codd. — 4. Καί om. BFP. — 1b. μάλιστα ῥώννυσι A. 4-5. στόμα γαστρὸς καί] καὶ στόμαχον A, idque post. κοιλίαν. — 5. μάλιστα κατὰ δυσκρασίαν θερμὴν πεπονθυῖαν om. A. — 6. καὶ ἀλόην A. — CH. 19; l. 7. κεδρίαι μᾶλλον Codd. Cf. t. I, p. 228. — 9. προσφέροιτο BFP. Cf. t. I, p. 228. — 14. πλεῖον Gal. Aët.; πλείονος F; om. BP. — 18. [ἀλλὰ οὐχ] om. Codd. Cf. t. I, p. 229.

καννάβεως σπέρμα, μήου αἱ ῥίζαι, φοίνικες πάντες, εὔζωμον, τῆλις, λίνου σπέρμα. Ὁ κιρρὸς καὶ αὐσληρὸς οἶνος κεφαλαλγὴς καὶ γνώμης ἅπλεται μᾶλλον τοῦ μέλανος καὶ αὐσληροῦ, καὶ οἱ εὐώδεις κεφαλαλγεῖς· ὁ δὲ ὑδατώδης οὔτε κεφαλαλγὴς, οὔτε τῶν νεύρων ἅπλεται· ὁ δὲ ὀλιγοφόρος καὶ παύει τὰς κεφαλαλγίας τὰς γινομένας διὰ χυμοὺς τοὺς ἐν γασλρί. Γάλα οὐκ ἐπιτήδειον κεφαλῇ, εἰ μή τις ἰσχυρὰν ἔχοι πάνυ. Τὸ ἀπόβρεγμα τῶν σλεμφύλων ὃ καλοῦσι τρύγα, κεφαλαλγὲς, καὶ ἡ ἐν τοῖς σλεμφύλοις ἀποτιθεμένη σλαφυλή.

κα'. Ὅσα ἄφυσα.

Πίσσοι, φασήολοι, κύμινον, λιγυσλικοῦ ἡ ῥίζα καὶ τὸ σπέρμα, ἄγνου σπέρμα. Καννάβεως ὁ καρπὸς καὶ ἐπὶ φυσωδῶν ἄφυσος. Κύαμοι ἑψηθέντες καὶ φρυγέντες, βολβοὶ οἱ ἐπὶ πλέον ἢ καὶ δὶς ἑψηθέντες ἐν ἐλαίῳ καὶ γάρῳ μετὰ ὄξους ἐσθιόμενοι, μέλι τὸ ἀπαφρισθέν. Ὀξύμελι δὲ καὶ φύσας καταῤῥήγνυσιν. Ἄρτοι κρίθινοι, ὅπως ἂν σκευασθῶσιν, ἥκισλα φυσώδεις εἰσίν. Μέσοι δὲ ὑπάρχουσι τῶν ἀφύσων καὶ φυσωδῶν οἱ φάσηλοι, ὦχροι, λάθυροι, ἄρακοι.

κβ'. Ὅσα φυσώδη.

Κύαμοι, λάθυροι, φακὸς, τυρὸς, ἐρέβινθοι, θέρμοι, φάσηλοι, ὦχροι, μελίνη, κέγχρος, καὶ ὅσα τοιαῦτα. Κυάμων δὲ τοῦ ἔτνους φυσώδους ὄντος, ἔτι μᾶλλον ὅτε ὁλοκλήρους τις αὐτοὺς ἢ ὁπωσοῦν ἄλλως ἑψήσας χρῷτο, φυσώδεις γίνονται. Μᾶζα ἐξ ἀλφίτων φυσώδης· φυραθεῖσα δὲ καὶ τριφθεῖσα μέχρι πλείονος διαχωρεῖ μᾶλλον κάτω, καὶ μάλισλα μέλιτος προσλαβοῦσα. Ζῦθος, ὁποὶ πάντες, καὶ μᾶλλον ὁ κυρηναϊκὸς, σατύριον, σιλφίου ὀπὸς καὶ ἡ ῥίζα. Σύκων ὀλιγοχρόνιος ἡ φῦσα γίνεται διὰ τὸ ὑπέρχεσθαι ῥᾳδίως· τὰ δὲ

4. δέ om. Codd. Cf. t. I, p. 230. — 5-6. ὁ δὲ ὀλιγοφόρος .....γασλρί om. BP. — Ch. 21; l. 10. Π. φασ.] His verbis insequens cap. inchoant Codd. Cf. t. I, p. 230. — 11. ἐπί e conj.; ἀπό Codd. — 12. ἡ φρ. BP. — 15. δέ om. F. — Ch. 22; l. 20. φυσώδεις γίνονται om. Codd. Cf. t. I, p. 231.

ἀκριβῶς πέπειρα ἐγγύς ἐστι τοῦ μηδὲ ὅλως βλάπτειν ὁμοίως ταῖς
6 ἰσχάσιν. Οἱ χλωροὶ φοίνικες φυσώδεις εἰσὶν ὥσπερ τὰ σῦκα· γογ-
7-8 γυλὶς ἡ ὠμοτέρα. Γάλα ῥᾳδίως ἐν τῇ γαστρὶ πνευματοῦται. Βολβοὶ
9 ὠμότεροι, μέλι τὸ μὴ τελέως ἑψηθέν. Οἱ γλυκεῖς οἶνοι φῦσαν βρα-
δύπορον γεννῶσιν· οἱ δὲ γλυκεῖς ἅμα καὶ αὐστηροὶ, οὔτε ἀναδιδό- 5
μενοι, οὔτε ὑπερχόμενοι, ἀλλὰ ἐπιπλέοντες ἐν τῇ ἄνω γαστρὶ πνευ-
10 ματοῦσι ταύτην. Γλεῦκος φυσῶδές ἐστιν.

κγ'. Ὅσα ῥύπτει, τέμνει, ἐκφράττει.

1 Πτισάνη ῥύπτει· τῆλις, μηλοπέπων, πέπων, σταφίδες αἱ γλυ-
κεῖαι, κύαμοι, ἐρέβινθοι, καὶ μᾶλλον οἱ μέλανες, οἳ καὶ τοὺς ἐν νε-
2 φροῖς λίθους θρύπτουσιν ἐναργῶς. Κάππαρις λεπτομερὴς ἱκανῶς 10
ἐστιν· ἡ γοῦν ταριχευθεῖσα ἀπορρύπτει τε καὶ ὑπάγει τὰ κατὰ τὴν
γαστέρα φλέγματα, καὶ τὰς κατὰ σπλῆνα καὶ ἧπαρ ἐμφράξεις καθαί-
ρει, χρῆσθαι δὲ εἰς ταῦτα προσῆκεν αὐτῇ διὰ ὀξυμέλιτος ἢ ὀξελαίου
3 πρὸ τῶν ἄλλων ἁπάντων σιτίων. Ὁ ἐν τοῖς τεύτλοις χυλὸς ῥυπτι-
κός ἐστι καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις λύει, καὶ μᾶλλον μετὰ 15
4 νάπυος ἢ ὄξους ὅταν ἐσθίηται· ὁμοίως λάπαθον. Ἀκαλήφη λεπτο-
5 μερῆ δύναμιν ἔχει. Ἄρου καὶ ἀσφοδέλου ῥίζα καὶ βολβοὶ δύναμιν
ἔχουσι λεπτυντικήν τε καὶ ἐκφρακτικήν· διὸ καὶ τὸν ἀσπάραγον
τοῦ ἀσφοδέλου τοῖς ἰκτεριῶσι διδόασί τινες ὡς μέγιστον ἴαμα.
6 Κρόμμυα, σκόροδα καὶ πράσα καὶ ἀμπελόπρασα λεπτύνει καὶ τέμνει 20
τοὺς ἐν σώματι παχεῖς καὶ γλίσχρους χυμούς· ἑψηθέντα μέντοι δὶς
7 ἢ τρὶς ἀποτίθεται τὴν δριμύτητα, λεπτύνει δὲ ὅμως ἔτι. Τὸ ὀρῶδες
8 τοῦ γάλακτος λεπτύνει πάχος χυμῶν. Σῦκα ῥύπτει· διὸ καὶ ψαμ-
μώδη πολλὰ τοῖς νεφριτικοῖς ἐπὶ ταῖς ἐδωδαῖς αὐτῶν ἐκκρίνεται.
9 Ἰσχάδες λεπτύνουσι καὶ τέμνουσιν, ὅθεν καὶ νεφροὺς ἐκκαθαίρουσιν. 25
10 Ἀρκευθίδες ἐκκαθαίρουσι τὰ κατὰ ἧπαρ καὶ νεφροὺς καὶ λεπτύνουσι

CH. 23; l. 11. ῥύπτει A. — 14. χυμός Codd. — 16-17. Ἀκαλ... Ἄρ. καί] ὀρρὸς γάλακτος A. — 18. ἔχ. ῥηπτικὴν λεπτ. BP. — Ib. τε om. BP. — 19. τοῦ ἀσφ. τοῖς om. A. — Ib. διδ. τινες om. BP. — 20. λεπτ. δὲ καί A. — 21. ἐν τῷ σώμ. χ. τοὺς π. καὶ γλ. A. — 22-23. Τὸ ὀρ. τοῦ om. A.

τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. Ἀμύγδαλα ῥύπτει καὶ λεπτύνει, 11
ἐκκαθαίρει τε τὰ σπλάγχνα, καὶ τὰς ἐκ θώρακος καὶ πνεύμονος
ἀναπτύσεις τῶν ὑγρῶν ἐργάζεται. Πιστάκια χρήσιμα εἰς εὐρωστίαν 12
ἥπατος καὶ κάθαρσιν τῶν ἐμπεφραγμένων κατὰ τὰς διεξόδους αὐτοῦ
5 χυμῶν. Ῥαφανὶς λεπτομεροῦς ἐστι δυνάμεως. Μέλι λεπτομερέστατόν 13-14
ἐστι τὸ γενόμενον ἐκ θερμῶν καὶ ξηρῶν φυτῶν· διὸ καὶ τὸ μελίκρατον ἐπιτήδειόν ἐστι πρὸς τὴν τῶν πτυάλων ἀναγωγήν. Ὀξύμελι 15
τὰ μὴ παντάπασι γλίσχρα καὶ παχέα ῥᾳδίως ἀνάγει, καὶ τὰ σπλάγχνα δὲ ἀλύπως διακαθαίρει· πάνυ δὲ ὠφελεῖ καὶ τὰ κατὰ θώρακα
10 καὶ πνεύμονα πάθη. Τοῖς παχὺν ἠθροικόσι χυμὸν οἱ λεπτότατοι τῶν 16
οἴνων χρήσιμοι· ἐὰν δὲ καὶ ψυχροὶ τυγχάνωσιν οἱ χυμοὶ, οἱ λεπτοὶ καὶ παλαιοὶ μετὰ δριμύτητος· ὁ δὲ ὑδατώδης οἶνος ἐπιτήδειός ἐστιν εἰς τὴν τῶν ἐκ πνεύμονος ἀναγωγὴν, ῥωννὺς καὶ τοὺς χυμοὺς ὑγραίνων καὶ τέμνων μετρίως· καὶ ὁ γλυκὺς δὲ οἶνος ἐν τοῖς ὀξέσι νοσή-
15 μασιν εἰς ἀνάπτυσιν ἐπιτήδειος ἤδη πεπεμμένης τῆς περιπνευμονίας καὶ πλευρίτιδος.

κδ'. Ὅσα ἐμφράττει.

Γαλὰ τὸ μὲν ὀροῦ πλεῖστον ἔχον ἀκινδυνότατόν ἐστι, κἂν διὰ 1
παντὸς αὐτῷ τις χρῆται· τὸ δὲ ὀλίγον μὲν ἔχον τούτου, πολὺ δὲ τοῦ τυρώδους, οὐκ ἀσφαλές ἐστι τοῖς ἐν αὐτῷ πλεονάζουσιν· βλάπτει
20 μὲν γὰρ καὶ νεφροὺς ὅσοι γε ἐπιτηδείως ἔχουσιν εἰς λίθων γένεσιν, ἐμφράξεις δὲ καὶ κατὰ ἧπαρ ἐργάζεται τοῖς ἑτοίμως παθεῖν δυναμένοις. Ἰσχάδες ἥπατι καὶ σπληνὶ φλεγμαίνουσι βλαβεραὶ καθάπερ τὰ σῦκα, οὐ κατὰ ἰδίαν τινὰ δύναμιν ἐξαίρετον, ἀλλὰ τῷ κοινῷ λόγῳ πάντων τῶν γλυκέων· πάντα γὰρ τὰ γλυκέα βλάπτει σπλῆνα
25 καὶ ἧπαρ· ἐμπεφραγμένοις δὲ καὶ σκιρρουμένοις αὐταὶ μὲν κατὰ ἑαυτὰς οὐδὲν, οὔτε εἰς ὠφέλειαν, οὔτε εἰς βλάβην ἐργάζονται μέγα·

2. καθαίρει BFP. — Ib. τε om. Codd. Cf. t. I, p. 234. — 5. λεπτομερέστερον BP; λεπτομερές A. — 7. πτυέλων ABP. — 8. πάνυ BP. — 11. ὧσιν A. — 12. ἐστίν om. BFP. — 13. καί post ῥ. om. F. — 14. δέ om. BFP. — 16. τε καί A. — Ch. 24; l. 18. χρῷτο Codd. Cf. t. I, p. 235-236. — 19. τὸ τυρῶδες BP. — 20. ἐπιτηδείους ἐκ λίθ. γ. BP. — 25. τε BFP. — 25-26. αὐτὰ μ. κ. ἑαυτά A.

μιγνύμεναι δὲ τοῖς τέμνουσι καὶ ῥύπτουσι φαρμάκοις οὐ μικρὸν
3 ὄφελός εἰσιν. Τὸ μελίκρατον ἀνεπιτήδειον οἷς εἰς ὄγκον ἤρθη τὰ
σπλάχνα σκιῤῥούμενα καὶ οἰδισκόμενα καὶ φλεγμαίνοντα, ταχέως
4 τοῦ μέλιτος εἰς χολώδη χυμὸν μεταβάλλεσθαι πεφυκότος. Μήκωνος
5 σπέρμα ἐπισχετικόν ἐστι τῶν ἐκ τοῦ θώρακος. Οἱ λιπαροὶ φοίνι- 5
6 κες καὶ γλυκεῖς ἐμφρακτικοὶ, καὶ μᾶλλον οἱ χλωροί. Πάντα δὲ ὅσα
διὰ ἰτρίων καὶ σεμιδάλεως σκευάζεται ἐμφρακτικὰ καὶ σπληνὸς αὐ-
ξητικὰ καὶ λίθων ἐν νεφροῖς ποιητικά· ὁμοίως καὶ ἄλευρον πυροῦ
7 μετὰ γάλακτος. Καὶ χόνδρος δὲ ἀνεπιτήδειος τοῖς τε τὸ ἧπαρ εὐ-
ἐμφρακτον ἔχουσι, καὶ τοῖς τοὺς νεφροὺς πρὸς λίθων γένεσιν ἐπι- 10
8 τηδείοις. Οἶνος ὁ γλυκὺς ἐμφράττει καὶ τοὺς ὄγκους τῶν σπλάγχνων
αὐξάνει.

κε'. Ὅσα βραδύπορα.

1 Πάντα ὅσα διὰ ἰτρίων καὶ σεμιδάλεως σκευάζεται βραδύπορα·
κύαμοι φρυγέντες, οἱ καθαροὶ τῶν ἄρτων, φακὴ τοῦ λέπους ἀφῃρη-
μένη, ἐγκέφαλος, νωτιαῖος, ἧπαρ, καρδία, πυρίεφθος, ᾠὰ ἑφθὰ, 15
καὶ μᾶλλον ὀπτὰ, καὶ ἔτι μᾶλλον ταγηνιστὰ, θέρμοι, φάσηλοι,
πίσσοι, σήσαμον, ἐρύσιμον, βάλανοι, μῆλα καὶ ἄπιοι αἱ μηδέπω
πέπειροι, κεράτια, οἶνος γλυκὺς, καὶ μᾶλλον ὁ αὐστηρὸς καὶ μέλας
2 ἄνευ γλυκύτητος, καὶ ὁ παχὺς καὶ νέος πᾶς. Καὶ ὕδωρ πᾶν βρα-
δύπορόν ἐστιν. 20

κς'. Ὅσα εὐφθαρτά ἐστιν.

1-2 Περσικὰ, ἀρμένια καὶ πραικόκκια. Καὶ πᾶσι δὲ τοῖς ὡραίοις
ἐδέσμασιν ὅσα καὶ ταῖς κράσεσιν ὑγρά ἐστι, συμβέβηκε φθείρεσθαι
κατὰ γαστέρα, ὅταν μὴ φθάσῃ ταχέως ὑπελθεῖν· διόπερ προεσθίειν
αὐτὰ χρὴ τῶν ἄλλων· οὕτω γὰρ αὐτά τε ταχέως ὑπέρχεται καὶ

1. μιγνύμενα A. — 5. τοῦ om. BP. — 9. τε] γε Codd. Cf. t. I, p. 237. — 10-11. ἐπιτηδείοις Gal.; ἐπιτηδείους Codd. — Ch. 25; l. 16. τηγαν. BP. — 17. αἱ ex em.; οἱ AF; εἰ BP. — Ib. μήπω BP; μή A. — Ch. 26; l. 21-22. πάντα τὰ ὡραῖα καὶ κράσεως ὄντα ὑγρᾶς A. — 23. διό A. — 24. τε om. Codd.

τοῖς ἄλλοις ϖοδηγεῖ· τὰ δὲ ὕσϖατα βρωθέντα συνδιαφθείρει καὶ τὰ ἄλλα.

κζ'. Ὅσα δύσφθαρτα.

Τὰ μικρὰ χημία, ϖορφύραι, κήρυκες, ὅσα τε ἄλλα τῶν ὀσϖρα- 1
κοδέρμων σκληρὰν ἔχει τὴν σάρκα δίδομεν τοῖς διαφθείρουσι τὴν
5 τροφὴν ὑπὸ κακοχυμίας ἕψοντες δὶς καὶ τρὶς ἐν ὕδατι καλλίσϖῳ, με-
τατιθέντες εἰς τὸ καθαρὸν ὅταν ἤδη τὸ ϖρότερον ἁλμυρὸν φαίνηται.
Καὶ ἀσϖακοὶ καὶ ϖάγουροι, καρκίνοι τε καὶ κάραβοι καὶ καρῖδες, 2
ὅσα τε ἄλλα τοιαῦτα, δύσφθαρτον ἔχει τὴν σάρκα ϖαραπλησίως
τοῖς σκληροσάρκοις τῶν ὀσϖρακοδέρμων.

κη'. Ὅσα ἐν σιτίοις ὑπάγει γασϖέρα.

10 Φακὴ καὶ κράμβη, καὶ τῶν θαλατϖίων σχεδὸν ἅπαντα τὰ ὀσϖρα- 1
κόδερμα καλούμενα σύνθετον ἔχει τὴν φύσιν ἐξ ἐναντίων δυνάμεων·
αὐτὸ μὲν γὰρ τὸ σϖερεὸν ἑκάσϖου σῶμα βραδύπορόν ἐσϖι καὶ σϖαλ-
τικὸν τῆς γασϖρὸς, ἡ δὲ ὑγρότης ἐρεθίζει ϖρὸς ἔκκρισιν. Εἴ τις 2
οὖν καθεψήσας φακὴν ἢ κράμβην, ἤ τι τῶν θαλασσίων ζῴων ὧν
15 εἶπον, εἶτα ἡδύνας τὸ ἀφέψημα διὰ ἐλαίου καὶ γάρου καὶ ϖεπέρεως,
ἔπειτα δοίη ϖιεῖν ὅτῳ βούλεται, θεάσεται διαχωροῦσαν ἐπὶ τῷ ϖόμα-
τι τὴν κοιλίαν. Καὶ τῶν θαλατϖίων οὖν ἐχίνων καὶ τῶν κογχα- 3
ρίων ϖάντων οἱ ζωμοὶ καὶ τῶν ϖαλαιῶν ἀλεκτρυόνων ὑπάγουσιν.
Τὴν δὲ κράμβην ὑπάγειν βουλόμενοι, ϖλησίον κειμένης τῆς κακ- 4
20 κάβης μετὰ τοῦ ὕδατος ἐν ᾧ περ ἂν ἡψημένη τύχῃ, ἀνασπῶντες
εὐθέως ἐμβάλλομεν τῷ γαρελαίῳ· χρὴ δὲ μὴ ϖάνυ καθέψειν αὐτήν.
Ἄρτοι ϖιτυρῖται ὑπάγουσι διά τε τὸ ἐν τῇ γασϖρὶ ϖολὺ ϖοιεῖν 5
ϖερίϖωμα καὶ διὰ τὸ ῥυϖικῆς δυνάμεως μετέχειν τὸ ϖίτυρον. Τή- 6

1. αὐτὰ δέ A. — Ib. εἰς ὕσϖερον BP. — Ch. 27; l. 4. καὶ δίδομεν BFP. — 6. ὅταν..... φαίνηται om. BP. — 8. ὅσα τἄλλα F. — Ib. τοιαῦτα om. BP. — Ch. 28; l. 10. καί ante κράμβη om. ABP. — 10. ἁπάντων σχεδόν A; σχεδὸν ἁπάντων BP. — 10-11. τῶν ὀσϖρακοδέρμων BP. — 13. γασϖέρος A. — 14. ἑψήσας F. — 22. ϖιτυρίαι A.; ϖυρῖται BP. — 23. εἶναι A.

λεως χυλὸς ἑψηθεὶς μετὰ μέλιτος καὶ λαμβανόμενος ἐπιτήδειός ἐστιν
ὑπάγειν ἅπαντας τοὺς ἐν τοῖς ἐντέροις μοχθηροὺς χυμοὺς καὶ τῷ
ῥυπτικῷ παρορμᾷν τὸ ἔντερον ἐπὶ τὴν ἔκκρισιν· ὀλίγον δὲ εἶναι
7 χρὴ τὸ μιγνύμενον αὐτῷ μέλι, μή πως γένηται δακνώδης. Ἐλαῖαι
ἁλμάδες ὑπάγουσι γαστέρα μετὰ γάρου πρὸ τῶν σιτίων ἐσθιόμεναι. 5
8 Ὥσπερ τοῖς ὀστρακοδέρμοις, οὕτω καὶ τοῖς κοχλίαις χυλός ἐστι
γαστρὸς ὑπακτικός, καὶ διὰ τοῦτό τινες ἀρτύοντες αὐτοὺς διὰ ἐλαίου
καὶ οἴνου καὶ γάρου τῷ γενομένῳ ζωμῷ χρῶνται πρὸς διαχώρησιν.
9-10 Γάλα τὸ μὲν ὑγρότερον ὑπάγει μᾶλλον, τὸ δὲ παχύτερον ἧττον. Ὁ
δὲ ὀρὸς τοῦ γάλακτος σφοδρῶς λαπάττει· ἐμβάλλειν δὲ αὐτῷ χρὴ 10
μέλιτος ἀρίστου τοσοῦτον ὅσον ἡδῦναι χωρὶς ἀνατροπῆς στομάχου·
κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τῶν ἁλῶν ὅσον μὴ λυπῆσαι τὴν γεῦ-
11 σιν. Εἴ γε μὴν μᾶλλον ἐθέλοις ὑπάγειν αὐτόν, ὡς πλεῖστον ἔμβαλλε
12 τῶν ἁλῶν λειοτάτων. Τῶν πάνυ νέων ζῴων τὰ κρέα ῥᾷον ὑπέρχε-
13 ται κατὰ γαστέρα, καὶ τὰ ἄκρα αὐτῶν. Ὁμοίως τῶν σελαχίων νάρκη 15
14-15 τε καὶ τρυγὼν ὑπέρχονται μετρίως. Μαλάχη μετρίως. Τεῦτλον, λά-
παθον, κνίδη ἢ καὶ ἀκαλήφη, ὅ τε νεοπαγὴς τυρὸς μετὰ μέλιτος,
ἀτράφαξυς, βλίτον, κολοκύνθη, πέπονες, μηλοπέπονες, σῦκα,
16 ἰσχάδες, σταφυλαὶ γλυκεῖαι, καὶ μάλιστα ὅταν ὦσιν ὑγραί. Συκά-
μινα καθαρᾷ μὲν ἐμπεσόντα γαστρὶ καὶ πρῶτα ληφθέντα διεξέρχε- 20
ται τάχιστα καὶ τοῖς σιτίοις ὑφηγεῖται· δεύτερα δὲ ἐπὶ ἑτέροις, ἢ
καὶ μοχθηρὸν εὑρόντα χυμὸν ἐν αὐτῇ, διαφθείρεται τάχιστα ταῖς
17 κολοκύνθαις ὁμοίως. Τὸ ὑγρὸν ἔτι κάρυον πρὸς διαχώρησιν ἐπιτή-
δειον, ἀλλὰ καὶ τῶν ἤδη ξηρῶν προαποβεβρεγμένων ὕδατι παρα-
18 πλησία γίνεται τοῖς χλωροῖς ἡ δύναμις. Κοκκύμηλα τὰ ὑγρὰ ὑπά- 25

3. παρορμᾷ BFP. — Ib. τὴν om. A. — 8. γεννωμένῳ F; γινομένῳ BP. Cf. t. I, p. 242. — 9-10. Ὁ δέ] Καί A. — 10. ὑπάγει A. — 10-11. αὐτῷ μέλι τοσοῦτον A. — 11-12. χωρὶς... τρόπον] μόνον A. — 12. ὅσα A. — 13. γε μὲν καί BP; δέ A. — Ib. αὐτό Codd. — Ib. ὡς om. A. — 16. Μαλ. τὰ (2ª m. τε) μετρίως ὑπάγει A. — Ib. Σεῦτλον BP. — 17. ἀκαλήφη ἡ καὶ κνίδη A; κνίδη BP. — Ib. τε om. BP. — 18. βλίτα A. — 20. καθαρᾷ... πρῶτα] πρὸ σιτίων A. — 21. δεύτερον F. — 23. ἔτι om. ABP. — 24. τὸ ξηρὸν προαποβεβρεγμένον A. — 25. ἡ δύναμις om. ABP. — Ib. τά om. BP; τὰ καὶ προῦμνα A.

γει· τὰ δὲ ξηρὰ αὐτῶν μελικράτῳ βεβρεγμένα πλέον ἔχοντι μέλιτος ἱκανῶς λαπάτλει γαστέρα, κἂν μόνα τις αὐτὰ φάγῃ, καὶ πολὺ μᾶλλον ἐὰν ἐπιῤῥοφῇ τοῦ μελικράτου. Πρόδηλον δὲ ὅτι συντελεῖ τῇ τῆς 19
γαστρὸς ὑπαγωγῇ τὸ μετὰ τὴν προσφορὰν αὐτῶν μένειν ἐπί τινα
5 χρόνον πιόντας γλυκέος οἴνου, καὶ οὐκ εὐθέως ἀριστᾶν. Μόρα, κε- 20
ράσια. Πραικόκκια, περσικὰ καὶ πάντα τὰ ὑγρὰ καὶ ὑδατώδη, καὶ 21
ὅλως ὅσα μηδεμίαν ἰσχυρὰν ἔχειν φαίνεται ποιότητα τοῖς γευομένοις ἢ ὀσμωμένοις αὐτῶν, ἐὰν ἐπιτηδείως ἡ γαστὴρ ἔχῃ πρὸς τὴν κάτω διαχώρησιν, ὑπέρχεται ῥᾳδίως· εἰ δὲ μή, μένει καὶ αὐτὰ
10 μετέωρα, μηδὲν εἰς ἔκκρισιν αὐτὴν ὠφελοῦντα διὰ τὸ μηδεμίαν ὑπάρχειν αὐτοῖς δριμεῖαν ἢ λιτρώδη ποιότητα. Καὶ μέση πώς ἐστιν ἡ 22
τοιαύτη τῶν ἐδεσμάτων ὕλη τῆς τε τῶν προτρεπόντων τὴν γαστέρα καὶ τῶν ἐπεχόντων, βραχύ τι ῥέπουσα πρὸς τὸ ἕτερον, ὅταν γε μὴ πάνυ τύχῃ νωθρᾶς γαστρὸς εἰς ἀπόκρισιν, ἢ ἰσχυρᾶς εἰς ἀνά-
15 δοσιν· ἐνίοτε γὰρ ἐπέχει γαστέρα διὰ τοῦτο καὶ τὸ μελίκρατον οἷς ἀναδίδοσθαι φθάνει ταχέως· τότε γὰρ οὐ μόνον οὐ προτρέπει τὴν γαστέρα πρὸς ἔκκρισιν, ἀλλὰ καὶ τοῖς μιχθεῖσι σιτίοις εἰς ἀνάδοσιν ὑφηγεῖται· εἰ δὲ μὴ φθάσειεν ἀναδοθῆναι ταχέως, ἐρεθίζει πρὸς ἔκκρισιν ἔχον τι δριμύ. Καὶ μόνον δὲ αὐτὸ τὸ μέλι εἴ τις μὴ ἀφε- 23
20 ψήσας ἐκλείχοι, καλῶς ὑπάγει. Τὸ δὲ ἐπὶ ὀλίγον ἢ μηδὲ ὅλως ἑψη- 24
θὲν μελίκρατον ὑπέρχεσθαι φθάνει πρὶν ἀναδοθῆναι. Τὸ δὲ ὀξύμελι 25
ξέει τὸ ἀσθενέστερον ἔντερον. Οἶνος γλυκὺς συλλαμβάνει τι βραχὺ 26
τῇ κατὰ γαστέρα διεξόδῳ. Γλεῦκος ὑπάγει, καὶ ᾠὰ πρόσφατα μετὰ 27
πολλοῦ γαρελαίου πρῶτα ῥοφούμενα.

κθ'. Μέσα καθαρτικῶν καὶ ὑπακτικῶν.

25 Λινόζωστις κατὰ ἑαυτήν, ἢ μετὰ λαχάνων μισγομένη καὶ ἑσθιο- 1

2. τὴν γαστ. BP. — 11. αὐτοῖς om. Codd. Cf. t. I, p. 244. — 12. τῆς] ὡς F; εἰς BP. Cf. t. I, p. 244. — 16. γάρ om. F. — 18. φθάσαιεν Codd. Cf. t. I, p. 244. — 22. καίει BP. — Ch. 29; l. 25. μισγ. e N qui habet *mixta; commixta* Barb.; om. Laud.; κωμιζομένη F; κομιζομένη BP.

μένη πρότερον, ἢ μετὰ τοῦ ζωμοῦ ῥοφουμένη· πολυπόδιον ὁμοίως.
2 Τὸ ἀλύπιον ὁμοίως· τὸ δὲ σπέρμα πινόμενον ὅσον κοχλιάριον
3 καθαίρει μέλαιναν. Ὁμοίως καὶ σπέρμα κυήκου κοπτόμενον καὶ χυλιζόμενον σὺν ὑδρομέλιτι, ἢ ζωμῷ ὄρνιθος, ἢ μιγὲν ἀμυγδάλοις καὶ νίτρῳ καὶ ἀνίσῳ καὶ μέλιτι καὶ ἰσχάσιν. 5

λ'. Ὅσα ἐπέχει γαστέρα.

1 Φοίνικες οἱ αὐστηροὶ, σταφίδες αἱ αὐστηραὶ, συκάμινα, βάτινα·
2 ὁ δὲ τῶν κυνοσβάτων καρπὸς μᾶλλον. Μύρτα, ἄγρια κοκκύμηλα ἃ
3 καὶ προῦμνα καλοῦσιν. Μῆλα τὰ μὲν στύφοντα ἐπέχει· τὰ δὲ ὀξέα παχὺν μὲν εὑρόντα χυμὸν ἐν τῇ γαστρὶ, τέμνοντα τοῦτον ὑπάγει, καὶ διὰ τοῦτο ὑγραίνει τὰ διαχωρήματα· καθαρὰν δὲ εὑρόντα τὴν 10 κοιλίαν ἐπέχει μᾶλλον αὐτήν· τὰ δὲ γλυκὺν ἔχοντα τὸν χυμὸν ἄνευ μὲν δριμύτητος ἀναδίδοται μᾶλλον, μετὰ δὲ δριμύτητος ὑπέρχεται μᾶλλον· τὰ δὲ ὑδατώδη καὶ ἄποια ἀηδῆ τέ ἐστι καὶ οὐδὲν ὠφέλιμον
4 ἔχοντα. Ὅσα δὲ ἐπὶ μήλων εἴρηται, ταῦτα καὶ ἐπὶ ῥοιῶν καὶ ἀπίων
5 εἰρῆσθαι νόμιζε. Εἰ προεψήσας τις τὸ γάλα τὸν ὀρὸν ἐκδαπανήσειεν, οὐδὲ ὅλως ὑπάγει· κοχλάκων δὲ διαπύρων τοσούτων ἐμβληθέντων ὡς ἐκδαπανῆσαι τὸν ὀρὸν, ἐπέχει τὸ οὕτω σκευασθὲν, καὶ δίδομέν γε αὐτὸ τοῖς ὑπὸ δριμέων δακνομένοις περιτρωμάτων τὰ
6 κατὰ τὴν γαστέρα. Τῶν κοχλάκων δὲ οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον, ἐμβαλλόμενοι κυκλίσκοι σιδηροῖ διάπυροι ταὐτὸ ἐργάζονται· τυροῦταί γε μὴν ῥᾳδίως ἐν τῇ γαστρὶ τὸ οὕτω σκευασθὲν γάλα· διὸ καὶ μίγνυμεν αὐτῷ μέλιτός τε καὶ ἁλῶν· ἀσφαλέστερον δὲ καὶ ὕδα-
7 τος ἐπεγχεῖν. Καὶ μὴ θαυμάσῃς εἰ τὸν ὀρὸν ἐκδαπανήσαντες αὖθις ὕδατος ἐπεγχέομεν· οὐ γὰρ τὴν ὑγρότητα τοῦ ὀροῦ φεύγομεν, ἀλλὰ
8 τὴν δριμύτητα, κατὰ ἣν ὑπάγει τὴν γαστέρα. Ἀστακοὶ, καρκίνοι, 25 πάγουροι, καρῖδες, κάραβοι, ὅσα τε ἄλλα τοιαῦτα τῶν μαλακοστρά-

1. πρώτως BP. — Ib. ἢ ex em.; om. Codd. — Ib. τοῦ om. BP. — Ch. 30; l. 8. μέν om. A. — 12. ἀναδίδ... δριμύτητος om. Codd. Cf. t. I, p. 246. — 13. τε om. Codd. Cf. t. I, p. 246. — 14. τάδε BP. — 15. Εἴπερ ἑψήσας Codd. Cf. t. I, p. 246. — 17. ὡς om. Codd. Cf. t. I, p. 246. — Ib. τό] τοῦτο Codd. Cf. t. I, p. 246. — 23. ἐπὶ χεῖν F; ἐπισχεῖν BP. Cf. t. I, p. 247.

κων ἐλάτΐω μὲν τῶν ὀσΐρακοδέρμων, ἔχει δὲ οὖν καὶ αὐτὰ τὸν ἁλυκὸν χυμὸν, ὃν ἐὰν ἐναποθῆται τῷ ὕδατι, ὥσπερ τῶν ὀσΐρέων καὶ τῶν ἄλλων ὀσΐρακοδέρμων, ἡ σὰρξ ἐπισχετικὴ γίνεται γασΐρός. Καὶ φακὴ δὲ καὶ κράμβη δίσεφθοι γενόμεναι καὶ τὸν χυλὸν ἀποθέ- 9
5 μεναι γασΐρὸς ἐφεκτικαὶ γίνονται, καὶ ξηρᾶναι βουληθέντες ὑγρὰν γασΐέρα, ὅταν ἤδη μετρίως ἡψῆσθαι δοκῇ ἡ κράμβη, τὸ πρότερον ὕδωρ ἀποχέοντες ἐμβαλοῦμεν εὐθέως ἑτέρῳ θερμῷ, κἄπειτα πάλιν ἐν ἐκείνῳ καθεψήσομεν ὥστε τακερὰν γενέσθαι. Χρὴ δὲ μήτε ἀέρος, 10
μήτε ὕδατος ψυχροῦ ψαύειν τὸ δὶς ἑψόμενον· οὐκ ἔτι γὰρ ἀκριβῶς
10 γίνεται τακερὸν, οὐδὲ ἂν ἐπὶ πλεῖσΐον ἕψῃς. Ἀφαιρεθεῖσα δὲ ἡ φακὴ 11
τοῦ λέμματος τὸ ἰσχυρῶς σΐυπΐικὸν ἀπόλλυσι, καὶ οὐχ ὁμοίως ξηραίνει τὰ κατὰ τὴν γασΐέρα ῥεύματα· εἰ μέντοι πΐίσας αὐτὴν καὶ δὶς ἑψήσας ἀποχέοις τὸ πρότερον ὕδωρ, εἶτα ὀλίγον ἁλῶν ἢ γάρου συμμίξας ἐμβάλλοις τι τῶν ἐφεκτικῶν γασΐρὸς ἄχρι τοῦ μὴ
15 λυπῆσαι τὴν γεῦσιν, ἥδισΐόν τε καὶ ὠφελιμώτατον ἐργάσῃ φάρμακόν τε ἅμα καὶ σιτίον. Ἅλφιτα διὰ οἴνου αὐσΐηροῦ πεσθέντα ξη- 12
ραίνει γασΐέρα. Ὄρυζα ἐπέχει· ἔλυμος ἤτοι μελίνη, κέγχρος, τὰ 13
τηγανισΐὰ πάντα, λάγεια κρέα, οἶνος ὁ αὐσΐηρὸς καὶ μέλας ἄνευ γλυκύτητος, καὶ ὁ λευκὸς δὲ καὶ αὐσΐηρὸς, καὶ ὁ κιῤῥὸς καὶ αὐ-
20 σΐηρός.

λα'. Ὅσα θερμαίνει.

Πυροὶ ἑφθοὶ, καὶ οἱ ἀπὸ αὐτῶν ἄρτοι, τίφη, βρόμος, τῆλις, ἀρ- 1
κευθίδες, οἱ γλυκεῖς φοίνικες, μῆλα τὰ γλυκέα, σήσαμον, ἐρύσιμον· διὸ καὶ διψώδη. Καννάβεως σπέρμα, αἱ γλυκεῖαι τῶν σΐαφυλῶν· 2
διὸ καὶ διψώδεις. Αἱ γλυκεῖαι σΐαφίδες· μαλάχη μετρίως· σέλινον, 3

1. ἐλατΐον Codd. Cf. t. I, p. 247. — 4. δέ om. ABP. — 4-5. δίσεφθα γενόμενα..... ἀποθέμενα A. — 5. γασΐέρα ἐπέχει A. — 7. ἐμβάλλομεν BP. — 8. ἑψήσομεν BP. — Ib. ὥσΐε] ἕως ὅτου BP. — 14. ἐμβάλλοι (ἄλλε BP) τίς τι Codd. Cf. t. I, p. 248. — 15. ἡδύ BP. — 16. ἅμα om. Codd. Cf. t. I, p. 248. — 17. γασΐέρα om. Codd. Cf. t. I, p. 248. — Ib. τά om. Codd. Cf. t. I, p. 248. — 18. ταγην. A. — 19. δέ om. BFP. — Ch. 31; l. 23. διψώδης F; διψῶδες BP. Cf. t. I, p. 249. — 24. διὸ κ. διψ. om. ABP. — Ib. μαλάχαι BFP.

4 σμύρνιον, εὔζωμον, ῥαφανίς. Γογγυλὶς, ῥαφανὶς, νᾶπυ, κάρδαμον,
5 πύρεθρον δριμέα καὶ θερμά. Σταφυλῖνος, δαῦκος, καρὼ θερμαί-
6 νουσι σαφῶς. Σκόροδον, κρόμμυον, πράσον, ἀμπελόπρασον ἱκανῶς
7 ἐστὶ δριμέα· ἑψηθέντα δὲ δὶς ἢ τρὶς ἀποτίθεται τὴν δριμύτητα. Τυ-
8 ρὸς ὁ παλαιὸς θερμὸς, καὶ διὰ τοῦτο διψώδης. Οἶνος ὁ γλυκὺς με- 5
τρίως· διὸ καὶ διψώδης· ὁ δὲ κιρρὸς θερμότερος τοῦ μέλανος· ὁ δὲ
ξανθὸς θερμότατός ἐστιν ἄκρως, εἶτα ὁ κιρρὸς, εἶτα ὁ ἐρυθρὸς,
εἶτα ὁ γλυκὺς, εἶτα ὁ λευκὸς ἁπάντων ἧττον θερμαίνει· ὁ παλαιότατος δὲ ἱκανῶς θερμός.

λϛ'. Ὅσα ψύχει.

1 Κριθὴ κατὰ πάντας τρόπους τῆς χρήσεως, κέγχρος, ἔλυμος, 10
ὕδνα, κολοκύνθη ἑφθὴ, πέπονες, μηλοπέπονες, σίκυοι, κοκκύμηλα,
συκόμορα, αἱ αὐστηραὶ καὶ ὀξεῖαι σταφυλαὶ, αἱ αὐστηραὶ τῶν στα-
2 φίδων. Μῆλα τὰ μὲν στύφοντα ψυχρὸν ἔχει καὶ γεώδη τὸν χυμόν·
τὰ δὲ ὀξέα ψυχρὸν καὶ λεπτομερῆ· ῥέπει δὲ πρὸς τὸ ψυχρὸν καὶ
3 τὰ τελέως ἄποια καὶ οἷον ὑδατώδη. Τὰ αὐτὰ περὶ ἀπίων καὶ ῥοιῶν 15
4 ὑπολάμβανε. Οὐκ ὀλίγοι δέ εἰσι καὶ ἄλλοι τῶν δένδρων καρποὶ ψύ-
5 χοντες, καὶ μάλιστα ὅσους οὐδὲ εἰς ἀπόθεσιν ἀγαγεῖν ἔστιν. Οἱ
6 στύφοντες φοίνικες ψυχρὸν ἔχουσι χυλόν. Θρίδαξ· ἴντυβοι μετριώ-
τερον· ἀνδράχνη· μήκωνος σπέρμα, καὶ διὰ τοῦτο καὶ ὑπνωτικόν
ἐστιν· εἰ δὲ πλεῖον ληφθείη, καὶ καταφορικόν· ὠφελεῖ δὲ τοὺς ἀπὸ 20
κεφαλῆς λεπτῷ ῥεύματι καταρροϊζομένους· βέλτιον δέ ἐστι τὸ λευ-
7 κότερον. Μύρτα ψύχει μὲν, ἀλλὰ ἅμα τῇ στύψει· ἔχει γάρ τι καὶ

1. ῥάφανος AF. — Ib. ῥάφανος BP. — 2. Ὅσα δρ. κ. θ. Codd. atque hinc novum inchoant caput. — 2-3. θερμαίνει Codd. Cf. t. I, p. 249. — 6. διὸ... διψώδης om. Codd. Cf. t. I, p. 250. — 6-7. καὶ ὁ ξανθὸς A. — 7. ἄκρ.] πάντων BP. — 8. εἶτα ὁ λευκὸς] ὁ δὲ λευκὸς A. — Ib. ἀπ. om. A. — Ib. ἐστὶν ἧττον θερμόν BP; ἧττον θερμόν A. — Ib. καὶ ὁ A. — 9. θερμαίνει ABP. — Ch. 32; l. 10. πάντα τρόπον BP. — 11. πέπονες om. BP. — Ib. σίκυες BFP. — 12. σταφίδες καὶ σταφυλαί BP. — 12-13. αἱ αὐστηραὶ τῶν σταφίδων om. ABP. — 14. ῥέπει..... ψυχρόν om. BP. — 15. ἐπί BP. — 18. χυμόν Codd. — 19. καὶ διά Gal.; om. Codd. — Ib. τοῦτο om. BP; ὅ A. — 19-20. καὶ ὑπνωτικόν ἐστιν om. BP. — 20. πλεῖστον BP. — 22. οὐχ ἅμα Codd. Cf. t. I, p. 251.

δριμύτητος. Στρύχνον δρασΊήριον ψῦξιν σΊύφουσαν ἔχει. Ὕδωρ. 8-9
Ὑδατώδης οἶνος οὐ σαφῶς θερμαίνει· διὸ καὶ τοῖς πυρέτΊουσιν 10
ἀκινδυνότερον δίδοται. Οἶνος ὁ λευκὸς καὶ αὐσΊηρὸς ἥκισΊα, ὡς ἐν 11
οἴνοις, θερμαίνει· ὁ δὲ λευκὸς ἅμα καὶ αὐσΊηρὸς καὶ παχὺς καὶ νέος
5 αἰσθητῶς ψύχει. Καὶ τὸ ὄξος· λεπΊομερὲς δὲ ὑπάρχει· διὸ καὶ τὰ 12
νεῦρα πλέον τῶν ἄλλων ψυχόντων βλάπΊει διαδυόμενον εἰς βάθος.
Μέσα δέ πως θερμαινόντων καὶ ψυχόντων ἐσΊὶν ἄρτοι πλυτοὶ, 13
ἄμυλον, αἱ οἰνώδεις τῶν σΊαφυλῶν.

λγ'. Ὅσα ξηραίνει.

Φακὴ καὶ κράμβη παραπλησίως ἀλλήλοις ξηραίνουσι, καὶ διὰ 1
10 τοῦτο τὴν ὄψιν ἀμβλύνουσι, πλὴν εἰ τύχοι ποτὲ ὑγρότερος ὢν ὁ
σύμπας ὀφθαλμός· ἧΊΊον δὲ τῆς κράμβης ὁ ἀσπάραγος αὐτῆς ξη-
ραίνει· τῶν δὲ ἄλλων λαχάνων ξηρότερος ὁ καυλός ἐσΊιν· ἔμπαλιν
δὲ ῥαφανῖδος καὶ γογγυλίδος, νάπυός τε καὶ καρδάμου καὶ πυρέ-
θρου, καὶ πάντων ὅσα δριμέα, τὸν ἀσπάραγον ὑγρότερον εἶναι
15 συμβέβηκεν. Ἄλφιτα ξηραίνει· ἄγνου σπέρμα. Ὄροβοι δὶς ἑψηθέν- 2-3
τες καὶ ἀπογλυκανθέντες πολλάκις διὰ ὕδατος ἔδεσμα ξηραντικὸν
γίνονται· βελτίους δέ εἰσιν οἱ λευκοί. Καὶ ὅσα ὀπΊῶντες ἢ τηγα- 4
νίζοντες ἐσθίουσι, ξηροτέραν τροφὴν διδοῦσιν, ὅσα δὲ ἐν ὕδατι
προεψήσαντες ὑγροτέραν· ὅσα δὲ ἐν ταῖς λοπάσιν ἀρτύοντες, ἐν
20 τῷ μεταξὺ τούτων ἐσΊὶ, καὶ ὅσα μὲν ἔχει δαψιλῶς οἴνου καὶ γάρου,
ξηρότερα τῶν οὐκ ἐχόντων ἐσΊίν· τὰ δὲ τούτων μὲν ἐνδεέσΊερον,
ἤτοι δὲ σίραιον ἔχοντα πλέον, ἢ κατὰ τὸν ἁπλοῦν καὶ λιτὸν λευκὸν
ζωμὸν ἥψηται, τὰ πολλὰ τῶν προειρημένων ἐσΊὶν ὑγρότερα· τὰ
δὲ ἐξ ὕδατος μόνου καὶ τούτων ἐσΊὶν ὑγρότερα. ΜεγίσΊη δὲ ἐν τῇ 5
25 σκευασίᾳ διαφορὰ γίνεται κατὰ τὴν τῶν ἐπεμβαλλομένων αὐτοῖς

2. Ὕδατ. δέ BP. — 3. Ὁ οἶνος ὁ BP. — Ch. 33; l. 11. ὁ om. Codd. Cf. t. I, p. 252. — 13. ῥαφανίδες καὶ γογγυλίδες Codd. Cf. t. I, p. 252. — 14. ὑγρότερον om. Codd. Cf. t. I, p. 253. — 16. καὶ ἀπογλ.] ἢ Codd. Cf. t. I, p. 253. — 21. εἰσίν F. — 23-24. τὰ δὲ..... ὑγρότερα om. F.

δύναμιν σπερμάτων τε καὶ λαχανωδῶν φυτῶν, ἁπάντων μὲν ξηραινόντων, ἀλλὰ ἤτοι μᾶλλον ἢ ἧττον.

λδ'. Ὅσα ὑγραίνει.

1 Πτισάνη, κολοκύνθη ἑφθὴ, πέπονες, μηλοπέπονες, σίκυοι, κά-
2 ρυον τὸ χλωρὸν, κοκκύμηλα, συκόμορα. Συκάμινα τὰ μὴ διαφθαρέντα ὑγραίνει μὲν πάντως, ψύχει δὲ οὐ πάντως, εἰ μὴ ψυχρὰ 5
3-4 ληφθείη. Θριδακίνη ὑγραίνει· ἴντυβοι ταύτης ἀσθενέστερον. Ἀνδράχνη· μαλάχη δὲ καὶ βλίτον καὶ ἀτράφαξυς ὑδατωδέστατα λαχά-
5 νων ἐστίν. Ὑγροὶ δέ εἰσιν οὐκ ὀλίγοι καὶ ἄλλων δένδρων καρποὶ,
6 καὶ μάλιστα ὅσους οὐδὲ εἰς ἀπόθεσιν ἀγαγεῖν ἔστιν. Ὑγραίνει καὶ
7 τὸ τῆς θριδακίνης καὶ τὸ τῆς μήκωνος σπέρμα. Κύαμοι χλωροὶ, 10
8 ἐρέβινθοι χλωροί. Ὕδωρ ὑγραίνει καὶ ψύχει· θερμανθὲν δὲ ὑγραίνει καὶ θερμαίνει.

λε'. Περὶ ἑψήσεως ῥοφημάτων.

1 Πτισάνη προσηκόντως σκευασθήσεται, ὅταν ἐπὶ πλεῖστον ἀνοιδήσασα τύχῃ κατὰ τὴν ἕψησιν καὶ μετὰ ταῦτα διὰ μαλακοῦ πυρὸς
2 ἄχρι πολλοῦ χυλωθῇ. Μίγνυται δὲ αὐτῇ κατὰ ἐκεῖνον τὸν καιρὸν 15
ὄξος ὅταν οἰδήσῃ τελέως· ἑφθῆς δὲ ἀκριβῶς γενομένης ἐπεμβάλλειν χρὴ τοὺς ἅλας λεπτοὺς οὐ πολὺ πρὸ τῆς ἐδωδῆς· ἔλαιον δὲ εἰ κατὰ

35. DE LA PRÉPARATION DES BOUILLIES.

1 La ptisane sera convenablement préparée, si l'orge se gonfle considérablement pendant l'ébullition, et si ensuite le liquide se prend en
2 gelée par l'action prolongée d'un feu doux. On y mêle du vinaigre au moment où l'orge a acquis son plus haut degré de gonflement; quand elle est complétement cuite, il faut y ajouter du sel fin peu de temps avant de la manger; on peut y mettre immédiatement de l'huile, sans

Ch. 34; l. 4. τὸ χλ. om. A; τε χλ. BFP. Cf. t. I, p. 254. — 7. βλίτος A; βλῖτα BFP. — 11. ἐρέβ. om. BP. — Ib. χλωροί om. ABP. — Ch. 35; l. 15. αὐτῷ Codd. Cf. t. I, p. 260. — 16. γινομ. BP. — 17. οὐ] καί BP.

ἀρχὰς ἐμβάλλοις, οὐ βλάψεις τὴν ἕψησιν. Οὐ μὴν ἄλλο τι χρὴ 3
μιγνύειν ὅτι μὴ πράσου βραχὺ καὶ ἀνήθου, καὶ ταῦτα εὐθὺς ἐν ἀρχῇ.
Ἡ δὲ φακοπτισάνη σκευάζεται καλῶς πλείονος πτισάνης ἐμβαλλο- 4
μένης καὶ ἀρτυομένης ὁμοίως, πλὴν ὅτι θύμβρας ἢ γληχοῦς ἐμβάλ-
5 λειν αὐτῇ χρή.— Ἥδιστον δέ ἐστιν ἔδεσμα κολοκύνθη μετὰ ταρίχους 5
ἐν πατέλλῃ σκευασθεῖσα. — Τοῖς δὲ ἀσθενῶς κάρτα ἔχουσι καὶ μὴ 6
δυναμένοις προσδέχεσθαι παχυτέραν ὕδατος τροφὴν, ἀποβρέχειν
κράτιστον καὶ ἕψειν καὶ τρίβειν τὴν τροφήν. Ἀποβρέχοι μὲν οὖν 7
ἄν τις τὸ ἄλφιτον καὶ τὸ καπυρὸν τῶν ἄρτων· πλείστην δὲ ἀφιᾶσι
10 δύναμιν οἱ ἄρτοι ὡς θερμότατοι κλασθέντες καὶ ἀποβραχέντες. Τῶν 8
δὲ ἀφεψομένων ἔτι μᾶλλον τὸ πόμα κρεῖττον καὶ τροφιμώτερόν
ἐστιν. Τοῖς δὲ πυρέττουσι δεῖ τὴν κριθὴν μὴ περιπτίσσειν, ἀλλὰ 9
πλύναντα ἕψειν τῷ ὕδατι· πρότερον δὲ χλιάναντα ἀποχεῖν, καὶ

que par là on nuise à la cuisson. Mais on n'y mêlera pas autre chose, 3
si ce n'est un peu de poireau et d'aneth; ces substances doivent y être
mises dès le commencement. Pour bien préparer la *phacoptisane*, on y 4
mettra plus d'orge mondée que de lentilles, et on l'assaisonnera de la
même manière que la ptisane, à cette exception près qu'on y ajoutera
du *thymbre* ou du pouliot. — C'est un mets très-appétissant que la 5
courge, préparée dans le plat avec du poisson salé. — Pour les gens très- 6
faibles, et qui ne peuvent pas supporter des aliments plus épais que l'eau,
le mieux est de faire macérer ou bouillir, ou de triturer les aliments.
On peut donc faire macérer l'alphiton, et la partie cassante du pain; 7
mais le pain, mis en morceaux aussi chaud que possible et macéré, est
la préparation qui développe le plus de propriétés [nourrissantes]. Ce- 8
pendant les boissons [alimentaires] obtenues par la décoction sont encore
meilleures et nourrissent encore plus. Pour les fébricitants, il ne faut 9
pas monder l'orge, mais la faire bouillir dans l'eau après l'avoir lavée;
on élèvera d'abord l'eau à une température tiède, puis on jettera cette
première eau pour verser sur l'orge une nouvelle quantité d'eau,

5-7. μετὰ... δυναμένοις om. BP. — 5. ταρίχους LN Gal.; ῥίγχους F. Cf. t. I, p. 263. — 7. δέχεσθαι BP. — Ib. παχυτέρου BP. — 13. πλύναντα e corr.; πλύναντες F; πλύνοντας P; πλύνοντες B.

ἄλλο ἐπιχέοντα ὕδωρ ἕψειν· ἕψοιτο δὲ ἂν καλῶς εἰ δέκα κοτύλας
ὕδατος εἰς μνᾶν τῆς κριθῆς ἐπιχέαις· ἕψεται δὲ ἕως ἂν ἡ κριθὴ
ῥαγῇ· εἶτα ἀπηθήσας τὸ λεπτότατον ὕδωρ, μίσγων μέλιτι ἢ αὐτὸ
10 κατὰ ἑαυτὸ δίδου. Τοῦτο καὶ τὴν κοιλίαν εὔλυτον ποιεῖ καὶ οὐρεῖται
11 καὶ τρέφει ἱκανῶς. Δίδοται δὲ καὶ ἡ εἰς τὸ ἄλφιτον κριθὴ φρυχθεῖσα 5
ἣν καὶ κάχρυδα καλοῦσιν· δεῖ δὲ πρὸ τοῦ ἁλεσθῆναι αὐτὴν ἀποτρί-
ψαι κούφως τὸ προσκεκαυμένον ἄχυρον, καὶ ἀποβρέξαντας ἕψειν·
12 τὴν γὰρ κοιλίαν μᾶλλον ἐφίσθησιν ἐκείνου. Ἀφέψοι δὲ ἄν τις καὶ
πᾶσαν σχεδὸν τροφὴν ὁμοίως, ὁποίαν ἄν τινα ὑπολαμβάνῃ οἰκείαν
13 τῷ κάμνοντι εἶναι. Τὰ δὲ ὑποτριβόμενα παχύτερα μὲν τῶν δια- 10
βρεγμάτων φαίνεται εἶναι καὶ τῶν ἑψομένων, καὶ ἰσχυρότερα· ὑπο-
τρίβοιτο δὲ ἂν σχεδὸν πᾶσα τροφὴ ὡσαύτως εἰς τὰ διδόμενα πό-
14 ματα. Δεῖ δὲ τοὺς μὲν ἄρτους καὶ τοὺς ξηροὺς καὶ τοὺς προσφάτους

dans laquelle on la fait bouillir; la décoction sera bonne, si on verse dix cotyles d'eau sur une mine d'orge; on fait bouillir jusqu'à ce que l'orge crève, ensuite on décante la partie la plus ténue de l'eau, et on la donne
10 soit seule, soit mêlée à du miel. Cette boisson facilite les déjections al-
11 vines, pousse aux urines et nourrit fortement. On donne encore l'orge changée par la torréfaction en alphiton, appelée aussi *cachrys;* avant de moudre cette orge torréfiée, on ôtera légèrement la glume brûlée qui y est restée attachée, et on fera bouillir l'orge après qu'elle a macéré; cette boisson resserre le ventre plus que celle dont nous avons parlé en pre-
12 mier lieu. On pourra aussi faire bouillir de la même manière presque
13 tous les aliments qu'on supposera convenir au malade. Les boissons alimentaires obtenues par la trituration sont plus épaisses et plus actives que celles qu'on obtient par la macération ou par la décoction; on peut triturer également presque tous les aliments dans les boissons qu'on ad-
14 ministre. Il faut triturer le pain, soit sec, soit frais, en le délayant dans de l'eau après l'avoir fait macérer; ensuite on le passera à travers un

2. *μίαν* Codd. Cf. t. I, p. 285. — Ib. *ἐπιχέοις* BP. — 3. *ἡ* om. Codd. Cf. t. I, p. 285. — 5. *ἡ* om. F 1ª m. BP. — 7. *προκεκαυμένον* Codd. — 8. *ἀφίσθησιν* Codd. — Ib. *Ἐφέψοιτο* F; *Ἕψοιτο* BP. Cf. t. I, p. 285. — 9. *ὁποῖ ἂν τινα* F; *ὀτρίαν ἂν τινα* P; *ὀτρίαν τινα* B. — Ib. *ὑπολαμβάνῃς* F; *ὑπολαμβάνεις* BP. — 13. *ἄρτους ξηρούς* Codd. Cf. t. I, p. 246.

βρέξαντας τρίβειν διέντα ὕδατι καὶ ἠθεῖν διὰ ὀθονίου. Μίσγοις δὲ 15
ἂν αὐτοῖς πρὸς τὸ τὴν λευκότητα μὴ ἐμφαίνεσθαι τὴν ἀπὸ τοῦ ἄρ-
του, τοῦ σικύου σπέρμα φώξας, καὶ ἀμύγδαλα, καὶ σποβίλους, καὶ
οὖα, καὶ μετὰ ἑνὸς ἑκάστου, καὶ μετά τινων ἢ πάντων ἀνίσου τε ἢ
5 μαράθρου σπέρματος μίσγων, τοῖς μὲν οὖν πυρέσσουσιν ἐν μελι-
κράτῳ, τοῖς δὲ ἄνευ πυρετῶν οἴνου παραχέων. Ἡ δὲ κέγχρος καὶ 16
ἡ μελίνη τριβόμενα μάλιστα πεφωγμένα ἁρμόσειεν ἂν καὶ περιλε-
λεπισμένα οἷς αἱ κοιλίαι ἐκχολοῦνται, καὶ οἷς λεπταὶ καὶ πολλαὶ
ὑποχωρήσεις γίνονται. Δεῖ δὲ τρίβοντα διιέναι ὕδατι μὴ ἔλασσον ὀξυ- 17
10 βάφου εἰς δέκα ὕδατος ὀξύβαφα, καὶ ἐκχυλίσας διὰ πυκνοῦ ὀθονίου,
ἐπιχέων οἴνου αὐστηροῦ τὸ μέτριον, ἑψήσας πρόσφερε νήστει. Ἁρ- 18
μόσει δὲ ὑποτρίβειν τῇ κέγχρῳ τὰ εὐβοϊκὰ κάρυα σὺν τῷ λέμματι
τῷ ἐντὸς μὴ πολλὰ συνεκχυλιζόμενα μετὰ τῆς κέγχρου. Βρόμος δὲ 19
εὐπεπτότατον πάντων τῶν ὀσπρίων, καὶ τὸ ῥόφημα κάλλιστόν

linge. Afin que la blancheur du pain ne se trahisse pas, on peut mêler 15
à cette préparation des graines de concombre torréfiées, des amandes,
des pignons doux, ou des sorbes; on ajoute à chacun de ces ingrédients,
ou à plusieurs, ou à tous à la fois, de la graine d'anis ou de fenouil; on
donne le tout, dans de l'eau miellée, aux fébricitants, et on ajoute du
vin pour ceux qui n'ont pas de fièvre. Les boissons qu'on prépare par la 16
trituration du millet ou du panic conviendront surtout, quand ces
graines ont été torréfiées et mondées, à ceux dont le ventre est surchargé
de bile et qui ont des déjections nombreuses et ténues. On triture et on 17
délaye en même temps dans de l'eau une quantité qui ne soit pas moindre
d'un oxybaphe dans dix oxybaphes d'eau, on passe à travers un linge
serré, et on ajoute une quantité moyenne de vin âpre pour donner cette
préparation à jeun, après l'avoir fait bouillir. Il conviendra de triturer 18
avec le millet des châtaignes en petit nombre, avec leur écorce intérieure; ces fruits formeront ainsi une bouillie, conjointement avec le
millet. L'avoine est, de toutes les graines farineuses, la plus facile à di- 19
gérer; la bouillie d'avoine est la meilleure; on la fait cuire de la même

3. φρύξας BP. — 7. τριβομένη Codd. — Ib. ἂν τις καί BP. — 14. ἀπεπτότατον F; εὐπεπτότατος BP. Cf. t. I, p. 288.
— Ib. πεφωγμένη F; πεφρυγμένη BP.

ἐστιν, ἕψεται δὲ τῇ πτισάνῃ τὸν αὐτὸν τρόπον, κοτύλη ἐν ὕδατος κοτύλαις δέκα.

λς'. Ὅσα ἀντὶ ἐλαίου ὑποτρίβειν χρή.

1 Ὑποτρίβειν εἰς πᾶν ῥόφημα ἀντὶ ἐλαίου, πλὴν εἰς φακῆν, τὸ τοῦ
2 σικύου σπέρμα ὠμόν. Διηθῶν μίσγε τῇ πτισάνῃ καὶ τοῖς λοιποῖς
ἑψήμασιν ἢ τοῦ κώνου τὸ κάρυον, ἢ τὰ πουτικὰ, ἢ τὰ θάσια κά- 5
3 ρυα. Τοῖς δὲ κατὰ κοιλίαν ἐνοχλουμένοις ἀντὶ ἐλαίου ὑποτρίβειν τὴν
λευκὴν μήκωνα ἡσυχῇ φώξαντα σὺν τῷ ἐλύτρῳ· ὑποτρίβειν δὲ χρὴ
πρὸς τὰς κοιλίας καὶ τὰ κάστανα σὺν τῷ ἐντὸς λέμματι.

λζ'. Σκευασίαι τροφῶν.

1 Ἕψοις δὲ ἂν καὶ σεμίδαλιν τεταρτημόριον ἐν δέκα κοτύλαις ὕδατος
2 μετὰ ἐλαίου μετρίου καὶ ἀνήθου προπλύνας τὴν σεμίδαλιν. Ἕωλος 10

manière que l'orge mondée, dans la proportion d'un cotyle d'avoine pour dix cotyles d'eau.

36. DES SUBSTANCES QUI DOIVENT ÊTRE TRITURÉES DANS LES BOUILLIES POUR TENIR LIEU D'HUILE.

1 Dans toute espèce de bouillie, excepté dans celle de lentilles, on doit,
2 pour remplacer l'huile, triturer des graines de concombre crues. Mêlez soit des pignons, soit des noisettes, soit des amandes, à la ptisane ou
3 aux autres bouillies, en les tamisant. Pour les malades qui sont incommodés du côté du ventre, on triturera [dans les bouillies], afin de remplacer l'huile, du pavot blanc torréfié légèrement avec son enveloppe; pour resserrer le ventre, on y triturera aussi des châtaignes avec leur écorce interne.

37. PRÉPARATION DES ALIMENTS.

1 On peut aussi faire bouillir un quart [de mine?] de fleur de farine dans six cotyles d'eau, avec une quantité modérée d'huile et d'aneth, après avoir
2 lavé auparavant la fleur de farine. On fera macérer du pain rassis dans de

1. ὕδατι BP. — 2. κοτύλας Codd. — CH. 36; l. 3. τοῦ ἐλ. BP; item l. 6. — 5. ἢ τοῦ (τό F) κών. ἢ τὸ κάρ. Codd. Cf. t. I, p. 291. — 5-6. θ. κάρ. ἢ ἀμύγδαλα (τὰ ἀμ. F.) Codd. Cf. t. I, p. 291. — 7. δεῖ BP.

ἄρτος ἀποβρεχέσθω ὕδατι θερμῷ ἄλλῳ καὶ ἄλλῳ συνεχῶς ἀποχεο-
μένῳ· μὴ πᾶν δὲ τοῦ ἄρτου μέρος, ἀλλὰ τὸ ἔνδοθεν. Μέτρον δὲ τῆς 3
διαβροχῆς οὐ τὸ ἀνοιδῆσαι μόνον, ἀλλὰ καὶ τὸ ἀποπνεῦσαι τῆς ζύ-
μης καὶ μηδὲν ἐκείνης ὀδωδέναι. Πτισάνης δὲ ἑψέσθω ἓν μέρος εἰς 4
5 πεντεκαίδεκα ὕδατος, ὑπολειπομένου δὲ κατὰ τὴν ἕψησιν τοῦ πέμ-
πτου μέρους καὶ διηθουμένου. Καὶ ἴτριον δὲ καὶ ἄρτον ξηρὸν ἕψοις 5
ἂν λεπτὸν γενόμενον σφόδρα καὶ τριβόμενον· ἑψέσθω δὲ ἐν ὕδατι
καθαρωτάτῳ ἐπὶ πλεῖστον ὥστε ἑνωθῆναι. Ἐχέτω δὲ ὀλίγον ἁλῶν 6
καὶ ἕστω ἀνέλαιον. Γίνεται δὲ καὶ ἀπὸ μαλάχης ῥόφημα, τῶν φύλ- 7
10 λων ἑψομένων τῶν νεαρῶν χωρὶς τῶν ἰνῶν, ἔπειτα τριβομένων ἐν
θυίᾳ, καὶ αὖθις ἑψομένων ὕδατι καὶ ἁλσὶ καὶ ἐλαίῳ. Τὰ δὲ ᾠὰ ἕψειν 8
δεῖ ἐν ὕδατι κινοῦντας ἀδιαπαύστως αὐτά· οὐ γὰρ συνίσταται τὰ
κινούμενα, οὐδὲ παχύνεται. Βέλτιον δὲ ἐν ὀξυκράτῳ ἕψειν· ἔτι γὰρ 9
μᾶλλον ὑγρὰ διαμένει.

l'eau chaude, qu'on jette à chaque instant pour la renouveler, seulement on
ne prendra pas tout le pain, mais la partie intérieure. On doit interrompre 3
la macération lorsque le pain, non-seulement s'est gonflé, mais qu'il a
aussi laissé évaporer le ferment et qu'il en a perdu tout à fait l'odeur. On 4
fait bouillir une partie d'orge mondée dans quinze parties d'eau; pendant
la coction, on réduit la masse du liquide au cinquième, et on la passe à
travers un tamis. On peut aussi faire bouillir de l'*itrion* ou du pain sec 5
cassés très-menus et triturés; on fait fortement bouillir ces ingrédients
dans de l'eau très-pure jusqu'à ce qu'ils constituent une masse uniforme.
On y mettra un peu de sel et point d'huile. Il se prépare encore une bouillie 6-7
avec de la mauve, dont on fait bouillir les feuilles tendres sans les ner-
vures; ensuite on les triture dans un mortier, et on les fait bouillir de
nouveau dans de l'eau avec du sel et de l'huile. Il convient de faire bouillir 8
les œufs dans de l'eau en remuant continuellement, car, si on les remue,
ils ne se prennent, ni ne s'épaississent. Il vaut mieux cuire les œufs 9
dans du vinaigre coupé, car, de cette manière, ils restent encore plus
liquides.

6. δέ om. F. — 11. ἁλί BP. — 12. ἀδιαπνεύστως BP.

λη'. Περὶ μελικράτου.

1 Τὸ μελίκρατον οὐ πάνυ τι τοῖς πικροχόλοις ὠφέλιμόν ἐστιν·
2 ἐκχολοῦται γὰρ ἐν αὐτοῖς. Συμφέρει τοίνυν ὑδαρέστερον ἐπὶ τῶν
3 τοιούτων φύσεων δίδοσθαι τὸ μελίκρατον. Ἀνεπιτήδειον δὲ καὶ τοῖς
4 ἔχουσιν ἐν πείσει τὰ σπλάγχνα. Σκευάζειν δὲ δεῖ τὸ μελίκρατον
μιγνύντας ὀκταπλάσιον τοῦ μέλιτος τὸ ὕδωρ, καὶ οὕτως ἕψοντας 5
5 ἄχρις ἂν ἀφρίζον παύσηται. Προσήκει δὲ αἴρειν ἀπὸ αὐτοῦ συνεχῶς
τὸν ἀφρὸν εὐθὺς ἅμα τῷ γεννᾶσθαι.

λθ'. Περὶ ποτημάτων τοῖς ἀῤῥωστοῦσι χρησίμων.

1 Πότημα δὲ τοῖς πυρέτουσιν ἄριστον μὲν μελίκρατον ἢ ὀξύμελι.
2-3 Καὶ τὸ ὕδωρ δὲ ἀδηκτότατον τῷ πυρέσσοντι. Τὰ δὲ ἀποβρέγματα
στύψιν ἔχοντα μάλιστα μὲν πρὸς τὰς ἐκταράξεις τῶν κοιλιῶν εἴη 10
ἂν οὐκ ἀνάρμοστα, καὶ πρὸς τοὺς ἐμέτους δὲ οἷς ἥ τε τοῦ μέλιτος

38. DE L'EAU MIELLÉE.

1 L'eau miellée n'est pas très-profitable aux gens tourmentés par la bile
2 amère; car, chez eux, cette eau se convertit en bile. Il convient donc,
pour de telles constitutions, de donner de l'eau miellée qui soit plutôt
3 aqueuse. Cette boisson ne convient pas non plus aux gens dont les vis-
4 cères sont dans un état de souffrance. On prépare l'eau miellée en mêlant
au miel huit fois autant d'eau; ensuite on fera bouillir le mélange jusqu'à
5 ce qu'il cesse de produire de l'écume. Il faut ôter constamment l'écume
aussitôt qu'elle se forme.

39. DES BOISSONS QUI CONVIENNENT AUX MALADES.

1 La meilleure boisson pour les fébricitants est l'eau miellée ou le vi-
2 naigre miellé. En outre, l'eau pure n'a pas la moindre tendance à pro-
3 duire des picotements chez les fébricitants. C'est surtout contre les flux
du ventre que les boissons préparées par macération, et douées d'astrin-
gence, ne sont pas prescrites inopportunément, ainsi que contre les vo-

Ch. 38; l. 1. ἐστιν om. A. — 4. δεῖ μιγν. BFP. — 5. ἕψην A. — 6. ἄχρι om. BFP. — 4-5. μελικρ. κἂν ὀκταπλ. περ ἂν BP.

καὶ τοῦ ὀξυμέλιτος προσάντης ἐστίν. Ἀποβρέχοιτο δὲ ἂν κατὰ ὥραν 4
τά τε ἠρινὰ γλυκύμηλα τμηθέντα λεπτὰ ἔστε ἂν εὖ μάλα τὸ ὕδωρ
χρώσῃ· ἢ τῶν κυδωνίων μήλων τὰ πέπονα τέμνοντα ὡσαύτως
ἀποβρέχειν. Διδόναι δὲ μάλιστα τοῖς χολεμετοῦσι τὸ ἀπὸ τῶν μήλων, 5
5 καὶ πρὸς τὰς κοιλίας. Καὶ ἀπίους δὲ ἀποβρέχειν ὅσαι στρυφναὶ καὶ 6
γλυκεῖαί εἰσιν. Τὰ δὲ ἁπαλὰ μύρτα βραχέντα γλυκεῖ οἴνῳ ἀηδὲς 7
μὲν τῇ πόσει, ἄδηκτον δὲ καὶ λεῖον τὸ πόμα. Ἀποβρέχεται δὲ καὶ 8
τὰ γίγαρτα ἐρειχθέντα· μᾶλλον δὲ τὸ ἀφέψημα αὐτῶν χρησιμώ-
τερόν ἐστιν, οὐδεμίαν δριμύτητα, οὐδὲ ὀξύτητα ἔχον.

μ'. Περὶ γαλακτοποσίας. Ἐκ τῶν Ῥούφου.

10 Τῷ δὲ γαλακτοποτοῦντι τῶν ἄλλων σιτίων ἀφεκτέον ἐστίν, ἔστε 1
ἂν πεφθῇ τε καὶ διαχωρήσῃ κάτω. Ἄμεινον οὖν ἕωθεν πίνειν νεό- 2
βδαλτον, καὶ ἀσιτεῖν ἐπὶ αὐτῷ, καὶ τῶν πόνων τῶν ἄγαν ἀφαιρεῖν

missements, cas dans lesquels l'usage du miel et du vinaigre miellé est
contraire. On fera macérer, dans la saison appropriée, des pommes du 4
printemps douées d'un goût sucré, coupées très-menu, jusqu'à ce
qu'elles aient communiqué à l'eau une couleur très-prononcée; ou bien
on coupera et on fera macérer de la même manière des coings mûrs. On 5
doit surtout donner la boisson aux pommes à ceux qui vomissent de la
bile, ainsi que pour resserrer le ventre. On fera également macérer les 6
poires d'un goût sucré et d'une âpreté très-prononcée. Si on fait ma- 7
cérer des baies de myrte fraîches dans du vin d'un goût sucré, on obtient
un liquide désagréable à boire, il est vrai, mais qui ne produit pas de
picotements et qui coule aisément. On fait macérer aussi les pepins du 8
raisin, après les avoir écrasés; mais la décoction de ces pepins est pré-
férable à la macération, parce qu'elle n'a aucune âcreté ou acidité.

40. DE LA MANIÈRE DE BOIRE DU LAIT. — TIRÉ DE RUFUS.

Celui qui boit du lait doit s'abstenir des autres aliments, jusqu'à ce 1
que le lait soit digéré et qu'il ait passé par le bas. Le mieux donc est de 2
le prendre le matin, immédiatement après qu'il est trait, de s'abstenir

4. δὲ ταῦτα μάλ. BP. — Ib. τό om. Codd. Cf. t. I, p. 427. — Ch. 40; l. 10. δέ om. BP. — 11. διαχωρηθῇ F; διαχωρήθη P. — 12. τὸν πόνον τόν Codd.

τηνικαῦτα, ὅτι πονοῦσιν ἀνάγκη ὀξύνεσθαι, ἀλλὰ ἡσυχῇ περιπατῆσαι ἄμεινον, καὶ μεταξὺ ἀγρύπνως ἀναπαύεσθαι· οὕτω γὰρ ποιοῦντι τὰ πρῶτα διαχωρεῖ· διαχωρήσαντος δὲ, ἄλλο πίνειν, καὶ
3 εἰ τοῦτο διαχωρήσαι, ἄλλο. Κατὰ ἀρχὰς μὲν οὖν καθαίρει χρησίως, οὐδὲν μὲν πολὺ τοῦ ἄλλου ὄγκου, ὅσα δὲ ἐν τῇ κοιλίᾳ ἔσω ἐσίν· 5 μετὰ δὲ αὐτὸ ἤδη εἰσέρχεται εἰς τὰς φλέβας, καὶ τρέφει κάλλισα,
4 καὶ οὐκ ἔτι διαχωρεῖ. Τοῖς δὲ χολώδεσι ῥεύμασι, καὶ ὅσαι συντήξεις ἐπὶ γασέρα συννεύουσιν, ἕψοντα διδόναι τοῦ γάλακτος· ἕψειν δὲ τὸ μὲν πρῶτον ἡσυχῇ καὶ ἐπὶ ὀλίγον, ὡς μέρος μέν τι διαχωρῆσαι, μέρος δέ τι σχεθῆναι· μετὰ δὲ ἔτι μᾶλλον καὶ μᾶλλον ἕψειν, 10
5 φυλατόμενον μήτε κατακαίειν, μήτε τυρὸν ἐξ αὐτοῦ ποιεῖν. Φυλακὴ δὲ ἀρίση μαλακῶς τε ἕψειν καὶ τῇ κινήσει τὸ ἐφισάμενον ἀποξύειν πάντοθεν· κινεῖν δὲ νάρθηκι λείῳ καὶ λεπτῷ, καὶ, ἤν τι

ensuite d'aliments, et de diminuer les exercices trop violents, parce que le lait s'aigrit nécessairement lorsque l'on fait des efforts; il est préférable de se promener doucement et de se reposer par intervalles, sans dormir, car c'est le moyen qu'il passe par le bas aussi vite que possible; quand la première portion a passé, il faut en prendre une seconde,
3 et, quand cette dernière a également passé, encore une autre. Au commencement donc, le lait purge avec avantage; cependant les selles qu'il produit ne contiennent pas beaucoup de matières empruntées au reste du corps, mais elles se composent de matières renfermées auparavant dans l'intérieur des intestins; plus tard, le lait entre lui-même dans les
4 veines, il nourrit très-bien, et ne passe plus par le bas. Contre les flux bilieux, ainsi que contre les fontes du corps qui se rassemblent dans le tube intestinal, il convient de donner du lait bouilli; on le fera d'abord bouillir peu et doucement, de façon qu'une partie passe par les selles et que l'autre soit retenue; plus tard, on le fera bouillir de plus en plus,
5 en évitant qu'il ne brûle ou qu'il ne se transforme en fromage. La meilleure manière d'éviter ces inconvénients est de le cuire doucement, et de racler de tous côtés, en le remuant, les grumeaux qui se forment à la surface; on se servira, à cet effet, d'une tige de férule lisse et mince,

2. ἀγρυπνῶν Codd. Cf. t. I, p. 166. — 3. ἄλλο om. BP. — 5. πολύ om. BP.

ἐφιζήσῃ τοῖς χείλεσι τοῦ ἐχίνου, καὶ τοῦτο σπόγγῳ καθαίρειν· πολλάκις γὰρ ἐνθένδε καὶ τὸ ἄλλο διεφθάρη. Ἕψειν οὖν ὡς εἴρη- 6
ται τὸ γάλα μέχρι παχύτερόν τε ὁμαλῶς καὶ γλυκύτερον τοῦ ὠμοῦ γένηται.

μα'. Περὶ ὑδάτων.

5 Δεῖ δὲ καὶ τῆς τῶν ὑδάτων ἀρετῆς τε καὶ κακίας ἐμπείρους εἶ- 1
ναι· πολύχρησία γὰρ τὰ ὕδατα σχεδὸν ἁπάντων μᾶλλόν ἐσιν εἰς ἅπασαν τὴν δίαιταν. Εἰδέναι χρὴ τοίνυν τὸ ἄρισιον ὕδωρ ἀποιότα- 2
τον εἶναι κατὰ γεῦσιν καὶ κατὰ ὀσμήν· εὐθὺς δὲ τοῦτο καὶ ἥδισιον ὑπάρχει τοῖς πίνουσι καὶ ὀφθῆναι καθαρόν. Ὅταν δὲ καὶ ὑποχωρῇ 3
10 τῶν ὑποχονδρίων ταχέως, μηδὲ ζητεῖν ἕτερον ἄμεινον· τὰ γὰρ ἐν τοῖς ὑποχονδρίοις χρονίζοντα καὶ τὴν γασιέρα πλήτιοντα καὶ ἐμφυ-

et on ôtera avec une éponge ce qui pourrait s'attacher au pourtour de la casserole, car c'est là souvent le point de départ d'une corruption totale du lait. Faites donc bouillir le lait comme je viens de le dire, jusqu'à 6
ce qu'il ait acquis une épaisseur uniforme et un goût sucré plus forts que ceux du lait crû.

41. DE L'EAU.

On doit être versé dans la connaissance des bonnes et des mauvaises 1
qualités des eaux, car, pour tout ce qui regarde le régime, l'eau est, peu s'en faut, d'un usage plus commun qu'aucune autre chose. Sachez donc 2
que la meilleure eau est complétement exempte de toute qualité, aussi bien sous le rapport du goût que sous celui de l'odorat; par une conséquence nécessaire, une pareille eau est très-agréable à boire, et d'une transparence irréprochable. Si, de plus, elle traverse rapidement les hy- 3
pocondres, on en chercherait vainement une meilleure; car les eaux qui séjournent longtemps dans les hypocondres, qui paralysent, gonflent et surchargent l'estomac, doivent être considérées comme à moitié

1. ἐφιζήσῃ Aët.; ζέσῃ Codd. — Ib. BP. — 8. κατὰ τὴν γ. F. — 10. μήτε An καθαιρεῖν? — Ch. 41; l. 6. μάλισιά P; μή BF. Cf. t. I, p. 304.

σῶντα καὶ βαρύνοντα, τῶν προειρημένων ἀγαθῶν ὑπαρχόντων, ἡμιμόχθηρα νομιστέον· οὔτε γὰρ θερμαίνεται ταχέως, οὔτε ψύχεται τὰ τοιαῦτα τῶν ὑδάτων, ἀλλὰ καὶ τὰ ἐν αὐτοῖς ἑψόμενα βραδύτατα καὶ κάκιον ἕψεται. Βέλτιον μὲν οὖν τῇ πείρᾳ κρίνειν τὸ 4
5 τοιοῦτον ὕδωρ· ὁ δὲ βουλόμενος καὶ διὰ γνωρισμάτων διαγινώσκειν τοῖς ῥηθησομένοις κρινέτω· τὰ μὲν γὰρ πρὸς ἄρκτους ἐστραμμένα καὶ τὸν ἥλιον ἀπεστραμμένα βραδύπορά τέ ἐστι καὶ ἀτέραμνα καὶ θερμαίνεται καὶ ψύχεται βραδέως· τὰ δὲ πρὸς ἀνατολὰς καὶ διὰ πώρου τινὸς ἢ γῆς ἠθούμενα, τάχιστα θερμαινόμενα καὶ ψυχό-
10 μενα, ταῦτα ἐλπίζειν χρὴ εἶναι κάλλιστα. Καλὰ δὲ καὶ ὅσα θέρους μὲν 5
ψυχρότερα, χειμῶνος δὲ θερμότερα. Τινὲς δὲ καὶ σταθμῷ δοκιμά- 6
ζουσι, τὰ κοῦφα νομίζοντες ἀμείνω· τοῦτο δὲ εἰ μὲν πρὸς τοῖς ἄλλοις ὑπάρχει τοῖς εἰρημένοις, ἐπαινεῖν· μόνον δὲ οὐκ ἐξαρκεῖ τεκμήριον εἶναι τῶν ἀγαθῶν. Κουφότατα δέ, ὥς φησιν Ἱπποκράτης, 7

mauvaises, lors même qu'elles possèdent les bonnes qualités que nous venons d'énumérer : en effet, de telles eaux ne s'échauffent ni ne se refroidissent rapidement, et, en outre, les substances qu'on y fait cuire arrivent plus mal et très-lentement à un degré suffisant de cuisson. Le 4
meilleur est donc de juger une pareille eau d'après l'expérience; cependant celui qui veut la distinguer aussi à l'aide de signes pourra la juger à ceux que nous allons énumérer : les eaux dont les sources sont tournées vers les constellations des Ourses, de manière à avoir le soleil derrière elles, sont dures, passent lentement et s'échauffent et se refroidissent tardivement; au contraire, on peut s'attendre à trouver excellentes les eaux qui sont tournées vers le levant et qui sourdent à travers quelque pierre molle, ou à travers la terre, attendu qu'elles s'échauffent et se refroidissent très-rapidement. Ce sont encore de bonnes eaux que celles 5
qui sont plus froides en été et plus chaudes en hiver. Il y a aussi des 6
gens qui estiment l'eau d'après le poids et admettent que les eaux légères sont les meilleures; si ce signe vient s'ajouter à ceux que nous venons d'énumérer, il faut l'accueillir comme bon, mais, à lui seul, il est insuffisant pour prouver la bonne qualité des eaux. Ainsi que le dit Hippocrate, 7

4. μέν om. BP. — 5-6. γιν. BP. — 8. καί post ἀν. ad Eun.; om. Codd.

τὰ ὄμβρια καὶ γλυκύτατα καὶ λαμπρότατα καὶ λεπτότατα, διότι ὑπὸ
τοῦ ἡλίου τὸ κουφότατον ἕλκεται καὶ λεπτότατον· ἀνάγει δὲ οὐκ
ἐκ μόνων τῶν ἄλλων ὑδάτων, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάσσης κἀκ
τῶν σωμάτων αὐτῶν· διὸ καὶ εὐσηπτότατόν ἐστι πάντων, ὡς ἂν
5 ὑπὸ διαφόρων καὶ πλειόνων ποιοτήτων συνιστάμενον. Μή τις δὲ 8
ὑπολάβῃ κάκιστον εἶναι τὸ εὔσηπτον ὕδωρ· τὸ γὰρ εὐαλλοίωτον
πρὸς ἀρετῆς μᾶλλόν ἐστιν ἢ κακίας, ὥστε ὅταν ἔχῃ τὰ γνωρίσματα
τῶν ἀρίστων ὑδάτων, κἂν εὔσηπτον ὑπάρχῃ, κάλλιστον ὑποληπτέον.
Σήπεσθαι δὲ ἀρχόμενον τοῖς πιοῦσιν αἴτιον βράγχων τε καὶ βη- 9
10 χῶν καὶ βαρυφωνίας καθίσταται. Τούτων δὲ τῶν ὀμβρίων ὑδάτων 10
τὸ θερινὸν τοῦ λαιλαπώδους ἄμεινόν ἐστι, καὶ τὸ βρονταῖον. Τὰ 11
δὲ ἀπὸ κρυστάλλων καὶ χιόνος πονηρότατα· κατὰ γὰρ τὴν πῆξιν
τοῦ ὕδατος πᾶν τὸ λεπτομερέστερον ἐκθλίβεται. Καλῶς δὲ ἂν ἔχοι 12

(*Airs, eaux et lieux*, § 8, t. II, p. 32), les eaux de pluie sont les plus légères, les plus douces, les plus transparentes et les plus ténues, parce que le soleil attire la partie la plus légère et la plus ténue de l'eau; il exerce cette action aussi bien sur la mer que sur les autres eaux, et même sur le corps humain : pour cette raison les eaux de pluie sont aussi, entre toutes, celles qui se pourrissent le plus facilement, attendu qu'elles tirent leur origine de qualités diverses et plus nombreuses que ne le font les autres. Gardez-vous de croire que l'eau qui se corrompt aisément est la plus mau- 8
vaise, car la propriété de modifier facilement ses qualités doit lui être imputée plutôt comme un avantage que comme un défaut : si donc une eau quelconque présente, du reste, les meilleurs signes, il faut la regarder comme excellente, lors même qu'elle se corrompt facilement. Quand 9
l'eau commence à se pourrir, elle est, pour ceux qui la boivent, une source d'enrouement, de toux et d'abaissement du ton de la voix. Les 10
eaux de pluie qui tombent en été, ou quand il tonne, sont meilleures que celles qui tombent pendant une tempête. Les eaux qui proviennent 11
des glaces et de la neige sont très-mauvaises; en effet, quand l'eau se congèle, tout ce qu'elle contient de plus subtil en est exprimé. Il sera 12
bon de corriger, avant de les boire, les eaux vaseuses, qui ont une mau-

1. διότι Paul; διόπερ Codd. — 5. δέ om. BP. — 9. Σήπεσθαι..... αἴτιον om. B text. FP. — 11. βροντιαῖον F. 2ª. m.

τά τε ἰλυώδη καὶ δυσώδη καὶ τὰ ποιότητας ἀτόπους ἔχοντα ταῖς ἑψήσεσιν ἐπὶ τὸ βέλτιον τρέποντας οὕτω πίνειν, καὶ κεραννύντας οἴνῳ, τὰ μὲν σφρυφνὰ τῷ γλυκυτέρῳ, τὰ δὲ ἄλλα τῷ σφρυφνοτέρῳ· τὰ δέ που καὶ ἠθεῖν συμφέρει, τὰ ἰλυώδη· τὰ δὲ ἁλυκὰ καὶ ἁλφίτοις ἠθεῖν· τὰ δὲ ἄγαν ψυχρὰ μετὰ τροφὴν πίνειν, καὶ μηδὲ ἀθρόως, 5
13 μηδὲ χανδὸν, μηδὲ ἄοινα. Τινὲς δὲ ἐξευρήκασι βρωτὰ καὶ ποτὰ πρὸς τὰς τῶν ὑδάτων κακίας ἰάματα, καὶ οἱ μὲν ἐρεβίνθων ἀφεψήματα προπίνουσι, καὶ αὐτῶν ἐσθίουσιν, οἱ δὲ καυκαλίδας ὡσαύτως μετά τινος ἰχθυδίου ἑφθοῦ, καὶ μάραθρα ὁμοίως· οἱ δὲ τεῦτλα καὶ κολοκύνθας προεσθίουσι μετὰ ἅλμης οἴνῳ κεκραμένης. 10

vaise odeur ou des qualités extraordinaires, soit en les faisant bouillir, soit en y mêlant du vin; à cet effet, on ajoutera aux eaux fortement astringentes, du vin d'un goût plus ou moins sucré, et aux autres du vin suffisamment astringent; il y a aussi des eaux qu'il convient de filtrer, ce sont les eaux vaseuses; on filtrera les eaux salées à travers de l'alphiton; les eaux très-froides doivent être bues après le repas, et on ne les boira ni en grande quantité du même coup, ni d'un seul trait, ni sans y mettre
13 du vin. Certaines personnes ont découvert des aliments et des boissons qui remédient aux mauvaises qualités des eaux; à cet effet, les unes boivent préalablement une décoction de pois chiches, ou mangent ce légume lui-même; d'autres emploient de la même manière la petite boucage ou le fenouil, en y ajoutant quelque poisson bouilli; d'autres encore mangent auparavant de la bette, ou des courges avec un mélange de vin et d'eau salée.

4. τὰ δὲ ante ἁλ.] καί B text. FP. — 7-8. ἀφεψήματα *ad Eun.*; ἀφεψήματι F; ἑψήματα BP. — 9. ἑφθούς F. — 10. κολοκύνθην BP. — Ib. ἐν οἴνῳ Codd.

ΒΙΒΛΙΟΝ Ε'.

α'. Περὶ τῶν συμβαινόντων ταῖς κυούσαις, καί πως αὐτὰς δεῖ διαιτᾶν.

Τῶν συμπιπτόντων ταῖς κυούσαις ἐπειδὴ ταῦτα μάλιστα ἐνοχλεῖ, 1
τὸ περισσαίνειν καὶ συνεχῶς ἐμεῖν καὶ πτυελίζειν καὶ καρδιώσσειν
καὶ ἀποσιτεῖν, οὐ χεῖρον καὶ πρὸς ταῦτα ὑποθήκας γράψαι. Περί- 2
πατοι, σιτία μήτε ἄγαν στρυφνὰ, μήτε ἄγαν γλυκέα, καὶ οἶνοι
5 κιρροὶ καὶ εὔοσμοι, πενταετεῖς μάλιστα, καὶ τὸ μέτριον ποτὸν,
ταῦτα πάντα τοῦ περισσαίνειν καὶ τοῦ ἐμεῖν ἰάματά ἐστιν· ὡς δὲ
φάρμακα, πολύγονον μὲν τὴν πόαν ἐν ὕδατι ἕψοντα πίνειν, καὶ
ἄνηθον ὡσαύτως, καὶ τῆς ποντικῆς ῥίζης· καλεῖται δὲ ἐπιχωρίως
ῥᾶ· τοῦτο δὲ καὶ ἐπὶ τῷ σίτῳ καὶ πρὸ τοῦ σίτου λαμβάνειν· ἔξωθεν

LIVRE V.

1. DES ACCIDENTS QUI ARRIVENT AUX FEMMES ENCEINTES ET DU RÉGIME QU'ON DOIT LEUR PRESCRIRE.

Comme, parmi les accidents qui surviennent aux femmes enceintes, 1
ceux qui leur arrivent le plus ordinairement sont la surcharge [de l'estomac], les vomissements fréquents, la salivation, la cardialgie et l'aversion pour les aliments, il ne sera pas trop mauvais de donner aussi des conseils contre ces accidents. Des promenades, des aliments ni trop forte- 2
ment âpres, ni d'un goût trop sucré, des vins paillets et odoriférants, surtout ceux de cinq ans, la modération dans les boissons, sont autant de remèdes contre la surcharge de l'estomac et contre les vomissements; à titre de médicaments, on boira la renouée ou l'aneth bouillis dans l'eau, ou aussi la racine du Pont qu'on appelle dans sa patrie *rha;* on pourra encore manger cette racine après et avant le repas; à l'extérieur,

CH. 1; l. 3. ἀσιτεῖν Codd. Cf. t. III, p. 104. — 5. μάλ. ἁρμόττουσι καί F. — 5-6. καὶ τὸ..... ἐμεῖν om. BP. — 9. δέ om. Codd. Cf. t. III, p. 104.

δὲ οἰνάνθην καὶ βαλαύσιον, καὶ κυτίσου καὶ σμυρνίου κόμην καὶ
μαράθρου σπέρμα, κοινῇ τε καὶ ὡς ἂν μίσγειν ἐθέλῃς, μετὰ φοινί-
3 κων καὶ οἴνου παλαιοῦ καταπλάσσειν τὸ προκάρδιον. Τοὺς δὲ καρ-
διωγμοὺς ἐπικουφίζει τό τε ἐπιῤῥοφεῖν θερμοῦ ὕδατος, καὶ τὸ ἡσυχῇ
4 περιπατῆσαι, καὶ τὸ σκεπάζειν τὸ ὑποχόνδριον ἐρίῳ μαλακῷ. Τὰς 5
δὲ ἀποσίτους προτρέποι ἂν ἐσθίειν τά τε ποικίλα σιτία, καὶ τὰ
5 πρὸς ἡδονὴν, καὶ ἄμυλον ξηρόν. Καὶ μᾶλλον ἂν τοῦτο συνενέγκαι
6 ταῖς ἐπιθυμούσαις γῆν ἐσθίειν. Εὔσιτοι δὲ καὶ οἱ πόνοι καὶ αἱ μα-
7 κρότεραι ἀποδημίαι. Ἥ τις δὲ εἰθίσθη ἀταλαιπώρως διαιτᾶσθαι,
8 κύουσα αὕτη οὐ χρησίως ἤνεγκε τὰς ἐξαπιναίους κινήσεις. Καὶ τὸ 10
δριμέων δέ ποτε ἀπογεύεσθαι, καὶ μάλισα νάπυος, ἐπιτήδειον τῇ
9 ἀποσίτῳ.—Πρὸς δὲ τὰ οἰδήματα τῶν ποδῶν ἐξαίρετα ἀνθυλλὶν ὄξει
βεβρεγμένην ἐπιδεῖν, καὶ φύλλα κράμβης πλατέα ἐπιτιθέναι, καὶ

on appliquera, sur la région de l'orifice de l'estomac, des cataplasmes faits avec des fleurs de vigne sauvage ou de grenadier sauvage, les feuilles de luzerne en arbre ou de smyrnium, ou de la graine de fenouil, soit qu'on prenne tous ces médicaments ensemble, soit qu'on les associe d'une autre façon quelconque, pourvu qu'on y ajoute des dattes et du
3 vin vieux. On calme la cardialgie en buvant à petits traits de l'eau chaude après [le repas], en se promenant doucement, et en recouvrant l'hypo-
4 condre de laine molle. On excitera à manger les femmes qui ont de l'aversion pour les aliments par la variété des mets, par ceux qui servent
5 à flatter le goût, et par l'amidon sec. Ce dernier remède est surtout utile
6 pour les femmes qui ont envie de manger de la terre. Les fatigues et les voyages plus ou moins lointains sont encore un moyen pour exciter l'ap-
7 pétit. Mais une femme qui est habituée à vivre sans se fatiguer ne supporte pas impunément, pendant sa grossesse, des mouvements soudains.
8 Il convient aussi aux femmes grosses, qui ont de l'aversion pour les aliments, de goûter parfois quelque substance âcre, et surtout de la mou-
9 tarde.—Il y a, pour les gonflements des pieds, des traitements spéciaux, qui consistent à lier, sur cette partie, de l'*anthyllis* macéré dans du vi-

2. *ἐθέλοι* Codd. Cf. t. III, p. 104. — 7. *καί* ante *ἁμ.* om. F. — Ib. *προσενέγκαι* F. — 9. *εἴθισται* B; *εἰθίσθαι* P. — 11. *δή* BP. — Ib. *γεύεσθαι.* BP. — 12. *ἀνθήλην* Codd. Cf. t. III, p. 107. — Ib. *ὄξει* om. BP.

γῆν κιμωλίαν μετὰ ὄξους ἐπιχρίειν, καὶ σιυπληρίαν μετὰ ὄξους ὡσαύτως. Ἀγαθὸν δὲ καὶ τῶν μηδικῶν καλουμένων μήλων ἑψήσασαν 10 ἐν ὕδατι καταιονίζειν τοὺς πόδας.

β'. Περὶ τιτθῆς.

Αἱρεῖσθαι χρὴ τὴν τιτθὴν μηδὲ ὁτιοῦν νόσημα ἔχουσαν, μήτε 1
5 ἄγαν νεωτέραν, μήτε ἄγαν πρεσβυτέραν. Ἔσιω δὲ ἡ μὲν νεωτάτη 2
ἐτῶν κε', ἡ δὲ πρεσβυτάτη ἐτῶν λε'. Καὶ σιῆθος μέγα ἐχέτω καὶ 3
τιτθοὺς μεγάλους, καὶ θηλὰς μήτε μεμυκυίας, μήτε ἀπεσιραμμένας. Ἔσιω δὲ καὶ τὸ ἄλλο σῶμα μήτε πίων ἰσχυρῶς, μήτε ὑπέρ- 4
λεπιος. Μέγα δέ ἐσιι τῷ παιδίῳ καὶ τὸ τὴν τιτθὴν μὴ πάλαι τε- 5
10 τοκυῖαν εἶναι, καὶ ἄῤῥεν μᾶλλον. Φυλασσέσθω δὲ καὶ τὰ πάνυ 6
ξηραίνοντα καὶ τὰ ἁλυκὰ καὶ δριμέα καὶ σιρυφνὰ καὶ ὀξέα καὶ πικρὰ καὶ ἰσχυρῶς θερμαίνοντα, καὶ τὰ πάνυ δύσοσμα, καὶ τὰς

naigre, à mettre dessus des feuilles de chou larges, et à y faire des onctions avec de la terre de Cimole, ou de l'alun délayés dans du vinaigre. Il est 10 bon aussi de pratiquer sur les pieds des affusions avec de l'eau dans laquelle on a fait bouillir des pommes dites de Médie (*citrons*).

2. DE LA NOURRICE.

On choisira une nourrice qui n'ait pas la moindre maladie, et qui ne 1 soit ni trop jeune ni trop vieille. La nourrice la plus jeune doit avoir 2 vingt-cinq ans, et la plus âgée trente-cinq. Qu'elle ait la poitrine grande 3 et les seins développés, et que les papilles ne soient ni closes ni tournées de côté. Pour le reste du corps, elle ne sera ni très-grasse, ni excessive- 4 ment maigre. C'est un point important pour l'enfant que l'accouchement 5 de la nourrice ne date pas de trop longtemps, et on préférera celle qui aura mis au monde un garçon. Elle évitera aussi les mets fortement 6 desséchants, ainsi que les aliments salés, âcres, fortement astringents, acides, amers ou très-échauffants; elle évitera encore les ingrédients qui ont une très-mauvaise odeur, les parfums qui ont une vertu prononcée,

1. τὴν Codd. Cf. t. III, p. 107. — καὶ κθ' BFP. Cf. t. III, p. 120. — Ib. Cu. 2; l. 4. τὴν om. BP. — 6. κε'] κε' μέγα] μέσον BP.

7 ἐπισήμους εὐωδίας τε καὶ ἀρτύσεις, καὶ τὰ ἄλλα τὰ δριμέα. Ἀπε-
χέσθω δὲ ἡ τιτθὴ καὶ λαγνειῶν καὶ πονείτω ἀπὸ τῶν χειρῶν καὶ
8 τῶν ὤμων. Ἀλεσάτω οὖν καὶ ὑφηνάτω καὶ ἐπὶ ἀγκάλης ἔχουσα τὸ
παιδίον περιελθέτω· φέρειν δὲ ἐπὶ ἀγκάλης τρίμηνα καὶ τετρά-
μηνα. 5

γ'. Περὶ τοῦ τῆς τροφοῦ γάλακτος.

1 Γάλα δὲ βέλτιόν ἐστι τὸ σύμμετρον πάχει καὶ πλήθει, χρόᾳ,
ὀσμῇ, γεύσει· χρήσιμον δέ ἐστι καὶ τὸ ἐπὶ τοῦ ὄνυχος ἐπιστάζό-
μενον τοῦ μεγάλου δακτύλου, ὑπὸ τὴν αὐγὴν θεωρούμενον ὅταν ἐν
2 τῷ ἀποκλίνειν τὸν ὄνυχα μήτε ταχέως, μήτε βραδέως ἀπορρέῃ. Δο-
κιμάζειν δὲ καὶ οὕτως· ἐγχέαντα τὸ ὀγδοημόριον τοῦ γάλακτος εἰς ἀγ- 10
γεῖον ὑέλινον, ἐμβάλλειν ταμίσου τὸ σύμμετρον καὶ διαθλῖψαι τοῖς
δακτύλοις, εἶτα ἐάσαντα ἕως οὗ παγῇ θεωρεῖν εἰ ἔλατον τὸ τυρῶδες

7 les assaisonnements relevés, et toutes les autres choses âcres. La nourrice devra aussi s'abstenir des rapprochements sexuels et faire des exer-
8 cices avec les bras et les épaules. Ainsi elle moudra, tissera et se promènera en tenant l'enfant dans ses bras; mais elle ne portera que des enfants de trois ou quatre mois.

3. DU LAIT DE LA NOURRICE.

1 Le meilleur lait est celui qui offre des conditions moyennes, sous le rapport de l'épaisseur, de la quantité, de la couleur, de l'odeur et du goût; lorsqu'on laisse tomber quelques gouttes de lait sur l'ongle du pouce et qu'on le regarde au grand jour, s'il ne s'écoule ni vite, ni lentement quand on abaisse le doigt, c'est aussi une preuve que le lait est
2 bon. On fera encore l'épreuve suivante : on versera le huitième d'une cotyle de lait dans un vase en verre, on y ajoutera une quantité moyenne de présure, et on écrasera avec les doigts, puis on abandonnera le mélange à lui-même jusqu'à ce qu'il se coagule; ensuite on examinera si

1-2. Ἀπέσθω BP. — 3. ὑφανάτω F. — Ch. 3; l. 7. τό om. B. — 9-10. Χρήσιμον δοκιμ. Codd. Cf. t. III, p. 132. — 10. δέ om. F. — Ib. καί om. BP. — Ib. ἐγχέοντα Codd. Cf. t. III, p. 132. — Ib. ὀγδοον μόριον F. — 11. τε ἀνίσου Codd. Cf. t. III, p. 132. — 12. ἐάσαντας F; ἐάσαντες BP. Cf. t. III, p. 132. — Ib. οὗ om. Codd. Cf. t. III, p. 132.

τοῦ ὀρώδους· τὸ γὰρ τοιοῦτον γάλα ἄχρηστον· τὸ δὲ ἐναντίον δύσπεπτον· ἄριστον δὲ τὸ σύμμετρα ἔχον ἀμφότερα.

δ'. Πῶς διορθωτέον τὰς κακίας τοῦ γάλακτος.

Τὰς δὲ κακίας τοῦ γάλακτος διορθοῦν χρὴ ὧδε· εἰ μὲν τύχοι παχύτερον, ἐμέτοις ἐξελεῖν δεῖ τοῦ φλέγματος· ἄριστοι δὲ οἱ ἐπὶ τῷ ὀξυμέλιτι. Δεῖ δὲ καὶ τοῖς πόνοις λεπτῦναι τοῖς πρὸ τῶν σιτίων. Ἐνταῦθα δήπου καὶ ὀρίγανον καὶ ὕσσωπον καὶ ἡ θύμβρα καὶ ὁ σκάνδιξ καὶ ὁ θύμος ἐπιτήδεια, καὶ ῥαφανὶς ὀλίγη, καὶ τάριχος παλαιὸν μετὰ ὀξυμέλιτος. Εἰ δέ που γένοιτο δριμύτερόν τε καὶ λεπτότερον, ἐνταῦθα τῶν μὲν πόνων κουφίζειν τῶν πολλῶν, εὐωχεῖν δὲ τὴν τιτθὴν ῥοφήμασί τε καὶ κρέασι χοίρων, καὶ σίραιον διδόναι πίνειν καὶ οἶνον γλυκύν· εἰ δὲ ἧσσον γένοιτο, τῶν τε ρο-

l'élément caséeux est moins abondant que l'élément séreux; dans ce cas le lait n'est pas nourrissant; celui qui présente des conditions opposées est difficile à digérer; le meilleur est celui qui contient une quantité moyenne des deux éléments.

4. COMMENT IL FAUT CORRIGER LES MAUVAISES QUALITÉS DU LAIT.

Les mauvaises qualités du lait devront être corrigées de la manière suivante : si le lait est trop épais, on enlèvera de la pituite à l'aide de vomissements, et les meilleurs sont ceux qu'on excite avec l'oxymel. Il faut aussi atténuer à l'aide d'exercices faits avant le repas. C'est dans ces circonstances que l'origan, l'*hysope*, le *thymbre*, l'aiguillette et le *thym* conviennent, ainsi qu'une petite quantité de raifort, et de la salaison vieille prise avec de l'oxymel. Si parfois le lait devient trop âcre et trop ténu, on diminuera les exercices trop multipliés; on donnera à la nourrice des mets agréables, par exemple des bouillies, de la viande de jeune porc, et, pour boisson, du vin doux cuit et du vin d'un goût sucré; si cette mauvaise qualité du lait existe à un moindre degré, on adminis-

1. χρηστόν Codd. Cf. t. III, p. 132. — Ch. 4; l. 4. ἄριστον Codd. Cf. t. III, p. 126. 5. δή BP. — Ib. τοῖς post λεπτῦναι om. Codd. Cf. t. III, p. 126. — 6. θύμβρη F. — 8. τε om. F. — 10. τε om. F.

φημάτων προσφέρειν καὶ δαψιλέστερον διαιτᾶν καὶ οἶνον διδόναι
5 πίνειν γλυκὺν καὶ ἀνατρίβειν στῆθος καὶ τιτθούς. Ταῖς δὲ ἂν καὶ
6 σικύα προσβαλλομένη παράσχοι τὸ δέον. Τὰ δὲ φάρμακα οἷς ἄγουσι
γάλα, ὅτι μὲν ἀνύει τι, οἶδα· οὐ μὴν συνεχῶς χρῆσθαι αὐτοῖς κε-
λεύω· συντήκει γὰρ βιαιότερον· ἔστι δὲ μαράθρου τε ῥίζα καὶ ὁ 5
καρπὸς ἡψημένα ἐν πτισάνῃ, καὶ κυτίσου φύλλα ἐν οἴνῳ μέλανι ἢ
πτισάνῃ, καὶ μελάνθιον ἐν γλυκεῖ, καὶ ἄνηθον, καὶ σταφυλίνου ῥίζα
7 καὶ ὁ καρπός. Χρὴ δὲ θερμῷ προαιονήσαντας οὕτω προσφέρειν.
8 Πᾶν μέντοι τὸ πονηρὸν γάλα, καὶ εἰ παχὺ εἴη ἢ δριμύ, καὶ εἰ
δυσῶδες, προαμέλξασαν οὕτω προστίθεσθαι τὸ παιδίον· τὸ δὲ δριμὺ 10
9 μηδέποτε ἄσιτον διδόναι. Τὰς δὲ δυσωδίας κἂν οἶνος εὐώδης, κἂν
σιτίον ἡδὺ διορθοῦν δύναιτο.

trera des bouillies, on prescrira un régime assez abondant, on donnera
à boire du vin d'un goût sucré, et on frottera la poitrine et les mamelles.
5 Chez certaines femmes, l'application d'une ventouse produira l'effet dé-
6 siré. Je sais que les médicaments administrés pour pousser au lait pro-
duisent de l'effet, cependant je n'ordonne pas d'y recourir constamment,
car ils produisent une colliquation assez violente : ce sont la racine et
la graine de fenouil bouillies dans une décoction d'orge mondée, les
feuilles de luzerne en arbre prises dans du vin noir, ou dans une décoc-
tion d'orge mondée, la nielle prise dans du vin d'un goût sucré, l'aneth,
7 la racine et la graine de carotte. Avant d'administrer ces médicaments,
8 on fera des affusions d'eau chaude. Quelle que soit la mauvaise qualité
du lait, l'âcreté, l'épaisseur ou la mauvaise odeur, la nourrice se fera
tirer le lait avant de donner le sein à l'enfant; si elle a du lait âcre, elle
9 ne donnera jamais à teter à jeun. On pourra corriger la mauvaise odeur
du lait à l'aide d'un vin odoriférant, ou d'un mets agréable.

4. μέν om. BP. — 6. κισσοῦ BP. — Codd. Cf. t. III, p. 128. — Ib. καὶ.....
8. προσαιονήσαντα BP. — 11. ἀσίτῳ καί Codd. Cf. t. III, p. 128.

ε'. Κομιδὴ παιδίου.

Πρώτην τροφὴν εἰσφέρειν δεῖ τῷ νεογνῷ παιδίῳ τοῦ μέλιτος· 1
μετὰ δὲ τοῦτο τοῦ γάλακτος διδόναι δὶς τῆς ἡμέρας ἢ τρὶς τὸ πλεῖ-
στον· ὅταν δὲ αὐτό τε πρόθυμον ᾖ λαμβάνειν καὶ ἐλπίδας παρέχῃ
ἐκπέψειν, τηνικαῦτα ἤδη καὶ σιτίον διδόναι μὴ ἐμπιπλᾶσαν. Εἰ δέ 2
5 που λαθόντα πληρωθείη, ὑπνωδέστερά τε εὐθὺς γίνεται καὶ νωθρό-
τερα, καὶ ὄγκος ἐν γαστρὶ ἔνεστι καὶ φῦσα, καὶ οὐρεῖ ὑδατωδέστερα,
οἷς χρὴ τεκμαιρομένην μηδὲν διδόναι ἔστε ἂν καταναλώσῃ. Ἀρκεῖ 3
δὲ ἔτη δύο τρέφειν τῷ γάλακτι, τὸ δὲ ἐντεῦθεν μεταβάλλειν πρὸς
σιτία.

ς'. Περὶ τῶν ἐξανθημάτων τῶν γινομένων τῷ παιδίῳ.

10 Ὅσα δὲ τῷ παιδίῳ ἐξανθεῖ κατὰ τὸ δέρμα, χρὴ τὸ μὲν αὐτίκα 1

5. DE L'ÉDUCATION DE L'ENFANT.

Le premier aliment qu'on permet au nouveau-né est le miel; après 1
cela, on lui donnera du lait deux ou trois fois par jour au plus; quand
l'enfant désire lui-même prendre des aliments et qu'on peut espérer qu'il
pourra les digérer complétement, la nourrice lui en offrira en évitant
toutefois la plénitude. Si, cependant, une réplétion a eu lieu à votre 2
insu, l'enfant présentera aussitôt une propension au sommeil et une tor-
peur plus fortes que de coutume; il aura du gonflement et du gaz dans
le ventre, et son urine sera plus aqueuse; la nourrice conjecturera, d'après
ces signes, qu'il ne faut rien donner à l'enfant avant qu'il ait consumé
le trop plein. On nourrit l'enfant pendant deux ans avec le lait, et on le 3
fait passer ensuite aux aliments.

6. DES EFFLORESCENCES QUI SURVIENNENT CHEZ LES ENFANTS.

La nourrice doit être d'abord satisfaite de voir arriver des efflores- 1

Ch. 5; l. 1. νεογενεῖ BP. — 2-3. τὸ πλεῖον F; καὶ τὸ πλεῖστον BP. — 4. εἰς πέψιν BFP. Cf. t. III; p. 158. — Ib. μὴ ἐμπιπλ. Paul.; καὶ ἐμπιπλοῦν Codd. 5. εὐθύ F. — Ch. 6; l. 10. κατὰ δέρμα F.

ἀσμένην δέχεσθαι· ὅταν δὲ ἀπανθήσῃ καλῶς, τηνικαῦτα ἤδη θεραπεύειν, τοῖς μὲν λουτροῖς προσεμβάλλουσαν μυρσίνης ἢ σχίνου ἢ ῥόδων, εἶτα ῥοδίνῳ ἢ σχινίνῳ χρωμένην καὶ κηρωτῇ ἐψιμμιθιωμένῃ, καὶ ῥύπλειν δέ που τοῖς νίτροις μαλακώτερον· οὐ γὰρ οἴσει
2 τὰ ἰσχυρότερα. Κάλλιστον δὲ καὶ τὴν τιτθὴν διαιτᾶσθαι τῷ γλυκυ- 5
τέρῳ τρόπῳ, κάλλιστον δὲ καὶ τὸ παιδίον αὐτὸ διαιτῆσαι μήτε ἐμ-
3 πιπλάντας, μήτε αὖ σφόδρα ἐνδεῶς. Ἐὰν δὲ ἐφιστῆται ἡ κοιλία τοῦ παιδίου, τότε μέλιτος ἐπιχέοντα συνέψειν τῇ τροφῇ· ἐὰν δὲ μηδὲ οὕτως ὑπακούῃ, τῆς τερμινθίνης παρεμβάλλειν ὅσον ἐρέβινθον· παρυγραινομένης δὲ τῆς κοιλίας κέγχρον μάλιστα προσφέρειν. 10

ζ'. Περὶ βηχὸς παιδίου καὶ κορύζης.

1 Εἰ δέ ποτε βὴξ ἢ κόρυζα συμβαίη τῷ παιδίῳ, τοὺς μελιτισμοὺς καλουμένους παραληπτέον· χρὴ τοίνυν λούσασαν αὐτὸ πολλῷ θερμῷ,

cences, quelles qu'elles soient, sur la peau des enfants; mais, quand ces efflorescences se sont flétries comme il convient, alors il est bon de les traiter par des bains chauds, dans lesquels elle mettra du myrte, du lentisque, ou des roses; ensuite elle aura recours à l'huile aux roses, ou à l'huile au lentisque et au cérat uni à la céruse; parfois on détergera aussi assez doucement avec de la soude brute, car l'enfant ne supportera
2 pas les remèdes plus actifs. Ce qu'il y a de mieux à faire, c'est que la nourrice suive un régime assez doux; mais il est très-bon aussi de prescrire un régime à l'enfant lui-même, de manière à ne pas le surcharger
3 d'aliments et à ne pas le soumettre non plus à une diète trop sévère. Si le ventre de l'enfant est resserré, on fera cuire du miel avec ses aliments; si la constipation ne cède pas de cette manière-là, on y ajoutera le volume d'un pois chiche de résine de térébenthinier; si, au contraire, le ventre de l'enfant est relâché, on lui administrera surtout du millet.

7. DE LA TOUX ET DU CORYZA DE L'ENFANT.

1 Si parfois l'enfant est atteint de toux ou de rhume de cerveau, on aura recours à ce qu'on appelle *mélitisme*, c'est-à-dire on baignera l'enfant dans une grande quantité d'eau chaude, en pratiquant en même temps

2. προσεμβάλλουσαν Paul.; προσεμβαλοῦσαν F; προσεμβαλούσοις (*sic*) BP. — 4. που om. BP. — Ib. μαλακώτερα F. — Ch. 7; l. 12. λούειν A.

καὶ κατὰ κεφαλῆς, σιτίσαι μέλιτι πολλῷ, κἄπειτα τῷ δακτύλῳ τὴν γλῶττλαν πράως πιέσαι· ἐμεῖ γὰρ φλέγμα πολύ.

η'. Περὶ ὀδαξησμοῦ.

Εἰ δέ τις ὀδαξησμὸς παρείη τῷ παιδίῳ, πυρίᾳ χρηστέον καὶ 1
ἀφθόνῳ ἀλείμματι διὰ ἐλαίου ἀπέφθου συντακέντος ὀλίγου κηροῦ.

θ'. Περὶ ὀδοντοφυΐας.

5 Ὀδοντοφυΐαι γίνονται περὶ ἕβδομον μῆνα· συμβαίνουσι δὲ τότε 1
φλεγμοναὶ τῶν τε οὔλων καὶ σιαγόνων καὶ τενόντων, καί ποτε καὶ
σπασμοί. Χρὴ οὖν τηνικαῦτα μηδὲν διδόναι τῷ παιδίῳ μασήσεως 2
δεόμενον, τῷ δακτύλῳ δὲ συνεχῶς παρὰ τὸ λουτρὸν τὰ οὖλα ψηλα-
φᾷν καὶ μαλάσσειν ὀρνιθείῳ στέατι, ἢ ἐγκεφάλῳ λαγωοῦ· τῶν δὲ

des affusions sur la tête; on lui donnera beaucoup de miel à manger, et puis on lui comprimera doucement la langue avec le doigt; de cette manière, il vomira une grande quantité de flegme.

8. DE LA DÉMANGEAISON.

Si l'enfant a quelque démangeaison, on aura recours à une fomen- 1
tation et à une onction pratiquée avec une quantité considérable d'huile cuite, dans laquelle on aura fait fondre un peu de cire.

9. DE LA DENTITION.

La dentition a lieu vers le septième mois, et il survient alors des in- 1
flammations des gencives, des joues et de la partie postérieure du cou, quelquefois aussi des convulsions. Dans ces circonstances, on ne donnera 2
rien à l'enfant qui ait besoin d'être mâché; pendant le bain, on lui touchera continuellement les gencives avec le doigt, et on les ramollira avec de la graisse de poule ou avec du cerveau de lièvre; quand les dents

1. τῆς κεφ. BP. — Ib. σιτ.] χρῖσαι A. — 2. πραέως A. — Ch. 9; l. 8 Codd. Cf. t. III, p. 154. — Ib. ἔπειτα δεομένῳ Codd. — Ib. λοετρόν BP.

ὀδόντων ἤδη παρακυψάντων χρῆσθαι τρυφερῶν ἐρίων καθαρῶν ἐπι-
βολῇ [κατὰ] τραχήλου καὶ κεφαλῆς καὶ σιαγόνων, ἐμβροχῇ τε τῶν
αὐτῶν διὰ ἐλαίου γλυκέος καὶ θερμοῦ παρεντιθεμένου καὶ τοῖς
3 ἀκουστικοῖς πόροις. Χρὴ δὲ τηνικαῦτα τὸ παιδίον εὐσταλέστερον
διαιτᾶν, καὶ λούειν θερμῷ, καὶ εἰ μὲν διάῤῥοιαν ἔχοι, πειρᾶσθαι 5
συνάγειν τὴν γαστέρα τοῖς ἐπιθέμασιν, οἷα μάλιστα ἴστησι, τὸ
4 κύμινον ἐμπάσσοντας ἐρίῳ, ἢ τὸ ἄνισον, ἢ τὸ σέλινον. Ἀγαθὸν δὲ
καὶ σπέρμα ῥόδων προσμίσγειν, καὶ τὸ ὅλον θερμῶς ξηραίνειν.
5 Εἰ δὲ μηδὲν ὑπῄει κάτω, ἐρεθίζειν πρᾴως τῷ μέλιτι, πλάσσοντας
6 ὡς βαλάνιον, ἢ μίνθῃ τετριμμένῃ μετὰ μέλιτος διαχρίειν. Δοκεῖ δὲ 10
κάλλιστα βοηθεῖν τοῖς σπασμοῖς τῶν παιδίων ἡλιοτρόπιον ἑψό-
7 μενον ἐν ὕδατι, εἰ λούοιτο ἐν τούτῳ τὸ παιδίον. Ὠφελεῖ δὲ καὶ
ἰρίνῳ χρῖσαι, ἢ κυπρίνῳ, καὶ τῷ σικυωνίῳ, καὶ τὸ σύμπαν θερ-
8 μαίνειν. Ἐπεὶ δὲ ἀνατελλόντων τῶν ὀδόντων δάκνει τοὺς δακτύλους

sont déjà sorties, on appliquera sur le cou, la tête et les joues, de la laine fine et propre, et on fera, sur les mêmes parties, des embrocations avec de l'huile douce et chaude, dont on fera aussi tomber quel-
3 ques gouttes dans les conduits auditifs. Alors on prescrira à l'enfant un régime plus restreint; on lui donnera un bain chaud, et, s'il a un flux de ventre, on tâchera de resserrer à l'aide des épithèmes qui ont surtout cette propriété : tels sont le cumin, l'anis ou le céleri saupoudrés sur de
4 la laine. Il est bon aussi d'ajouter de la graine de rosier, et, en général,
5 de dessécher en échauffant. S'il ne descend rien par les selles, on provoquera doucement les évacuations, soit avec du miel en suppositoire, soit avec de la menthe triturée dans du miel et employée sous forme
6 d'un onguent qu'on introduit dans l'anus. Un bain d'eau dans lequel on aura fait bouillir du tournesol paraît un excellent remède contre les
7 convulsions des enfants. Il convient aussi de pratiquer des onctions avec l'huile à l'iris ou à l'alcanna, ou avec l'huile de Sicyone, et, en
8 général, de réchauffer. Comme les enfants, au moment où les dents sortent, se mordent et se blessent les doigts, il sera bon de leur faire

2. [κατά] e conj.; om. Codd. — 8. Ib. θερμόν BP. — 12. ἐν ante ὕδ. om. τὸ ὅλως Codd. Cf. t. III, p. 191. — Codd. Cf. t. III, p. 192.

καὶ τιτρώσκει, καλῶς ἂν ἔχοι κατέχειν ἴρεως ῥίζαν ἑζεσμένην μὴ πάνυ ξηράν. Τοῦτο καὶ τοῖς ἕλκεσι προσβοηθεῖ. Καὶ τὸ βούτυρον 9-10
μετὰ μέλιτος διαχριόμενον ὀνίνησιν.

ι'. Πρὸς ἄφθας.

Γίνεται δὲ τῷ παιδίῳ καὶ ἕλκος τὸ καλούμενον ἄφθα, τὸ μὲν 1
ὑπόλευκον, τὸ δὲ ὑπέρυθρον, τὸ δὲ αὖ μέλαν, οἷον ἐσχάρα· κάκιστον δὲ τὸ μέλαν καὶ θανατωδέστατον. Βοηθεῖ δὲ ἶρις μετὰ μέλιτος, καὶ 2
εἰ ξηρὰν ἐμφυσᾷν ἐθέλοις, καὶ ῥόδων φύλλα κεκομμένα, καὶ τὸ ἄνθος τῶν ῥόδων, καὶ κρόκος, καὶ ὀλίγον σμύρνης, καὶ ἡ κηκὶς, καὶ ὁ λιβανωτὸς, καὶ ὁ φλοιὸς τοῦ λιβάνου, ὁμοῦ τε καὶ ἰδίᾳ ἕκαστον, μέλιτι δευόμενα· ἐπὶ δὲ τούτοις μελίκρατόν τε καὶ ῥοιᾶς γλυκείας ὁ χυλός.

tenir une racine d'iris bouillie qui ne soit pas trop sèche. Cela est pro- 9
fitable aussi aux ulcères. Le beurre, employé sous forme d'onction, avec 10
le miel, rend également des services dans ce cas.

10. REMÈDES CONTRE LES APHTHES.

L'enfant peut encore être pris de l'ulcère qu'on appelle *aphthe*, lequel 1
est tantôt blanchâtre, tantôt rougeâtre, tantôt noir comme une escarre; mais l'ulcère noir est le plus mauvais et celui qui entraîne le plus souvent la mort. Les remèdes contre cette affection sont l'iris combiné au miel, 2
et, si vous voulez faire des insufflations sèches, les feuilles de rosier pilées, puis les roses, le safran, la myrrhe prise en petite quantité, la noix de galle, l'encens, l'écorce de l'arbre qui produit l'encens, humectés de miel, qu'on prenne tous ces médicaments ensemble, ou chacun en particulier; en outre, il y a encore l'eau miellée et le suc de grenades au goût sucré.

Ch. 10; l. 6. Καὶ βο. δέ BP. — 9. BP. — 10. τε om. BP. — 10-11. χυφλοιὸς τοῦ λιβανωτοῦ A. — Ib. ἕκαστα λὸς γλυκείας BP.

ια'. Πρὸς τὰ τῶν μηρῶν παρατρίμματα.

1 Τὰ δὲ κατὰ μηροὺς ἐκτρίμματα μυρσίνῃ ξηρᾷ διαπάσσειν καὶ κυπέρῳ καὶ ῥόδοις.

ιβ'. Πρὸς τὰς τῶν ὤτων ὑγρότητας.

1 Τὰς δὲ τῶν ὤτων ὑγρότητας ξηραίνειν ἢ ἔριον ἀπὸ σλυπληρίας ἐντιθεῖσαν, ἢ οἴνου, ἢ μελικράτου παλαιοῦ ἐνσλάζουσαν, ἢ κρόκον μετὰ οἴνου τρίψασαν.

ιγ'. Περὶ σειριάσεως.

1 Σειρίασίς ἐσλι φλεγμονὴ τῶν περὶ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας μερῶν· παρακολουθεῖ δὲ τοῦ βρέγματος κοιλότης καὶ τῶν
2 ὀφθαλμῶν μετὰ ὠχριάσεως καὶ ξηρότητος τοῦ σώματος. Βοηθεῖ δὲ αὐτοῖς ᾠοῦ τὸ ἐρυθρὸν μετὰ ῥοδίνου τιθέμενον κατὰ τοῦ βρέγματος ἐν τρόπῳ πλύγματος καὶ συνεχῶς ἀλλασσόμενον.

11. REMÈDES CONTRE LES EXCORIATIONS DU CÔTÉ INTERNE DES CUISSES.

1 On doit saupoudrer les excoriations du côté interne des cuisses avec de la myrrhe sèche, du souchet ou des roses.

12. REMÈDES CONTRE L'HUMIDITÉ DES OREILLES.

1 La nourrice desséchera l'humidité des oreilles en y introduisant de la laine saturée d'alun, en instillant soit du vin, soit de la vieille eau miellée, ou en se servant de safran trituré dans du vin.

13. DE LA SIRIASIS.

1 La siriasis est une inflammation des parties appartenant au cerveau et à ses enveloppes; cette maladie entraîne l'excavation du milieu de la tête
2 et des yeux, accompagnée de pâleur et de sécheresse du corps. Les enfants affectés de cette maladie sont soulagés, si on applique au milieu de la tête, au moyen d'une compresse, du jaune d'œuf avec de l'huile aux roses, et qu'on change souvent cette compresse.

Ch. 11; l. 1. κατὰ τῶν μηρῶν ABP. Ib. ξηραίνει F. — Ch. 13; l. 6. τάς es em.; om. Codd. — Ch. 12; l. 3. δέ om. BFP. —

ιδ'. Δίαιτα νηπίου καὶ τῶν ἐφεξῆς ἡλικιῶν ἄχρι τῶν παρακμαζόντων.

Τοὺς νηπίους ἀπὸ τοῦ γάλακτος γεγονότας ἐπὶ ἀνέσει τε ἐᾷν καὶ 1
ἱλαρότητος γυμνασίᾳ, καὶ τροφὰς αὐτοῖς προσφέρειν ἐλαφράς· ἀπὸ δὲ
τῶν ἓξ καὶ ἑπτὰ ἐτῶν τούς τε παῖδας καὶ τὰς κόρας γραμματισταῖς
παραδιδόναι πραέσι καὶ φιλανθρώποις· οὗτοι γὰρ μετὰ ἀνέσεως
5 καὶ χαρᾶς διδάσκουσιν· ἡ δὲ ἄνεσις τῶν ψυχῶν εἰς εὐτροφίαν σώ-
ματος μεγάλα συμβάλλεται· τοὺς δὲ δωδεκαετεῖς τῶν παίδων πρός
τε γραμματικοὺς φοιτᾷν ἤδη καὶ γεωμέτρας καὶ τὸ σῶμα γυμνάζειν
ἀναγκαῖον. Ἀπὸ δὲ τῶν τεσσαρακαίδεκα ἐτῶν μέχρι τῶν τριῶν ἑβδο- 2
μάδων ἁρμόσει μαθημάτων ἄσκησις καὶ φιλοσόφων λόγων κατήχη-
10 σις, καὶ γυμνάσια πλείονα παραλαμβάνειν διὰ τὴν ἰσχὺν τοῦ σώ-
ματος, ὅπως καὶ ψυχῇ καὶ σώματι πονοῦντες ταῖς ὁρμαῖς κωλύωνται
χρῆσθαι ταῖς εἰς ἀφροδίσια. Συναιρετέον δὲ καὶ τὸν οἶνον ἐπὶ τού- 3
των. Τοῖς δὲ ἀκμάζουσιν ἁρμόζει δίαιτα τελεία καὶ ψυχῆς καὶ σώ- 4

14. RÉGIME POUR LES PETITS ENFANTS ET POUR LES ÂGES SUIVANTS JUSQU'À CELUI DU DÉCLIN.

On doit permettre aux petits enfants qui viennent d'être sevrés de vivre 1
librement et de se livrer à la gaieté; on leur donnera des aliments légers;
depuis l'âge de six ou sept ans, on confiera les garçons et les filles à des
maîtres de lecture doux et humains, car l'enseignement d'un tel maître
réjouit les enfants et les met à leur aise; or le relâchement de l'âme con-
tribue beaucoup à la bonne nutrition du corps; les garçons de douze ans
doivent fréquenter les grammairiens et les géomètres et exercer leur corps.
Depuis l'âge de quatorze ans jusqu'à l'accomplissement de la troisième 2
semaine [d'années], il conviendra de cultiver les sciences, d'entendre
les démonstrations philosophiques, et d'augmenter la quantité des exer-
cices, en raison de la vigueur du corps, afin qu'en se fatiguant l'âme et
le corps, les jeunes gens ne soient pas enclins à céder aux désirs qui les
poussent vers les rapprochements sexuels. Il importe aussi de supprimer 3
le vin à cet âge. Ce qui convient aux adultes, c'est un régime complet de 4

CH. 14; l. 1. καὶ ἀπό Codd. Cf. t. III, p. 161. — 2. ἱλαρότατα γυμνάσια BP. — lb. ἐλαφράς Aët.; ἐλαφρῶς Codd. — 6. παιδίων Codd. Cf. t. III, p. 163.

ματος· διὸ γυμνασίοις χρησΙέον πᾶσι, μάλισΙα δὲ οἷς ἕκασΙος
5 εἴθισΙαι, καὶ τροφαῖς ἱκαναῖς τρέφεσθαι καὶ εὐτρόφοις. Τοῖς δὲ
παρακμάζουσιν ἁρμόζει δίαιτα ὑφειμένη καὶ ψυχῆς καὶ σώματος·
τὰ γὰρ γυμνάσια, ὁποῖά ποτε ἂν ᾖ, κατὰ λόγον τούτων ὑφαιρε-
τέον, καὶ τὰς τροφὰς ἐκ προσαγωγῆς συσΙαλτέον, τῆς ἕξεως αὐτῶν 5
ἀρχὴν ψύξεως λαμβανούσης.

ιε'. Περὶ κόπων τῶν ἐπὶ γυμνασίοις.

1 Ὁ ἑλκώδης κόπος ἐπὶ πλήθει γίνεται περιΙωμάτων λεπΙῶν τε
ἅμα καὶ δριμέων· ὁ δὲ τονώδης ἐν ᾧ τείνεσθαι δοκεῖ τὰ μόρια, περ-
ίΙωμα μὲν οὐδὲν ὅ τι καὶ ἄξιον λόγου ἐγκεῖσθαι τοῖς σώμασιν
ἐνδείκνυται, κατὰ δὲ τοὺς μῦς καὶ τὰ νεῦρα διάθεσίς τις ἐγγίνεται 10
2 κατὰ ἣν τείνεσθαι δοκοῦσι, κἂν μηκέτι τείνωνται. Ὁ δὲ φλεγμονώ-
δης κατὰ ὃν ὥσπερ τεθλασμένων ἢ φλεγμαινόντων αἰσθανόμεθα τῶν

l'âme et du corps; pour cette raison, on recourra à tous les exercices, mais surtout aux exercices conformes aux habitudes de chaque individu en particulier, et on se servira d'aliments bien nourrissants en quantité
5 suffisante. Un régime mitigé de l'âme et du corps convient aux gens parvenus à l'âge du déclin; ainsi il faut diminuer leurs exercices, quels qu'ils soient, en proportion [de leur âge], et restreindre aussi peu à peu la quantité des aliments, attendu que la complexion de ces individus éprouve un commencement de refroidissement.

15. DE LA LASSITUDE AMENÉE PAR LES EXERCICES.

1 La *lassitude ulcéreuse* provient d'une surabondance de résidus qui sont à la fois ténus et âcres; la *lassitude tensive*, dans laquelle les parties semblent être distendues, n'indique pas qu'il y existe assez de résidus pour qu'il vaille la peine d'en parler; mais, dans cette espèce de lassitude, les muscles et les *nerfs* arrivent à un état où ils semblent être tendus, lors
2 même qu'ils ne le sont plus. La *lassitude inflammatoire*, dans laquelle nous sentons, pour ainsi dire, une contusion ou une inflammation des parties,

1. διὸ καί BP. — 2. ἱκανῶς F. — 3. ὀφειλημένη καὶ ψυχῇ καὶ σώματι BP. — 4. τοῦτον Codd. Cf. t. III, p. 166. — 5. καὶ τῆς F. — Ch. 15; l. 9. ἐγκεῖσθαι Paul.; ἔγκειται Codd. — 10. ἐνδείκν. Paul., om. Codd.

μορίων, τηνικαῦτα συμπίπτειν εἴωθεν, ὅταν ἐκθερμανθέντες ἱκανῶς οἱ μύες ἐπισπάσωνταί τι τῶν περικεχυμένων ἑαυτοῖς περιττωμάτων. Ἔστι δὲ καὶ ἄλλη διάθεσις τετάρτη ἧς ἡ μὲν γένεσις ἐν τῷ 3
ξηρανθῆναι τοὺς μῦς περαιτέρω τοῦ προσήκοντος, ὥστε ἀποδύντων
5 αὐχμηρὸν καὶ προσεσταλμένον φαίνεσθαι τὸ σῶμα καὶ πρὸς τὰς
κινήσεις ὀκνεῖν. Τὴν δὲ ἴασιν ὁ μὲν ἑλκώδης κόπος ἔχει τὴν διαφό- 4
ρησιν τῶν περιττωμάτων, διαφορηθήσεται δὲ διὰ τρίψεώς τε πολ-
λῆς καὶ μαλακῆς σὺν ἐλαίῳ πολλῷ μηδεμίαν ἔχοντι στύψιν. Ὁ δὲ 5
ἕτερος κόπος, ὁ τονώδης, τὸν σκοπὸν τῆς ἰάσεως ἔχει τὴν χάλασιν·
10 χαλᾶται δὲ τὸ συντεταμένον τρίψει μὲν ὀλίγῃ τε ἅμα καὶ μαλακῇ
διὰ ἐλαίου γλυκέος εἰληθεροῦς, ἀναπαύσει δὲ πάσῃ καὶ ἡσυχίᾳ καὶ
λουτροῖς εὐκράτοις καὶ διατριβῇ πλείονι κατὰ τὸ θερμὸν ὕδωρ,
ὥστε εἰ καὶ δὶς καὶ τρὶς αὐτὸν λούοις, ὀνήσεις μειζόνως. Ὁ δὲ δὴ 6
τρίτος τῶν κόπων τῆς ἰάσεως τρεῖς ἔχει τοὺς σκοπούς, κένωσιν τοῦ

se présente habituellement quand les muscles, fortement échauffés, ont
attiré une partie des résidus répandus autour d'eux. Il existe encore un 3
quatrième état, et qui est le produit d'un desséchement démesuré des
muscles; lorsque les gens qui se trouvent dans cet état sont déshabillés,
on s'aperçoit que leur corps est sec et ferme, et qu'ils éprouvent de la ré-
pugnance à se mouvoir. On guérit la lassitude ulcéreuse en dissipant les 4
résidus par la perspiration, à l'aide d'une friction douce et prolongée
pratiquée avec une grande quantité d'huile exempte de toute astringence.
L'autre espèce de lassitude, je veux dire la lassitude tensive, a pour indi- 5
cation curative le relâchement; or on relâche les parties tendues par
une friction qui soit à la fois douce et peu prolongée, et qu'on pratique
avec de l'huile douce chauffée au soleil, par l'inactivité et le repos com-
plets, par des bains tièdes, et par un séjour prolongé dans l'eau chaude;
si donc vous administrez deux ou trois bains [le même jour] aux gens qui
sont dans cet état, vous leur ferez beaucoup de bien. La troisième espèce 6
de lassitude présente trois indications curatives, l'évacuation des résidus,

5. συνεσταλμένον F. — Ib. φαίνεται Codd. — Ib. καί om. B. — 6-7. διαχώρησιν Codd. — 7. διαφορηθήσεται δέ om. Codd. — 8. μὴ μίαν BP. — Ib. τε | δέ Codd. — 13. εἰ καὶ δὶς ἢ τρίς BP. — Ib. δή om. F.

περιτΊοῦ καὶ ἄνεσιν τοῦ συντεταμένου καὶ ἀνάψυξιν τοῦ φλεγμο-
7 νώδους. Ἔλαιόν τε οὖν πολὺ χλιαρὸν, αἵ τε τρίψεις μαλακώταται,
καὶ ἡ ἐν τοῖς εὐκράτοις ὕδασι πολυχρονιωτάτη διατριβὴ τοὺς τοιού-
τους ἰᾶται κόπους· οὕτω δὲ καὶ ἡσυχία πολλὴ καὶ ἀλείμματα
8 συνεχῆ. Ἡ δὲ τετάρτη διάθεσις δεῖται μὲν τὴν πρώτην ἡμέραν οὐ- 5
δένος ἐξηλλαγμένου παρὰ τὸ πρόσθεν ὅτι μὴ θερμοτέρου τοῦ ὕδα-
τος, ὡς συναγαγεῖν ἀτρέμα καὶ θερμᾶναι καὶ τονῶσαι τὸ δέρμα·
κατὰ δὲ τὴν δευτέραν ἀποθεραπευτικοῦ γυμνασίου· ἐκπηδάτωσαν
9 δὲ εὐθέως ἐν τοῖς λουτροῖς εἰς τὴν ψυχρὰν δεξαμενήν. Εὐχύμου δὲ
πάντες οἱ κεκοπωμένοι δέονται τροφῆς. 10

ις'. Περὶ σΊεγνώσεως.

1 Ἡ δὲ σΊέγνωσις γίνεται μὲν διὰ ἔμφραξιν ἢ πύκνωσιν τῶν πό-
ρων· διαγινώσκεται δὲ εὐθὺς μὲν ἀποδύντων ἀχροίᾳ τε λευκῇ καὶ

le relâchement des parties tendues, et le refroidissement des parties en-
7 flammées. On prescrit donc avec succès une grande quantité d'huile
tiède [employée avec les frictions], des frictions très-douces et un séjour
très-prolongé dans l'eau tiède; un repos prolongé et des onctions souvent
8 réitérées produisent aussi le même effet. Le quatrième état n'exige pas,
pour le premier jour, le moindre changement dans le régime qu'on sui-
vait auparavant, si ce n'est qu'on prendra [pour se baigner] de l'eau plus
chaude que de coutume, dans le but de contracter doucement, de ré-
chauffer et de renforcer la peau; le second jour, cet état exige l'exercice
apothérapeutique; ceux qui en sont affectés sauteront donc de suite, en
prenant leur bain, [de la piscine à eau chaude] dans la piscine à eau
9 froide. Tous les gens fatigués ont besoin d'aliments contenant de bons
sucs.

16. DU RESSERREMENT [DE LA PEAU].

1 Le resserrement [de la peau] tient à l'obstruction ou à l'étroitesse
des conduits; on reconnaît de suite cet état, dès que ceux qui en souffrent
se sont déshabillés, par la décoloration blanche, la dureté et la densité

1. καί post περιτΊοῦ om. F. — 9. δέ ante εὐθέως om. Codd. — Ib. ἐκ τῆς ψυχρᾶς δεξαμενῆς Codd. — 10. κοπΊόμενοι BP.

σκληρότητι καὶ πυκνώσει τοῦ δέρματος· κατὰ δὲ τὸ γυμνάζεσθαι τῷ δυσεκθερμάντῳ. Ἡ δὲ ἴασις τῆς τοιαύτης διαθέσεως θέρμανσίς 2 ἐστιν· συντονωτέροις οὖν γυμνασίοις χρηστέον καὶ βαλανείοις θερμοτέροις· ἐν δὲ τῇ ψυχρᾷ κολυμβήθρᾳ διατριβὴ μὴ πολυχρόνιος γενέσθω, μηδὲ αὐτὸ τὸ ὕδωρ ἄγαν ἔστω ψυχρόν. Ἐνδύεσθαι δὲ μέλ- 3 λοντες ἀλειφέσθωσάν τινι τῶν μετρίως θαλπόντων ἐλαίων γλυκεῖ καὶ λεπτομερεῖ. Τὰς πυκνώσεις δὲ τοῦ δέρματος ἱκανῶς ἰᾶται καὶ 4 τὸ ἀνήθινον ἔλαιον, καὶ μάλιστα εἰ χλωρὸν εἴη τὸ ἄνηθον, καὶ τὸ ἀγείρινον ἔλαιον.

ιζ'. Περὶ τῶν αὐτομάτων κόπων.

Ἐπειδὴ διὰ κακοχυμίαν γίνεται δριμέων περιττωμάτων ὁ ἑλκώ- 1 δης κόπος, εἰ μὲν ὀλίγη παντάπασιν ἡ κακοχυμία εἴη, γυμνάσιον ἀρκέσει τὸ ἀποθεραπευτικόν· εἰ δὲ μείζων καὶ διὰ βάθους, οὐκέτι τὸν τοιοῦτον οὔτε ἐπὶ γυμνάσιον ἄξομεν, οὔτε ἐπὶ κίνησιν ὅλως

de la peau; pendant les exercices, on la reconnaît à ce que ces individus s'échauffent difficilement. La guérison d'un pareil état consiste dans le 2 réchauffement; on aura donc recours à des exercices plus intenses et à des bains plus chauds que de coutume; les gens dont il s'agit ne resteront pas longtemps dans la piscine à eau froide, et l'eau qu'on y mettra ne sera pas extrêmement froide non plus. Quand ces individus seront sur 3 le point de s'habiller, on les oindra avec quelque huile douce, modérément échauffante et composée de particules ténues. L'huile à l'aneth suffit pour 4 guérir la densité de la peau, surtout si, pour la préparer, on s'est servi d'aneth vert; il en est de même de l'huile au peuplier noir.

17. DES LASSITUDES SPONTANÉES.

Comme la lassitude ulcéreuse tient à un mauvais état des humeurs 1 produit par des résidus âcres, l'exercice apothérapeutique suffira [pour la guérir], lorsque les humeurs viciées sont en très-petite quantité; si ces humeurs sont plus abondantes et se trouvent dans les parties les plus profondes du corps, nous ne ferons faire à l'individu fatigué aucun

5. γινέσθω F. — 6. ἐλαίῳ Codd. — 12-13. οὐκέτι τοιοῦτον BP. — 13. γυμνάσιά F.

CH. 17; l. 12. δὲ καὶ μεῖζον καί F. —

οὐδεμίαν, ἡσυχάσαι δὲ καὶ ὑπνῶσαι κελεύσαντες ἐν ἀσιτίᾳ φυλάξομεν ὅλην τὴν ἡμέραν, εἶτα εἰς ἑσπέραν ἀλείψαντές τε λιπαρῶς καὶ λούσαντες εὐκράτῳ θερμῷ, τροφὴν εὔχυμόν τε καὶ ῥοφηματώδη δώσομεν ὀλίγην· οὐκ ἀφέξομεν δὲ αὐτοὺς οὐδὲ οἴνου· πέτλει γὰρ
2 τοὺς ἡμιπέπλους χυμοὺς, εἴπερ τι ἄλλο, καὶ οἶνος. Εἰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις κατασταίη τὸ σύμπτωμα, πρὸς τὰ συνήθη κατὰ ὀλίγον ἐπανάγειν τὸν ἄνθρωπον· εἰ δὲ καὶ κατὰ τὴν ἑξῆς ἡμέραν ἔτι παραμένοι, σκεπτέον ἤδη περὶ βοηθήματος ἰσχυροτέρου· σὺν μὲν γὰρ ἰσχυρᾷ τῇ δυνάμει δυοῖν θάτερον, ἢ φλεβοτομεῖν ἢ καθαίρειν προσήκει, διορισαμένους ὁποτέρου δεῖ μᾶλλον· σὺν ἀσθενεῖ δὲ
3 φλεβοτομεῖν μὲν οὐδαμῶς· ὑποκαθαίρειν δὲ μετρίως. Εἰ δὲ ὠμοὶ χυμοὶ πάμπολλοι τύχοιεν ὄντες, μήτε φλεβοτομεῖν, μήτε καθαίρειν, μήτε γυμνάζειν, ἀλλὰ μηδὲ κινεῖν ὅλως, μηδὲ λούειν· φυλακτέον δὲ αὐτοὺς ἐν ἡσυχίᾳ πάσῃ, καὶ δοτέον ἐδέσματά τε καὶ

exercice, ni même aucun mouvement, mais nous lui ordonnerons de se reposer et de dormir; nous le priverons d'aliments pendant toute la journée; le soir, nous pratiquerons des onctions grasses, nous ferons prendre un bain tiède, et nous donnerons, sous forme de bouillie, une petite quantité d'aliments contenant de bons sucs; nous ne supprimerons pas le vin; car, plus qu'aucune autre substance, le vin amène à
2 maturité les humeurs à moitié mûres. Lorsque, après l'emploi des moyens susdits, la lassitude disparaît, nous ramènerons peu à peu l'individu en question à ses occupations habituelles; si elle persiste encore le jour suivant, on songera à un remède plus efficace; si donc les forces sont intactes, on saignera ou on purgera, et on déterminera lequel de ces deux traitements est le plus nécessaire; existe-t-il, au contraire, de la faiblesse, on ne saignera pas du tout, mais on pratiquera une purga-
3 tion douce et modérée. Quand il y a une très-grande quantité d'humeurs crues, on ne prescrira ni saignée, ni purgation, ni exercice, ni même aucune espèce de mouvement ou de bain; mais on fera garder aux gens qui sont dans cet état un repos complet, et on leur donnera

2. τε om. Codd. — 2-3. καὶ λούσ. om. BP. — 3. ἀκράτῳ Codd. — 7. καί om. BP. — Ib. τῆς ἑ. ἡμέρας F. — 9-11. ἢ καθ..... μέν LN Gal.; om. Codd. — 11. ὑποκαθ. Gal.; καθαίρ. BP; οὔπω καθαίρ. F.

πόματα καὶ φάρμακα λεπτύνοντα καὶ τέμνοντα ἄνευ τοῦ θερμαί-
νειν ἐπιφανῶς. Διαιτᾶν οὖν αὐτοὺς ἐπὶ ὀξυμέλιτι, βραχύ τι καὶ 4
πτισάνης, ἐνίοτε δὲ καὶ μελικράτου διδόντα. Ἐπεὶ δὲ καὶ τὸ ὑπο- 5
χόνδριον ἅπασι τοῖς τοιούτοις ἐπῆρταί τε καὶ ἐμπεφύσηται, καὶ
ῥᾳδίως, ὅ τι περ ἂν προσάρωνται, πνευματοῦνται, βέλτιον ἂν εἴη
διδόναι τι σὺν τῇ τροφῇ πεπέρεως· ἄμεινον δὲ καὶ τῷ διοσπολι-
τικῷ χρῆσθαι φαρμάκῳ καὶ τῷ διὰ τριῶν πεπέρεων τῷ ἁπλῷ. Καὶ 6
ὀξύμελι δὲ χρησιμώτατον αὐτοῖς ἐστιν. Ποτῷ δὲ χρήσθωσαν ἀπο- 7
μέλιτι, καὶ μάλιστα ὅταν ὀξυνθῇ, καὶ τῶν οἴνων τοῖς ὠξυσμένοις
ἀτρέμα καὶ τῶν ἐδεσμάτων τοῖς λεπτύνουσιν ἄνευ τοῦ θερμαίνειν,
οἷα περ ἐστὶ καὶ ἡ κάππαρις εἰ διὰ ὀξυμέλιτος ἢ διὰ ὀξελαίου λαμ-
βάνοιτο. Ὁ δὲ τονώδης κόπος ὅταν ἄνευ γυμνασίων συνιστῆται, 8
πλῆθος ἐνδείκνυται διατεῖνον τὰ στερεὰ τοῦ ζῴου μόρια. Δῆλον δὲ, 9
ὅταν αἵματος ᾖ πλῆθος, ἄριστον ἤτοι φλέβα τέμνειν, ἢ ἀποσχάζειν

des aliments, des boissons et des médicaments doués de propriétés atténuantes et incisives, sans qu'elles échauffent manifestement. On les mettra donc au régime du vinaigre miellé, en leur donnant de plus 4
une petite quantité de ptisane, et quelquefois aussi d'eau miellée. Comme, chez tous les individus de cette sorte, l'hypocondre est soulevé 5
et gonflé, et que, quoi qu'ils mangent, ils éprouvent facilement une accumulation de gaz, il est préférable d'ajouter un peu de poivre à leurs aliments; mais il vaut encore mieux recourir au médicament diospolitique, ou au médicament simple aux trois espèces de poivre. Le vinaigre miellé 6
leur est aussi très-utile. Comme boisson, ils se serviront de l'eau de rayons 7
de miel, surtout quand cette eau s'est aigrie, ou ils boiront des vins légèrement aigris; en fait d'aliments, ils en prendront qui atténuent sans échauffer; telle est la câpre avec du vinaigre miellé ou avec un mélange de vinaigre et d'huile. Quand la lassitude tensive survient sans exercices, 8
elle prouve que les parties solides du corps sont distendues par la plénitude. Il est clair que, lorsqu'il y a surabondance du sang, ce qu'on a de 9
mieux à faire, c'est d'inciser une veine, ou de pratiquer des scarifications

6. δέ om. BP. — 8. τὸ ὀξύμ. BP. — οἷα ex em.; οἷα Codd. — Ib. ἐλαίου BP.
10. τῶν οἴνων καὶ τῶν ἐδεσμ. BP. 11. — 14. δι' αἵματος BP.

10 τὰ σφυρά. Ὁ δὲ φλεγμονώδης αὐτόματος κόπος οὐδὲ ὡρῶν ὀλίγων, μή τί γε δυοῖν ἢ τριῶν ἡμερῶν ἀνέχεται βραδυτῆτος, ἀλλὰ αὐτίκα πυρετὸν ἐπάγει σφοδρότατον, ἢν μή τις φθάσας ἀποχέῃ τοῦ αἵμα-
11 τος. Κάλλιον δὲ, εἰ ἐγχωροίη, δὶς ἀφαιρεῖν ἐν ἡμέρᾳ μιᾷ, τὸ μὲν πρότερον οὕτω κενοῦντας ὡς μὴ λιποθυμῆσαι τὸν ἄνθρωπον· τὸ 5
12 δὲ δεύτερον οὐδὲ τὴν λιποθυμίαν φοβεῖσθαι προσήκει. Μὴ φλεβοτομηθέντες δὲ οἱ οὕτω διακείμενοι τύχης ἀγαθῆς εἰς τὸ σωθῆναι δέονται.

ιη'. Δίαιτα γερόντων.

1 Τὸ γῆρας ἐστὶ μὲν ξηρὸν καὶ ψυχρόν· ἐπανόρθωσις δὲ αὐτοῦ διὰ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων γίνεται· τοιαῦτά δέ ἐστι 10 θερμὰ λουτρὰ γλυκέων ὑδάτων καὶ οἴνου πόσις, ὅσαι τε τῶν τρο-
2 φῶν ὑγραίνουσί τε ἅμα καὶ θερμαίνουσιν. Χρὴ δὲ καὶ ἀνατρίβεσθαι τοὺς γέροντας ἅμα λίπει μετὰ τοὺς ὕπνους, ἐφεξῆς δὲ περιπατεῖν

10 aux malléoles. La lassitude inflammatoire spontanée ne supporte pas un retard de quelques heures; à plus forte raison, elle n'en supporte pas un de deux ou de trois jours; elle amène de suite une fièvre très-intense, à moins qu'on ne prévienne cette fièvre par une déplétion san-
11 guine. Si cela se peut, il est préférable de saigner deux fois le même jour; la première fois, on ne poussera pas l'évacuation jusqu'à la défaillance;
12 mais la seconde, on ne craindra pas d'en provoquer une. Si on ne saigne pas les gens qui sont dans cet état, il leur faut une bonne chance pour en réchapper.

18. RÉGIME DES VIEILLARDS.

1 La vieillesse est sèche et froide, on la corrige donc à l'aide d'un traitement échauffant et humectant; tels sont les bains chauds d'eau douce, l'usage du vin comme boisson et tous les aliments qui humectent et
2 échauffent à la fois. Après le sommeil, on doit aussi soumettre les vieillards à des frictions pratiquées avec quelque substance grasse; ensuite ils se promèneront et ils se livreront à un mouvement passif sans se fati-

5. μή Gal. Aët. Paul.; om. Codd. gr. et lat. — CH. 18; l. 9. αὐτῷ BFP. — 10. τε om. A. — 12. τε om. BFP. — Ib. καί om. BP.

τε καὶ αἰωρεῖσθαι χωρὶς κόπου. Τροφὴν δὲ διδόναι τοῖς ἀσθενεσΊέ- 3
ροις τρίτον, περὶ μὲν τρίτην ὥραν ἄρτου βραχὺ μετὰ μέλιτος ἀτ-
τικοῦ, καὶ μετὰ ταῦτα ἑβδόμην ὥραν τριψαμένοις καὶ γυμνασαμένοις
τὰ πρέποντα γυμνάσια γέρουσι καὶ λουσαμένοις πρῶτα μὲν ὅσα
5 λαπάσσει γασΊέρα προσφέρειν, ἐφεξῆς δὲ ἰχθύων ἢ ὀρνίθων, κἄ-
πειτα ἐπὶ τοῦ δείπνου τῶν εὐχυμοτάτων καὶ δυσφθάρτων. Οὐ κω- 4
λύω δὲ οὐδὲ τοῖς σκευαζομένοις διὰ μέλιτος οἴνοις χρῆσθαι, καὶ
μάλισΊα ὅσοις ὑποψία τις τῶν γερόντων ἐσΊὶν ἐν νεφροῖς λίθων
γενέσεως, ἢ καὶ ποδάγρας· ἐπεμβάλλειν δὲ αὐτῷ τηνικαῦτα πετρο-
10 σελίνου. Εἰ δέ ποτε φλέγματος ἐν γασΊρὶ γεννηθέντος ἐξ ἀνάγκης 5
ἑλοίμεθά τι τῶν τεμνόντων αὐτὸ, μετιέναι χρὴ ταχέως ἐπὶ τὴν
ὑγραίνουσαν δίαιταν. Διδόναι δὲ αὐτοῖς καὶ πέπειρα σῦκα πρὸ τῆς 6
ἄλλης τροφῆς, καὶ κατὰ τὸν χειμῶνα τὰς ἰσχάδας μηδενὸς συμπΊώ-
ματος αἰσθανομένοις κατὰ τὸ δεξιὸν ὑποχόνδριον. Ἐπεὶ δὲ τά τε 7

guer. A ceux qui sont plus faibles que les autres, on prescrit trois repas; 3
vers la troisième heure, on donne un peu de pain avec du miel de
l'Attique; vers la septième heure, après la friction et après les exercices
qui conviennent aux vieillards et le bain, on servira d'abord des mets
qui relâchent le ventre, et ensuite du poisson ou de la chair d'oiseau;
puis, au dîner, on fera manger des aliments qui contiennent les meil-
leurs sucs et qui se corrompent difficilement. Je ne défends pas non 4
plus aux vieillards de se servir des vins qu'on prépare avec le miel, et
je recommande ces vins surtout à ceux chez lesquels je soupçonne
qu'il se forme des calculs dans les reins, ou à ceux qui sont menacés
d'une attaque de goutte; dans ces cas, on mettra du persil dans ces
vins. Si parfois il s'est formé de la pituite dans l'estomac, et si, pour 5
cette raison, nous sommes forcés de préférer des aliments qui exercent
une action incisive sur cette humeur, nous reviendrons vite au régime
humectant. On donnera aussi aux vieillards, avant les autres aliments, 6
des figues mûres, et en hiver des figues sèches, pourvu qu'ils ne res-
sentent rien d'extraordinaire à l'hypocondre droit. Comme les résidus 7

5-6. ἔπειτα A. — 6. ἐπὶ τῷ δείπνῳ BFP. — 8. οἷς A. — 9-10. πετροσέλινον A. — 10. γεννηθ. F. — Ib. εἰ ἐξ ἀν. FP; ἢ ἐξ ἀν. B. — 11. βουληθείημεν A. — Ib. αὐτὸ διδόναι αὐτοῖς A. — 11-12. ἐπὶ ὑγράν A. — 14. τά τε] καί A.

ὀρώδη καὶ φλεγματώδη περιτ[ώματα κατὰ τὸ τῶν πρεσβυτῶν ἀθροί-
ζεται σῶμα, τήν τε οὔρησιν ἐπὶ ἡμέρᾳ προτρέπειν χρὴ, ὑπάγειν
τε τὴν γαστέρα διὰ ἐλαίου μάλιστα, καταῤῥοφοῦντας αὐτὸ πρὸ τῶν
8 σιτίων. Εὔδηλον δὲ ὅτι καὶ τὰ λαχανώδη πάντα πρὸ τῶν σιτίων
9 ἐσθίειν χρὴ διὰ ἐλαίου τε καὶ γάρου. Ἐπὶ πλέον δὲ ἐπισχεθείσης
10 τῆς γαστρὸς καὶ ἡ λινόζωστις αὐτάρκης ἐστὶ καὶ κνῆκος. Ποιεῖ δὲ καὶ
τερμινθίνη· λαμβάνειν δὲ αὐτῆς ἐνίοτε μὲν καρύου ποντικοῦ τὸ μέ-
11 γεθος, ἐνίοτε δὲ δυοῖν ἢ τριῶν. Ἐγχεῖν δὲ καὶ ἔλαιον διὰ κλυσμοῦ
τοῖς ἐπεχομένοις χρησιμώτατον.

ιθ'. Πρὸς τοὺς μὴ δυναμένους πληησιάζειν.

1 Χρίειν δὲ λίπει συνεχεῖ τὰ αἰδοῖα μῖγμα ἔχοντι τῆς τοῦ ναρκίσ-
σου ῥίζης μέρος βραχὺ, ἢ κόκκου τοῦ κνιδίου, ἢ πυρέθρου, ἢ στα-
2 φίδος τῆς ἀγρίας, ἢ σπέρματος τῆς κνίδης, ἢ τῆς ἄγνου. Ὀρθιάζεται
3 δὲ καὶ ὅς τις ὁποῦ κυρηναϊκοῦ κέγχρου μέγεθος ἐντίθεται. Κατε-

séreux ou pituiteux s'accumulent dans le corps des vieillards, on pous-
sera journellement aux urines et on relâchera le ventre, surtout avec de
8 l'huile, prise avant le repas. Il est clair que tous les mets de la classe des
légumes verts doivent être mangés avant les autres aliments, et qu'on
9 les assaisonnera avec de l'huile et du garon. Dans le cas d'une constipation
10 plus forte, la mercuriale ou le carthame suffisent. La résine de térébin-
thinier a aussi de l'efficacité; on en prendra quelquefois gros comme une
11 noisette, d'autres fois comme deux ou trois de ces fruits. Un lavement
d'huile est aussi très-utile aux vieillards qui ont le ventre resserré.

19. REMÈDES CONTRE L'IMPUISSANCE VIRILE.

1 On oindra fréquemment les parties génitales avec une substance grasse
à laquelle on aura ajouté un peu de racine de narcisse, de baies de Gnide,
de pariétaire d'Espagne, de staphisaigre, ou de graine d'ortie ou de gat-
2 tilier. On peut, à volonté, se donner des érections en introduisant [dans
3 l'orifice de l'urètre] du suc de Cyrène gros comme un grain de millet. On

1. περιτ[ώματα om. A. — Ib. πρεσβυτῶν L Aët. Paul.; πρεσβυτέρων Codd. — 2. τε Gal.; om. Codd. — 5. τε om. A.

σθίειν δὲ πρὸ τῆς τροφῆς ὠπτημένους βολβοὺς τοὺς ἐρυθιῶντας τοὺς μικροὺς ἅμα ἁλσὶ καὶ ἐλαίῳ, ἢ μάραθρα πεφρυγμένα ἅμα ταρίχῳ, ἢ σκίλλης βραχὺ μεμαρασμένης.

κ'. Πρὸς ἐρρυτιδωμένον σῶμα.

Ἀρρυτίδωτον δὲ ποιεῖ σῶμα καὶ ἄλευρα ὀρόβων ἀμπέλῳ μιχθέντα 1
5 τῇ λευκῇ. — Ἄλλο σμῆγμα συνεχῶς σμηχόμενον. Σῦκα πίονα ἅμα 2
βρυωνίᾳ κόπτεται, καὶ ἄλευρα ὀρόβων κεκαυμένα, ἢ σηπίας ὄστρακα μέλιτος ἐπιστάζομένου βραχέος.

κα'. Ὥστε ἡδὺ πνέειν.

Ὅπως δὲ πνέῃ τὸ σῶμα ἡδύ, τῇ ἁφῇ καταμίσγειν κόμην κυπα- 1
ρίσσου ξηρὰν κόψαντας, ἢ πίτυος φλοιόν. Μεμνῆσθαι δὲ ὅπως 2
10 τοῦ ὄρθρου μετὰ τὴν στολὴν μικρὸν ἀπογεύσονται κασίας ἢ βράθυος.

mangera avant le repas des oignons grillés de vaccet de l'espèce petite et rouge, qu'on assaisonnera avec du sel et de l'huile, ou du fenouil grillé combiné à du poisson salé, ou un peu de scille désagrégée.

20. REMÈDES CONTRE LES RIDES DU CORPS.

La farine d'ers combinée à la couleuvrée efface les rides du corps. — 1
Autre détersif d'un emploi très-fréquent : On pile ensemble des figues 2
grasses, de la couleuvrée et de la racine d'ers, ou des os de seiche brûlés, et on fait tomber sur ce mélange quelques gouttes de miel.

21. MOYENS DE SE DONNER UNE BONNE ODEUR.

Afin que le corps répande une odeur agréable, on mêle à la pous- 1
sière dont on se saupoudre avant les exercices des feuilles de cyprès ou de la racine de pin desséchées et pilées. Le matin, après qu'on s'est ha- 2
billé, il ne faut pas oublier non plus de manger un peu de fausse cannelle ou de sabine.

2. μάζα πεφρυγμένη BP. — CH. 20; l. 4. ποιεῖ τὸ σῶμα BP. — 5. τῇ om. BP. — CH. 21; l. 8. μίσγειν A; κατασμίγειν BP. — 10. ἀπογεύσωνται BFP; ἀπογεύωνται A. — Ib. καὶ κασίας ἢ F; καὶ ἀκακίας ἢ BP.

κβ'. Ὥστε ἀναθερμαίνειν τὴν ἕξιν.

1 Ἐπειδὴ δὲ δεῖ καὶ τῇ ἕξει ἀμῦναι, ῥύμματι λουόμενος πυροῦντι χρήσθω τῷδε· καλαμίνθην καὶ σάμψυχον καὶ ὕσσωπον καὶ δαφνίδας καὶ λιβανωτίδα καὶ λίθον πυρίτην καὶ ἅλας καὶ τρύγα τὴν κεκαυμένην καὶ νίτρον καὶ κίσηριν τὸ κατὰ λόγον ἑκάστου καὶ βραχὺ
2 νάπυος καὶ ἀγρίας σταφίδος καὶ κόκκου κνιδίου. Ἀπὸ δὲ τοῦ λουτροῦ 5 ἀκόπῳ χρήσθω θερμαίνοντι.

κγ'. Πρὸς ἄχροιαν.

1 Τὴν δὲ τοῦ σώματος ἄχροιαν μειοῖ βίος εὐφρόσυνος καὶ ἡ προσηνὴς βρώμη· τῇ δὲ βρώμῃ καταμιγνύειν ῥαφανῖδας καὶ πράσα καὶ τὸν
2 χλωρὸν ἐρέβινθον. Εὔχροιαν δὲ ἐργάζεται καὶ τῆς γλυκείας ῥοιᾶς ὁ
3 χυλὸς ῥοφούμενος. Καλὸν δέ ἐστι καὶ ἔλαιον ἐνεψηθείσης ἐπὶ μακρὸν 10

22. REMÈDES POUR SE RÉCHAUFFER LE CORPS.

1 Puisqu'il faut aussi prendre garde à la complexion, on emploiera dans le bain le détersif fortement échauffant qui suit: *calaminthe*, marjolaine, *hysope*, baies de laurier, armarinte, pierre *pyrite*, sel, lie de vin brûlée, soude brute et pierre ponce, de chaque substance, une quantité raisonnable; puis de la moutarde, de la staphisaigre et des baies de Gnide en
2 petite quantité. Après le bain, on se servira d'un remède échauffant contre la fatigue.

23. REMÈDES CONTRE LA PÂLEUR.

1 Une vie enjouée et une alimentation douce diminuent la pâleur du corps; on mêlera aux aliments des radis, des poireaux et des pois chiches
2 verts. Le suc de grenades d'un goût sucré donne aussi une bonne cou-
3 leur, quand on l'avale. C'est encore un bon remède que de l'huile dans laquelle on a fait bouillir pendant longtemps de la racine de couleuvrée.

CH. 22; l. 1. πυροῦντι om. BP. — 2. χρήσθω Paul.; χρῆσθαι Codd. — Ib. καλαμίνθη Codd. 2-3. δαφνίτιδας Codd. — 6. ἀκόπως Codd. — CH. 23; l. 10. ἐνεψ. ex em.; ἑψηθείσης F; ἑψηθέν BP. — Ib. μακρόν LN Paul.; μικρόν Codd.

αὐτῷ βρυωνίας ῥίζης. Τοῦτο καὶ τετανὸν ἐργάζεται τὸ σῶμα. Τοῖς δὲ 4-5
ῥύμμασι μιγνύειν κόλλικας γεγονότας ἔκ τινος τῶν ῥυπλόντων ἀλεύ-
ρων καὶ βολβοῦ τῆς ναρκίσσου καὶ βρυωνίας ῥίζης. Εὖ δὲ καὶ χρώ- 6
ζει ὅτῳ ἔσλιν εὐπορία, ῥίζα τε τῆς πικρᾶς ἀμυγδαλῆς καὶ ὁ καρπὸς
5 ἐν ὕδατι ἑψηθέντα ᾧ χρῆται λουτρῷ.

κδ'. Πρὸς τὰ πελιώματα.

Κωλύειν μὲν συνίσλασθαι πελιώματα τοῖς γέρουσι παχεῖαν ἐρ- 1
γαζομένους τὴν δορὰν καὶ δυσπαθῆ, καὶ τὴν ἕξιν εὖ μάλα θερμήν.
Ὅπως δὲ θᾶτλον ἀπογένηται, ἁλσὶ μὲν χρῆσθαι ἐν τοῖς βαλανείοις 2
κατὰ τὸ μελανθὲν, παραυτὰ δὲ πυριᾷν σπόγγοις δευθεῖσιν εἰς ἀφέ-
10 ψημα τῆς ῥαφάνου ἢ τοῦ ἀψινθίου.

Ce remède rend aussi le corps ferme et luisant. On mêlera aux détersifs 4-5
dont on se sert dans le bain, des pains faits avec quelque farine déter-
sive, des oignons de narcisse et de la racine de couleuvrée. La racine de 6
l'amandier aux fruits amers et ces fruits eux-mêmes donnent aussi une
bonne couleur à celui qui peut se les procurer, s'il les fait bouillir dans
l'eau qui lui sert pour le bain.

24. REMÈDES CONTRE LES TACHES BLEUES.

On empêche les taches bleues de se former chez les vieillards, en 1
rendant leur peau épaisse et résistante, et leur complexion très-chaude.
Afin que ces taches disparaissent plus vite, on applique du sel sur la 2
partie noircie, pendant qu'on prend un bain, et immédiatement après on
fomente avec des éponges trempées dans une décoction de raifort et
d'absinthe.

1. τὸ τετανὸν ἐργ. σῶμα F. — 2. γεγονότας Paul.; γεγονυίας Codd. — 2-3. ἀλεύρων ex em.; ἀλεύρου Codd. — 3. ῥίζης· τοῦτο καὶ τετανὸν ἐργάζεται BP. — Ib. καί om. BP. — 4. τῆς om. BP. — Ch. 24; l. 6. Κωλύειν Paul.; Κωλύει Codd. — Ib. τοῖς γέρουσι om. BP. — 8. ἁλόῃ F 1ª m. — 9. μελανθέν Paul.; μεληθέν BP; μεταβληθέν F. — 10. τοῦ om. F.

κε'. Ὀδόντων φυλακτικά.

1 Οἱ ὀδόντες οὐκ ἀπογενήσονται ἤν τις ταῦτα ποιῇ· φυλάσσεσθαι πρῶτον δεῖ διαφθορὰς σιτίων· φυλάσσεσθαι δὲ καὶ συνεχῶς ἐμεῖν· ὑφοράσθαι δὲ καὶ ἐδωδὰς ὅσαι μὴ σύμφοροι ὀδοῦσι, σῦκα ξηρὰ καὶ μέλι ἑφθὸν τῷ σκληρὸν ἄγαν εἶναι, καὶ φοίνικας ὅσοι δύσθρυπτοι, καὶ πάντα ὅσα τῆς κόλλης ἔχει, καὶ τὰ καταγνύμενα μόλις. 5
2 Ὀλέκει ὀδόντας καὶ τὰ αἱμωδίαν ἐμποιοῦντα καὶ τὰ κατάψυχρα
3 καὶ τὰ σαπρὰ πάντα. Δεῖ δὲ καὶ μετὰ τὰ δεῖπνα ἐκκαθαίρειν τοὺς ὀδόντας.

κς'. Ὥστε μὴ βαρυηκοεῖν.

1 Πρὸς δὲ τὸ μὴ ἀκούειν βαρὺ πρῶτον ἐκκαθαίρειν τὰ ῥύπη τὰ ἐν τῷ πόρῳ, παρὰ χρόνον δὲ καθιέναι λίνον εἰς αὐτὸν καταβαφὲν 10

25. MOYENS POUR CONSERVER LES DENTS.

1 Les dents ne tomberont pas, si on prend les précautions suivantes : on évitera en premier lieu la corruption des aliments [dans l'estomac], et aussi les vomissements fréquents; on regardera comme suspects les aliments qui ne sont pas profitables aux dents, comme les figues sèches et le miel cuit, ce dernier parce qu'il est très-dur, les dattes qui ne s'écrasent pas aisément, et toutes les substances qui sont glutineuses, ou qui se
2 cassent difficilement. Les ingrédients qui causent de l'agacement, ainsi que toutes les choses très-froides ou pourries, sont encore très-nuisibles
3 aux dents. Après ses repas, on doit aussi se nettoyer les dents.

26. MOYENS POUR PRÉVENIR LA DURETÉ DE L'OUÏE.

1 Pour remédier à la dureté de l'ouïe, il faut d'abord enlever les impuretés du conduit [auditif]; puis on y introduira, de temps en temps, des fils de lin trempés dans la masse dont on fait les emplâtres de poix,

Ch. 25; l. 3. δέ om. A. — 4-5. δύστριπτοι A. — 6. Ὀλέσει Codd. — 6-7. καὶ τὰ κατάψ..... πάντα L N Paul.; om. Codd. — 7. τά om. BP. — Ch. 26; l. 9. Πρὸς τὸ μηδέ BP. — 10. καταβαφές ABP.

δρώπακι, καὶ προσπιεσθὲν ἐξέλκειν· ἄκρα γὰρ τοῦ πόρου ἐκκάθαρσις γίνεται καὶ ἅμα τῆς ἀκοῆς πρόκλησις· μετὰ δὲ ταῦτα οἷον ὀρόβου μέγεθος περισχεθὲν βῦσαι τὸν πόρον ἐπὶ ἡμέραν, κἄπειτα ἐξελόμενον χρίειν ἐπὶ ἡμέρας πέντε ἐλαίῳ ἀμυγδαλίνῳ ἢ ναρδίνῳ, ἢ χαμαιμηλίνῳ, ἢ λίπει χηνῶν καὶ ὀλίγῃ χολῇ βοείᾳ. Πάλιν δὲ 2 μετὰ χρόνον νᾶπυ καὶ σῦκα τρίψας πεποιημένον ἐκ τούτου κολλύριον ἐντιθέναι ἐπὶ ὥρας δύο, κἄπειτα ἐξελέσθαι μὲν τοῦτο, ἐγχέαι δὲ ἔλαιον ἀπεζεσμένον ἐν κοιλώματι ἀσφοδέλου ῥίζης.

κζ'. Πρὸς ἀχλὺν ὀμμάτων.

Ὅπως δὲ μὴ ἀχλὺν ἔχῃ τὰ ὄμματα, ὅτε δύνουσι κατὰ ὕδατος ψυ- 1 χροῦ, μακρὸν ἀναβλέπειν· προσδίδοται γὰρ ἔνθεν ἰσχὺς τῇ ὁράσει· μὴ λείπεσθαι δὲ μηδὲ ἀναγνώσεως τόν γε ἔμπειρον. Καὶ δυσό- 2

ensuite on appuiera dessus et on les retirera; de cette manière, on obtiendra à la fois un nettoyage complet du conduit et une excitation de l'ouïe; après cela, on y mettra un bouchon de la grosseur d'un ers, qui ferme exactement le conduit et qu'on y laissera durant tout un jour; après l'avoir enlevé, on pratiquera, pendant cinq jours, des onctions avec de l'huile d'amandes, de l'huile au nard ou à la camomille, ou de la graisse d'oie, auxquelles on ajoutera un peu de bile de bœuf. Quelque temps 2 après on triturera de nouveau de la moutarde avec des figues, et on en fera un *collyre* qu'on introduira dans le conduit et qu'on y laissera deux heures; puis on enlèvera le collyre et on versera dans le conduit de l'huile bouillie dans une excavation pratiquée au centre d'une racine d'asphodèle.

27. REMÈDES CONTRE L'OBSCURCISSEMENT DES YEUX.

Pour prévenir l'obscurcissement des yeux, on doit les ouvrir large- 1 ment, quand on se plonge dans l'eau froide; cette manœuvre donne de la vigueur à la vue; on ne s'abstiendra pas non plus de lire, du moins quand on sait le faire. Il faut aussi forcer les gens à regarder les objets 2

1. γάρ om. BFP. — 3. τὸν πόρον Paul.; τοῦ πόρου F; τοῦ πόνου BP. — Ib. ἔπειτα A. — 5. ὀλίγης χολῆς (χ. om. A.) βοείας Codd. — 6. καὶ ποιήσας A. — Ib. εἰς τοῦτο BP. — 7. ἔπειτα A. — Ib. ἐγχέαι LN Paul.; ἔχειν Codd. — CH. 27; l. 9. δέ om. BP. — 10. μικρόν BP. — Ib. ἐντεῦθεν A. — 11. δέ om. A. — Ib. γε e conj.; δέ Codd. — 11 - p. 223, l. 1. δυσόρατον BP.

ρατα βιαζέσθωσαν βλέπειν, ὑφοράσθωσαν δὲ οἶνον τὸν παχὺν καὶ γλυκὺν καὶ τροφὰς ὅσαι ἄνω πολὺ μένουσι, καὶ ὅσαι δύσπεπτοι καὶ ὑγρὰ γεννῶσιν ἀργὰ καὶ παχέα, καὶ τὰ εὔζωμα καὶ τὰ πράσα, καὶ
3 πάντα ὧν ἡ δριμύτης ἄνω αἴρεται. Φυλάσσεσθαι δὲ καὶ κατάκλισιν ὑπτίαν ἐπὶ μακρὸν, καὶ κρύος, καὶ ἀνέμους τοὺς ἐναντίους καὶ καπνὸν
4 καὶ κόνιν. Ἐγχεῖν δὲ τοῖς ὀφθαλμοῖς ἑκάστης ἡμέρας ὧδε πεποιημένον ὕδωρ ἐπὶ μῆνα καὶ ἡμέραν· μάραθρα βάλλειν χλωρὰ εἰς ἄγγος κεραμεοῦν ἔξωθεν πίσσῃ κεχρισμένον καὶ ὕδωρ ὄμβριον, ἔπειτα ἀποκείμενον ἔχειν ἐξελόμενον τὰ μάραθρα.

κη'. Περὶ πλησμονῆς.

1 Μέγιστον ἐν σιτίοις ἁμαρτάνεται περὶ πλησμονήν· εἰ γάρ τινι καὶ πέψοι χρηστῶς ἡ κοιλία, ἀλλὰ αἱ φλέβες ὑπερεμπιπλάμεναι πονοῦσί τε καὶ διατείνονται καὶ ῥήγνυνται καὶ ἀποφράττονται καὶ

difficiles à distinguer; mais on tiendra comme suspects le vin épais ou d'un goût sucré, les aliments qui restent longtemps en haut, ainsi que ceux qui se transforment difficilement ou qui produisent des humeurs inutiles et épaisses, la roquette, les poireaux, et toutes les substances
3 dont l'âcreté se porte en haut. On se gardera aussi de se coucher pendant longtemps sur le dos, et on évitera le froid, les vents contraires, la
4 fumée et la poussière. Pendant la durée d'un mois et un jour, on injectera journellement dans les yeux une eau préparée de la manière suivante : mettre dans un vase en terre cuite, enduit de poix à l'extérieur, du fenouil vert et de l'eau de pluie; puis retirer le fenouil et mettre l'eau en réserve.

28. DE LA PLÉNITUDE.

Les plus grandes erreurs qu'on commet par rapport aux aliments se rapportent à l'excès de quantité; en effet, s'il y a des gens dont l'estomac digère bien les aliments surabondants, les veines ne s'en emplissent pas moins outre mesure, et, en conséquence, elles se fatiguent, se disten-

1. δέ om. A. — 2. δύσπεπτοι BP: δύσθρυπτοι A. — CH. 28; l. 10. Μέγιστον κακόν BP. — Ib. πλησμονῆς BP. — 11. πέψοι Paul.; πέψει Codd.

πνεύματος μεσταὶ γίνονται καὶ πάνυ βρίθονται· καὶ γὰρ μάλιστα πείθου τὰ κάκιστα τῶν νοσημάτων πλησμονὴν εἶναι. Τὸ δὲ τῆς 2
γαστρὸς πλήρωμα καὶ ἐκένωσεν ἔστιν ὅπῃ ἄνω τὸ ὑπερβάλλον καὶ κάτω διαχωρῆσαν· ὅλως δὲ ἀσθενέστερον τοῦ κατὰ τὰς φλέβας
5 ἐστίν· οὐ μὴν οὐδὲ τοῦτο αἱρετὸν, ἀλλὰ ἤν τις πλείω προσενέγκηται, αὐτίκα χρὴ ἐμέσαι· κίνδυνος γὰρ πέψαντι ἐμπλῆσαι τὰς φλέβας, καὶ μᾶλλον εἰ συνεχῶς τις περὶ τὴν τροφὴν ἀκολασταίνων μηδεμίαν κένωσιν ἐξευρίσκοι. Ἐμεῖν μὲν οὖν χρὴ πρὶν διαφθαρῆναι 3
τὰ σιτία· εἰ δέ τινα κωλύματα εἴη πρὸς τὸν ἔμετον, εἰ μὲν ῥυείη
10 ἡ γαστὴρ, πολλάκις ὠφέλησεν· εἰ δὲ μὴ, ἀλλὰ κοιμηθῆναί γε ἐπὶ πλεῖστον, καὶ ποτὸν ὕδωρ θερμὸν πιεῖν πυκνὰ, πέψαντα δὲ ἱκανῶς, μάλιστα δὲ εἰ καὶ διαχωρήσαι, λούεσθαι καὶ πυριᾶσθαι, καὶ

dent, éclatent, s'obstruent, se remplissent de gaz et s'alourdissent très-fortement; car, accordez-moi en ceci une confiance complète, les maladies les plus mauvaises tiennent au trop plein. Si ce trop plein se borne 2
à l'estomac, l'organe rejette quelquefois le surplus par le haut, ou le fait passer par le bas; en somme, ce trop plein est moins grave que celui des veines, mais il n'est pas bon non plus, et, quand on a trop mangé, on doit vomir immédiatement; car, si l'on digère les aliments surabondants, on risque de remplir les veines, surtout si on s'adonne constamment à l'intempérance, eu égard aux aliments, sans inventer quelque moyen d'évacuation. Il faut donc vomir avant que les aliments 3
se soient corrompus, et, s'il y a quelque circonstance qui défende de vomir, on est souvent soulagé quand il survient un flux de ventre; dans le cas contraire, on dormira du moins pendant très-longtemps, on boira souvent de l'eau chaude, et, quand on a digéré ses aliments, surtout si on est allé aussi à la selle, on prendra un bain, on ira à l'étuve, on prendra

1. βρίθονται Paul. text.; om. Codd. gr. et lat. Paul. marg. — Ib. καὶ γάρ om. BPLN Paul. text.; καί Paul. marg. — Ib. μάλιστα Paul. marg.; om. Codd. gr. et lat. Paul. text. — 2. πείθου post εἶναι A; om. Paul. text. — Ib. τὰ μέγιστα A; κάκιστον δέ Paul. text. — Ib. ἐν νοσήμασι φλεβῶν Paul. text. — Ib. μετὰ πλησμονῆς A. — 5. αἱρετόν Paul.; αἱρετέον BP; om. A. — 5-6. εἰ..... εἰσενέγκοιτο BP. — 6. ἐκπλῆσαι F; ἐκπληρῶσαι BP. — 7. τροφήν] πέψιν A. — 8. χρή om. BFP. — 9. εἴη om. F. — Ib. ῥυῇ Codd. — 10. ἡ Paul.; om. Codd. — 12. δέ om. BFP. — Ib. διαχωρήσειε A; διαχωρῇ BP.

4 σιτίον ἔδειν ὀλίγον καὶ πόμα ὑδαρὲς πίνειν. Εἰ δὲ μήτε διεχώρησέ τι, μήτε ἔπεψε ταχύ, πρὸς δὲ καὶ τὸ ἄλλο σῶμα βαρὺ καὶ δυσκίνητον καὶ ὑπνῶδες εἴη, καί τινες παράλογοι ὄκνοι τὴν γνώμην ἔχοιεν· ταῦτα γὰρ σημαίνει κατὰ φλέβας πλησμονὴν εἶναι, πόνοι δὲ κοπώδεις ἐπὶ τούτοις γίνονται· μέχρι μὲν τὰ ἐν γαστρὶ ἐκπέψωσιν, ἀτρεμεῖν συμφέρει· μετὰ δὲ ταῦτα πόνοις κενοῦν.

κθ'. Δίαιτα τοῖς ἐν ἀσχόλῳ βίῳ τυγχάνουσιν. Ἐκ τῶν Γαληνοῦ.

1 Τὸν ἐν ἀσχόλῳ βίῳ τυγχάνοντα χρὴ σκοπεῖν, εἴτε γυμνάζεσθαι κατὰ τὸν ἔμπροσθεν βίον ἔθος ἔχοι, εἴτε ἀγύμναστος λούεσθαι, καὶ εἰ μὴ γυμναζόμενος μετρίως φέρει τὸ τοιοῦτον ἔθος, ὡς μὴ νοσεῖν συνεχῶς, εὐδιάπνευστος ὤν, τὴν τοιαύτην φύσιν τοῦ σώματος οὐ χρὴ μετάγειν ἐπὶ ἕτερον ἔθος, οὐδὲ ὅλως ὅσαι διὰ πολλοῦ νοσοῦ-

un peu d'aliments, et on mettra beaucoup d'eau dans la boisson qu'on y
4 ajoutera. Si on n'est pas allé à la selle, et si on n'a pas vite digéré, si, de plus, le corps est lourd et éprouve de la difficulté à se mouvoir, si on a de la propension au sommeil et si l'on ressent une paresse extraordinaire de l'intelligence (ces circonstances indiquent qu'il y a de la plénitude dans les veines, et elles sont suivies d'un sentiment de lassitude), il convient de se tenir tranquille jusqu'à ce que le contenu de l'estomac soit complétement digéré; après cela on amènera une évacuation à l'aide des exercices.

29. RÉGIME DES GENS QUI MÈNENT UNE VIE SANS LOISIR. — TIRÉ DE GALIEN.

1 Celui qui mène une vie affairée doit se demander si, pendant la période précédente, il avait l'habitude de s'exercer, ou s'il prenait des bains sans se livrer aux exercices; s'il ne s'exerçait pas et s'il supportait assez bien cette manière de vivre, de manière à ne pas être constamment malade, attendu qu'il avait le corps facilement perspirable, il ne faut pas, dans de telles conditions, faire changer les habitudes, ni, en général,

1. ἐσθίειν BFP. — Ib. ὕδωρ ἐπιπίνειν A. — 2. καί post δέ om. BP. — 4. κατὰ τὰς φλ. BP. — 5. τὰ ἐγγάστρια A. — 5-6. πέψωσι A. — 6. ἀπεμεῖν BP. — Ch. 29; l. 7. Τῶν... τυγχανόντων BP. — 8. ἐγγύμναστος BP. — 10. τὴν τοιαύτ. L qui habet *talis*; τὴν γὰρ τοιαύτ. Codd. — 11. ὅσα Codd.

σιν. Εἰ δὲ συνεχῶς τις φαίνοιτο νοσῶν, εἰ μὲν πληθωρικὸς, σκοπὸς 2
ἔσται σοι παρὰ ὅλην τὴν ὑγιεινὴν δίαιταν, ὅπως ἀεὶ συμμέτρους
ἕξει τοὺς χυμούς· εἰ δὲ διὰ κακοχυμίαν, ὅπως ἀρίστους. Τῶν μὲν 3
οὖν πληθώραν ἀθροιζόντων, τοὺς μὲν ἄντικρυς εἰς τὸ βαλανεῖον εἰσ-
5 ιόντας ἔπειτα τρίψει τε κεχρῆσθαι καί τι βραχὺ κεκονίσθαι πρό-
τερον· ὅσοι δὲ ἔφθανον τὰ τοιαῦτα ποιεῖν, ἐπὶ ὀλίγον μὲν αὐξῆσαι
καὶ αὐτὰ ταῦτα συμβουλεύσομεν, ἀφελεῖν δέ τι καὶ τῶν τροφῶν,
καὶ τὰς ὀλιγοτρόφους προσφέρεσθαι. Τῶν δὲ κακοχυμίαν ἀθροιζόν- 4
των οὐχ εἷς ἐστιν ὁ σκοπὸς, ὅτι μηδὲ τῆς κακοχυμίας ἰδέα μία· τινὲς
10 μὲν γὰρ ψυχροτέραν τε καὶ φλεγματικωτέραν ἀθροίζουσι, τινὲς δὲ
θερμοτέραν τε καὶ χολωδεστέραν, ἔνιοι δὲ ὑδατωδεστέραν, ὥσπερ
ἄλλοι μελαγχολικωτέραν ἀθροίζουσιν. Ἀφεκτέον οὖν ἑκάστῳ σιτίων 5

chez ceux qui ne deviennent malades qu'à de longs intervalles. Si, au 2
contraire, on s'aperçoit que quelqu'un est fréquemment malade, on se
proposera pour but constant, en dirigeant son régime pendant qu'il est
bien portant, de faire en sorte que, s'il est sujet à la pléthore, la quan-
tité de ses humeurs soit toujours moyenne, et, si son état valétudinaire
tient à la mauvaise condition des humeurs, à ce qu'il en ait de très-
bonnes. Nous recommanderons à quelques-uns de ceux qui sont sujets 3
aux accumulations d'humeurs, de se faire frotter d'abord et saupou-
drer d'un peu de poussière, dès qu'ils entrent dans la maison de bains;
quant à ceux qui avaient déjà ces habitudes avant de s'adresser à nous,
nous leur dirons de continuer ces mêmes pratiques, d'en augmenter même
un peu l'intensité, de diminuer la quantité des aliments, et de manger
des choses qui nourrissent peu. Pour les gens chez lesquels il se produit 4
des accumulations d'humeurs mauvaises, il existe plusieurs indications,
parce qu'il y a également plusieurs espèces de ces humeurs; en effet,
chez les uns, il y a plutôt accumulation des humeurs froides et pitui-
teuses, chez les autres, des humeurs chaudes et bilieuses, chez d'autres
encore, des humeurs aqueuses et, enfin, des humeurs atrabilaires. Les 5
gens appartenant à l'une ou l'autre de ces catégories s'abstiendront donc

1. μὲν γάρ BP. — 4. οὖν om. BP. 6. ἔφθασαν BP. — 10. τε Gal.; om. Codd.
— 5. καίτοι βραχὺ κονίσθαι BP. —

τε καὶ ποτῶν ὅσα πέφυκε γεννᾶν ἑτοίμως τὸν ἀθροιζόμενον αὐ-
6 τοῖς χυμόν. Ἐπὶ πάντων δὲ τούτων βοήθημα κοινὸν γαστρὸς ὑπα-
γωγή.

λ'. Περὶ τῶν διαφθειρόντων τὰ σιτία.

1 Διαφθορᾶς τῶν σιτίων ἐν τῇ γαστρὶ γινομένης, οἷς μὲν ὑπέρ-
χεται τὰ διεφθαρμένα, μέγιστον ἐφόδιον εἰς ὑγείαν ἔχουσιν· οἷς δὲ 5
2 οὐχ ὑπέρχεται, διὰ τῶν ἀλύπως ὑπαγόντων ἐρεθιστέον. Τοῖς δὲ
οὕτω διακειμένοις συμφέρουσι καὶ οἱ πρὸ τροφῆς ἔμετοι διὰ οἴνου
πόσεως γλυκέος γινόμενοι· συμβουλεύειν δὲ αὐτοῖς χρὴ μηδὲν κνι-
σῶδες ἢ βρωμῶδες ἢ ὅλως εὔφθαρτον σιτίον προσφέρεσθαι, τὰ εὔ-
3 χυμα δὲ ἐκλέγεσθαι. Τοῖς δὲ οὕτως ἔχουσιν ἐκ διαλειμμάτων χρόνου 10
συμμέτρου τῆς γαστρὸς ὑπαγωγαὶ συμφέρουσι διὰ τῶν μετρίως
καθαιρόντων.

des aliments et des boissons qui, par leur nature, produisent facilement
6 l'humeur qui s'accumule habituellement en eux. Le relâchement du
ventre est un remède commun pour tous.

30. DES GENS CHEZ LESQUELS LES ALIMENTS SE CORROMPENT [DANS L'ESTOMAC].

1 Quand il y a une corruption des aliments dans l'estomac, c'est un
très-grand profit pour la santé, si ces aliments corrompus passent par le
bas; si cela n'a pas lieu, il faut exciter les déjections alvines par des re-
mèdes qui font descendre ces aliments sans produire d'effet désagréable.
2 Les vomissements qu'on provoque avant le repas, en buvant du vin d'un
goût sucré, conviennent aux gens qui se trouvent dans ces conditions;
on doit leur conseiller de ne manger aucun aliment qui sente la graisse
brûlée, qui ait quelque [autre] mauvaise odeur, ou, pour le dire en un
mot, qui se corrompe facilement; on choisira, au contraire, ceux qui
3 contiennent de bons sucs. Il est utile, chez ceux qui sont dans le cas
dont nous parlons, de relâcher le ventre à des intervalles d'une durée
moyenne, à l'aide des substances qui purgent modérément.

CH. 30; l. 7. *oi* Gal.; om. Codd.

λα'. Ὁδοιποροῦσι δίαιτα. Ἐκ τῶν Διοκλέους.

Πρὸς τὰς πορείας ῥᾷστα ἄν τις ἀπαλλάττοι λαπαρὸς ὢν καὶ μὴ 1
συντόνως πορευόμενος· ἔτι δὲ τοῦ μὲν θέρους ταινίᾳ μαλακῇ πλά-
τος ἓξ ἢ ἑπτὰ δακτύλων ἐχούσῃ, μῆκος δὲ μὴ ἔλαττον πέντε πη-
χῶν κατειλημένος τὴν ὀσφὺν ἄχρι τῶν λαγόνων. Καὶ ἡ βακτηρία 2
5 δὲ χρήσιμος γίνεται παρὰ τὰς πορείας· ἐν μὲν γὰρ τοῖς κατάντεσι
προβαλλόμενος ἴσχει τὸ σῶμα προπετὲς γινόμενον καθάπερ τις
κοντός· ἐν δὲ τοῖς ἀνάντεσιν ἐπερειδόμενος, ῥᾷον ἂν ποιήσαι τὴν
εἰς τὸ πρόσαντες κίνησιν τοῦ σώματος. Ἔτι δὲ ἧττον ἂν σφάλλοιτό 3
τις τρισὶν ἐπερειδόμενος ἢ δυοῖν. Διαναπαύσεως μὲν οὖν γινομένης 4
10 τῆς πορείας, ἄλειμμα καὶ σμικρὰ σίτου προσφορὰ τῶν θερινῶν τι-
νος, καὶ πόμα μέτριον ἁρμόττει ταύτην τὴν ὥραν, καὶ μετὰ τὸ
ἄριστον ἀνάπαυσις πρὸ τοῦ προέρχεσθαι· συνείρειν δὲ ἀναγκαζο-

31. RÉGIME DE VOYAGE. — TIRÉ DE DIOCLÈS.

On se tirera surtout facilement des voyages à pied, si on a le ventre 1
libre, si on ne fait pas d'effort en marchant, et, de plus, lorsqu'on est en
été, si on s'enroule les lombes, jusqu'à la région des iles, d'une bande
molle de la largeur de six ou sept doigts et qui ait au moins une longueur
de cinq coudées. Le bâton est également utile en voyage; en effet, quand 2
on marche sur un chemin déclive et qu'on porte ce bâton en avant, il
retient, à l'instar d'un poteau, le corps qui, lui aussi, penche en avant;
si, sur les routes montantes, on s'appuie dessus, il facilitera le mou-
vement qu'on fait pour monter le coteau. En outre, on bronchera moins 3
en s'appuyant sur trois que sur deux soutiens. Quand on se repose de 4
la marche, il convient, dans cette saison, de s'oindre, de prendre un peu
d'aliments, à savoir quelque mets d'été; il est bon de boire modéré-
ment et de se reposer après le déjeuner avant de reprendre sa marche;

CH. 31; l. 4. κατειλημμένος F. — Ib. τῶν om. BP. — 5. χρησίμη F. — Ib. παρὰ τῆς πορείας BP. — 6. τις om. F. — 7. κοντός] βάσις BP. — Ib. ποιῇ BP. — 9. μέν] δέ BP. — 12. πρὸ τοῦ LN Paul.; om. Codd.

μένῳ καὶ διψῶντι λεπτὸν ἄλφιτον ἐπὶ ὕδατι μετὰ ἁλὸς μετρίου
5 πίνειν. Τὰ δὲ καύματα καὶ τοὺς ἡλίους εὐλαβεῖσθαι δεῖ μηδὲν γυμνὸν
ἡλιούμενον τοῦ σώματος, ἀλλὰ σκεπασάμενον, ὅπως ἰδίῃ καὶ μὴ
σκληρύνηται ξηραινόμενον παρὰ τὴν πορείαν· οὕτω γὰρ ἂν ὅ τε
κόπος ἥττων συμβαίνοι, καὶ τῶν προειρημένων παθῶν οὐδὲν ἂν γέ- 5
6 νοιτο ὁμοίως. Τοῦ δὲ χειμῶνος ψύχους ὄντος πρὸ τῆς πορείας λα-
παχθέντα καὶ ἀλειψάμενον σιτίων τῶν χειμερινῶν πολύ τι καὶ πόμα
μικρὸν ἁρμόττει λαβεῖν, καὶ εἱλίξασθαι ταινίᾳ μακροτέρᾳ, μὴ μόνον
7 τὴν ὀσφύν, ἀλλὰ καὶ τὴν ῥάχιν καὶ τὸ στῆθος εὖ καὶ καλῶς. Διανα-
παυόμενον δὲ ἐν τῇ τοιαύτῃ παρηγορίᾳ, γινομένου ψύχους ἱκανοῦ, 10
μήτε ἀλείφεσθαι, μήτε σιτίον, μήτε πόμα λαμβάνειν βέλτιόν ἐστι,
μηδὲ ἂν ὁπωσοῦν ῥυπαρὸς ᾖ, πυριᾷν, εἰ μὴ μέλλοι τις αὐτοῦ κατα-
8 μένειν. Μετὰ δὲ τὰς πορείας τὰς μακρὰς καὶ τοὺς ἄλλους πόνους

si on est obligé de poursuivre son voyage et si on a soif, on boira de l'eau dans laquelle on mettra une quantité modérée de sel et qu'on sau-
5 poudrera d'alphiton fin. On se gardera de la chaleur et du soleil en n'exposant aucune partie du corps à nu aux rayons de cet astre; au contraire, on les couvrira toutes, afin qu'elles transpirent et qu'elles ne se durcissent pas, en se desséchant par l'effet de la marche; de cette manière on se fatiguera moins, et aucune des incommodités dont nous
6 venons de parler ne se présentera. En hiver, quand il fait froid, il convient, après être allé à la selle et après les onctions, de manger une grande quantité d'aliments d'hiver, mais de boire peu avant de se mettre en marche, et de s'enrouler parfaitement bien avec une bande plus longue que celle d'été, non-seulement les lombes, mais aussi l'épine du
7 dos et la poitrine. Quand on se repose après avoir pris ces précautions et que le froid est intense, il vaut mieux ne pas s'oindre, ne pas manger, ne pas boire, et, quelque malpropre qu'on soit, ne pas aller à l'étuve, à
8 moins qu'on ne doive demeurer là où on est arrivé. Après les longs voyages, ainsi qu'après les autres grandes fatigues, on se soignera comme

1. ὕδατος BP. — 3 ἀλλά] καί BP. — 4-5. ὅτε ὁ κόπος BP. — 5. συμβαίνει BFP. — 7. πολύ LN Paul.; om. Codd. — Ib. τι om. BP. — 9-10. Διαναπαυόμενον ex em.; Διαναπαυόμενος F; Διαναπαυόμενα BP. — 10. δέ LN Paul.; om. Codd. — 12. ῥυπαρὸς ᾖ conj.; παρῇ Codd.; om. N Paul.

τοὺς ἰσχυροὺς, κἂν μὴ κοπιᾷ τις, δεῖ θεραπεύειν αὐτὸν καθάπερ τοὺς κοπιῶντας· ἧττον γὰρ ἂν οὕτως ἀποβαίνοι τι δυσχερές.

λϛ'. Τίνα συμβάλλεται τοῖς ἀποδημοῦσι πρὸς μεταβολὰς τῶν ὑδάτων. Ἐκ τῶν Ἐρασιστράτου.

Πρὸς τὰ νιτρώδη τῶν ὑδάτων καὶ ἁλυκίδα τινὰ ἔχοντα οἶνον 1
εὐώδη τε καὶ διουρητικὸν ὡς βέλτιστον πλείω μιγνύναι τῷ πινο-
5 μένῳ, καὶ ἀκρατέστερον ποιοῦντα τὸ πᾶν ὑγρὸν μὴ πολὺ λαμβά-
νειν· πρὸς δὲ τὰ δυσέκκριτα τῶν ὑδάτων, οἶνόν τε οἷος εἴρηται νῦν
μιγνύειν καὶ μέλι βέλτιστον, καὶ τούτων ἀμφοτέρων πλείω τὴν
μῖξιν ποιεῖσθαι, καὶ τὸ πᾶν ὑγρὸν μὴ πολὺ λαμβάνειν· οὕτω γὰρ
ἥκιστα ἄν τις ὑπὸ τῆς τῶν ὑδάτων κακίας ἐνοχλοῖτο, ὅταν αὐτῷ τῷ
10 ὕδατι μιγνύῃ χυλοὺς συνήθεις τε καὶ πλείους ἐναντιουμένους τῇ τοῦ
ὕδατος κακίᾳ, καὶ τὸ πᾶν ὑγρὸν μὴ πλεῖον προσφέρηται. Συμμε- 2

font les gens fatigués, lors même qu'on n'éprouverait pas de lassitude; de cette manière, il en résultera moins d'incommodités.

32. QUELS SONT LES MOYENS QUI CONTRIBUENT À FAIRE SUPPORTER LE CHANGEMENT D'EAU À CEUX QUI SONT EN VOYAGE. — TIRÉ D'ÉRASISTRATE.

Ce qu'il y a de mieux pour corriger les eaux alcalines, ou qui ont un 1
certain goût salé, c'est de mêler à l'eau qu'on boit une assez grande quantité d'un excellent vin odoriférant, et qui pousse aux urines; en tout cas, la boisson doit être moins trempée et moins abondante que d'habitude; aux eaux qui passent difficilement on mêlera du vin tel que celui que nous décrivions tout à l'heure et du miel de qualité supérieure, dans une proportion assez considérable; mais la totalité de la boisson ne sera pas très-forte : de cette manière, c'est-à-dire en mêlant à l'eau une assez grande quantité de sucs (*vin* et *miel*) qui nous sont habituels, et qui corrigent la mauvaise qualité de ce liquide, et en buvant à petites doses, on ressentira très-peu les mauvaises qualités de l'eau. On 2

1. δεῖ καὶ θεραπεύειν BP. — Ib. ἐνοχλεῖται BP. — 9-p. 231, l. 2. ὅταν αὐτόν Codd. — CH. 32; l. 3. οἶνον LN; ..... κακίαν om. N. — 10. πλείοιον Codd. — 5-6. λαμβάνοντα F. — 9. σλους BP.

ταβάλλειν δὲ καὶ τὰ ἐν τῇ διαίτῃ προσφερόμενα ἁρμοζόντως πρὸς
3 τὴν τοῦ ὕδατος κακίαν. Οὐ μόνον δὲ τὴν τοῦ ὕδατος μεταβολὴν ἐπι-
βλέπειν δεῖ τοὺς ἀποδημοῦντας, ἀλλὰ καὶ τὴν τοῦ ἀέρος καὶ τὴν
τῶν προσφερομένων ἁπάντων· τὰ γὰρ μέλλοντα νοσοποιεῖν ἢ ἐν
τῷ πλήθει τῆς τροφῆς τὴν αἰτίαν λήψεται, ἢ ἐν τῇ κακοχυμίᾳ, ἢ 5
ἐν τοῖς ἀπὸ τῆς ἀναπνοῆς γινομένοις.

λγ'. Πλωϊζομένων δίαιτα. Ἐκ τῶν Διεύχους.

1 Πρὸς τοὺς συμβαίνοντας ἐμέτους τοῖς πλωϊζομένοις, τοῖς μὲν
ἀπὸ πρώτης γενομένοις οὔτε ῥᾴδιον, οὔτε χρήσιμον ἀντιτάσσεσθαι·
2 πάντα γὰρ ὡς ἐπιπολὺ εἴωθεν ὠφελεῖν. Δεῖ δὲ μετὰ τὸν ἔμετον μὴ
πολλὰ, μηδὲ τὰ τυχόντα προσφέρεσθαι, ἀλλὰ ἢ τῷ φακῷ χρῆ- 10
σθαι ὀξηρῷ καὶ καθέφθῳ γληχοῦς μικρὸν ἔχοντι ἢ ἄρτῳ κατατε-
θρυμμένῳ ἐν οἴνῳ ὑδαρεῖ καὶ εὐώδει· τῷ δὲ ποτῷ χρῆσθαι βραχεῖ,

changera en même temps les autres éléments du régime, suivant que
3 les eaux ont telle ou telle mauvaise qualité. Seulement les personnes
qui sont en voyage ne doivent pas uniquement faire attention au changement d'eau, mais aussi au changement d'air et de tout ce qu'on mange ou boit, les influences qui doivent nous rendre malades exerçant leur action, soit par la surabondance d'aliments, soit par le mauvais état des humeurs, soit par les éléments qui pénètrent à l'aide de la respiration.

33. RÉGIME POUR CEUX QUI VOYAGENT SUR MER. — TIRÉ DE DIEUCHÈS.

1 Il n'est ni facile, ni utile, du moins quand on monte un vaisseau
pour la première fois, de résister aux vomissements que provoquent les
voyages sur mer; en effet ces vomissements sont, le plus souvent, avan-
2 tageux sous tous les rapports. Après les vomissements, on ne mangera
ni beaucoup, ni indifféremment de tous les mets, mais on prendra ou
des lentilles fortement cuites et aigries, auxquelles on ajoutera un peu
de pouliot, ou du pain cassé dans du vin aqueux et odoriférant; on

1. τε BP. — 2. κακίαν L; om. Codd. gr. — Ch. 33; l. 11-12. κατεθρυμμ. BP.

καὶ τούτῳ ἢ οἰναρίῳ παντελῶς ὑδαρεῖ, ἢ ὀξειδίῳ τῷ τοῦ ἀπομέλι-
τος. Τοὺς δὲ φακοὺς ἑψῆσαι δεήσει, κἄπειτα ὅταν μαλακοὶ γένων- 3
ται, τρίβειν λείους, εἶτα ξηρᾶναι, κἄπειτα οὕτω συνθεῖναι εἰς κερα-
μεοῦν ἄγγος. Ἐπὶ πλείω δὲ χρόνον πλειόνων γενομένων ἐμέτων τῇ 4
ὑποσολῇ τῆς τροφῆς σφοδροτέρᾳ χρησέον, καὶ τῷ ποτῷ βραχεῖ,
ἢ τῷ ὀξειδίῳ τῷ τοῦ ἀπομέλιτος μετὰ ὕδατος, θύμου ἐν αὐτῷ ἀπο-
βεβρεγμένου, ἢ γλήχωνι καὶ ὕδατι μετὰ ἀλφίτου πάλης, ἢ τῷ οἰ-
ναρίῳ τῷ εὐώδει μετὰ πάλης ὑδαρεῖ ὡσαύτως. Πρὸς δὲ τὰς δυσχε- 5
ρεῖς ὀσμὰς τὰς ἐν τοῖς πλοίοις ἢ μῆλα δέοι ἂν ὀσφραίνεσθαι τὰ
κυδώνια, ἢ τὸν θύμον, ἢ τὴν γλήχωνα. Δεῖ δὲ καὶ βλέπειν ὅτι 6
ἥκισα εἰς τὴν θάλασσαν ἕως εἰς τὸν ἐθισμὸν ἔλθῃ τις τῆς ἐν τῷ
πλοίῳ διατριβῆς. Καὶ τοῖς ὕδασι δὲ προσέχειν, ὅπως μήτε θολερά, 7
μήτε δυσώδη, μήτε ἁλυκὰ ἔσται.

boira peu, et la boisson consistera en du vin tout à fait aqueux, ou en
du vinaigre provenant de l'eau de rayons de miel. On fera bouillir les 3
lentilles, puis, quand elles seront ramollies, on les réduira en farine par
la trituration, ensuite on les séchera, et, après cela, on les mettra de côté
dans un vase en poterie. Si des vomissements rapprochés durent pendant 4
longtemps, il faudra insister encore sur la diminution des aliments et
boire peu; on se servira alors soit du vinaigre provenant de l'eau de
rayons de miel, qu'on coupera avec de l'eau, et dans lequel on fera ma-
cérer du *thym*, ou d'un mélange de pouliot, d'eau et de farine fine d'al-
phiton, ou d'un vin odoriférant et aqueux, comme nous l'avons dit plus
haut, en y ajoutant la même espèce de farine. Pour combattre les éma- 5
nations incommodes qu'on rencontre dans les navires, on aspirera l'odeur
de coins, de *thym* ou de pouliot. On évitera aussi, autant que possible, de 6
regarder la mer, jusqu'à ce qu'on ait pris l'habitude de séjourner à bord.
On prendra garde que l'eau destinée à la boisson ne soit ni trouble, ni 7
de mauvaise odeur, ni salée.

1-2. τῷ τοῦ ἀπομ. ex em.; τῷ ἀπὸ τοῦ μέλ. Codd. — 2-3. γέν.] ἔσσονται BP. — 4. ἀγγεῖον F. — 6. τῷ τοῦ ἀπομ. ex em.; τοῦ ἀπὸ τοῦ μέλ. F; τῷ ἀπὸ τοῦ μέλ. BP. — 8. μετὰ..... ὡσαύτως om. BP. — 9. ὀσμάς e LN (*odores* N; *odoramenta* L); ὁρμάς Codd. gr. — Ib. τά] ἢ BPN. — 10. τήν ex em.; τόν Codd. — 11. τις om. FPLN. — Ib. τῆς om. B.

λδ'. Περὶ μέθης.

1 Τοῖς μέθῃ κατεσχημένοις ἔμετος ἁρμόσει παραχρῆμα γινόμενος.
2 Δεῖ δὲ καὶ δαψιλὲς ὕδωρ ἐπιπίνοντας καὶ μελίκρατον ἐμεῖν ἕως πλεῖστά τε ἀπορρίψωσι καὶ τὰς δήξεις ἀμβλύνωσι, μετὰ δὲ τοὺς ἐμέτους ἐμβάσει τε χρῆσθαι σὺν ἀλείμματι δαψιλεῖ· τὸν δὲ λοιπὸν χρόνον ἡσυχάζειν ἐν σκέπῃ κοιμωμένους ἐπὶ πλεῖστον χρόνον ἕως 5 ἂν ἐξοινίσωσιν.

λε'. Περὶ τῶν ἀμέτρως πεπλησιακότων.

1 Τοῖς δὲ ἀμέτρως πεπλησιακόσιν ἁρμόζει σκέπη, ἀλέα, ἡσυχία, ὕπνοι ἱκανοὶ, ἕως ἂν ἐκ μὲν τῆς συντονίας ἄνεσιν λάβῃ τὸ σῶμα, ἐκ δὲ τῆς ἀτονίας ἀνακτήσωνται ἑαυτούς.

34. DE L'IVRESSE.

1-2 Les gens pris d'ivresse devront vomir immédiatement. Ils exciteront des vomissements en buvant après coup beaucoup d'eau pure et d'eau miellée, jusqu'à ce que la quantité des matières vomies soit devenue très-considérable, et que les picotements [de l'orifice de l'estomac] se soient amortis; après les vomissements, ils prendront un bain pendant lequel ils s'oindront avec une grande quantité de substance grasse; le reste du temps ils se reposeront, en dormant pendant très-longtemps dans un endroit abrité, jusqu'à ce qu'ils aient fait disparaître l'effet du vin.

35. DES GENS QUI ONT COMMIS DES EXCÈS SEXUELS.

1 Ceux qui ont commis des excès sexuels doivent se reposer dans un endroit abrité et tiède, et se livrer à un sommeil suffisamment prolongé, jusqu'à ce que la tension dans laquelle ils ont mis leur corps ait éprouvé du relâchement, et qu'ils aient triomphé de leur faiblesse.

CH. 34; l. 1. κατεσχημένοις Paul.; κατισχημένοις F; κατισχυμένοις A; κατεχομένοις BP. — Ib. ἀρκέσει BP. — Ib. αὐτίκα A. — Ib. γενόμενος BP. 2. ἐπὶ πίνοντες F, idque post μελίκρατον. — Ib. ἕως Paul.; ὡς Codd. — 5. χρόνον post, πλεῖστον om. A. — 6. ἐξεμέσωσιν BP.

λς'. Περὶ τῶν κατεψυγμένων.

Καταψύξεως δὲ ἱκανῆς γενηθείσης κατακλίνειν ἐν τόποις θερ- 1
μοῖς αὐτοὺς, συναλείφοντας κυπρίνῳ ἢ ἰρίνῳ· μετὰ δὲ ταῦτα σμι-
κρὸν ἀναθερμανθέντων διδόναι πέπερι καὶ σμύρναν μετὰ οἴνου λευ-
κοῦ εὐώδους παλαιοῦ, ἢ ὀπὸν κυρηναϊκὸν μετὰ οἴνου, ἢ ὄξους, ἢ
5 πύρεθρον, ἢ κασΊόριον μετὰ ὄξους· τροφὴν δὲ προσφέρειν θερμο-
τέραν καὶ σύμμετρον.

λζ'. Περὶ τῶν ἐγκεκαυμένων.

Ἐγκαύσεως δὲ γενομένης κατακλίνεσθαι μὲν ἐν τόποις εὐπνόοις, 1
προσκλύζεσθαι δὲ τό τε πρόσωπον καὶ τὰς χεῖρας καὶ τὰ σκέλη
ψυχροῖς ὕδασιν· προσδίψους δὲ γεγονότας πίνειν ψυχρὸν ὕδωρ, οἷς
10 σύνηθες. Ταῦτα δὲ ποιεῖν ἐκ τοῦ κατὰ ὀλίγον καὶ μὴ ἀθρόως· τρο- 2
φὴν δὲ λαμβάνειν ὀλίγην εὐδιοίκητον, ὑγροτέραν μᾶλλον ἢ σιτω-
δεσΊέραν.

36. DES GENS REFROIDIS.

On couchera ceux qui ont subi un refroidissement assez prononcé 1
dans des endroits chauds, et on leur pratiquera des onctions avec de l'huile à l'alcanna ou à l'iris; quand ils se seront un peu réchauffés, on leur donnera soit du poivre et de la myrrhe avec du vin blanc, odoriférant et vieux, soit du suc de Cyrène avec du vin ou du vinaigre, soit de la pariétaire d'Espagne ou du castoréum avec du vinaigre; enfin on leur fera prendre une quantité modérée d'aliments plus ou moins chauds.

37. DES GENS ÉCHAUFFÉS.

Si on a éprouvé un échauffement, on se couchera dans des endroits 1
bien aérés, et on se lavera la face, les bras et les jambes, avec de l'eau froide; si on a de la soif, on boira de l'eau froide, pourvu qu'on en ait l'habitude. On fera tout cela petit à petit, et non d'un seul coup; puis 2
on prendra une petite quantité d'aliments, qui se distribuent facilement dans le corps et qui soient plutôt humides que farineux.

λη'. Περὶ φλέγματος ἐν τῇ γαστρὶ πλεονάζοντος. Ἐκ τῶν Γαληνοῦ.

1 Εἴ τινι περιτετύχηκάς ποτε τὰς τῶν τροφίμων σιτίων προσφορὰς ἀποστρεφομένῳ καὶ δεινῶς ἀποσίτῳ, καὶ εἰ βιάζοιτο προσφέρεσθαι, ναυτιώδει γινομένῳ, μόνα δὲ, εἴπερ ἄρα, τὰ δριμύτερα προσιεμένῳ, χαίροντι δὲ μηδὲ ἐπὶ τούτοις, ἀλλὰ ἐμφυσωμένῳ καὶ διατεινομένῳ τὴν γαστέρα καὶ ναυτιῶντι, καὶ βραχὺ ταῖς ἐρυγαῖς ἐπικουφιζομένῳ μόναις, διαφθείροντι δὲ ἔστιν ὅτε καὶ αὐτὰ τὰ λαμβανόμενα σιτία, καὶ μάλιστα τὴν εἰς ὀξύτητα διαφθορὰν, πάντως ἔγνως τὰ βοηθήματα κεφάλαιον ἔχοντα τῆς ἰάσεως ἀπορρύψαι τῆς
2 γαστρὸς τὸ φλέγμα. Ἔγωγε οὖν οἶδά ποτέ τινα τῶν οὕτω διακειμένων ἐπὶ ταῖς διὰ ὀξυμέλιτος ῥαφανῖσι πλῆθος μὲν ἄπιστόν τι φλέγματος παχυτάτου ἐμέσαντα, παραχρῆμα δὲ ὑγιᾶ τελέως ἀποδειχθέντα.

38. DE L'EXCÈS DE PITUITE CONTENU DANS L'ESTOMAC. — TIRÉ DE GALIEN.

1 S'il se rencontre quelqu'un qui repousse les mets nourrissants, qui ait une aversion très-vive pour les aliments, qui soit pris de nausées quand on le force à manger, ou qui, éprouvant encore quelque appétit, ne veut que des substances âcres, lesquelles, loin même de lui être agréables, lui causent souvent du ballonnement, de la distension du ventre et des nausées; si les éructations seules soulagent un peu; si, parfois, les aliments que prend cet individu se corrompent dans l'estomac, corruption qui provient surtout de ce qu'ils s'aigrissent, sachez que le principal effet des remèdes que vous administrerez consistera toujours à
2 balayer la pituite de l'estomac. Du moins, je me rappelle un individu qui était dans cet état, et dont la santé, après qu'il eut pris des radis dans du vinaigre miellé, et qu'il eut, en conséquence, vomi une quantité incroyable de pituite très-épaisse, se trouva à l'instant même complétement rétabli.

CH. 38; tit. Διοκλέους D. — 4. μηδέ om. BFP. — 6. μόνον κουφιζ. A. — 7. πάντων F. — 8. ἀπορρίψαι AF. — 9. τινα Paul.; om. Codd.

λθ'. Τί ποιητέον ἐν ταῖς δυσκράτοις κατασλάσεσιν.
Ἐκ τῶν Γαληνοῦ.

Σκοπεῖν ἐν ἁπάσαις ταῖς κατασλάσεσι δεῖ τὴν ἡλικίαν καὶ τὴν 1
φύσιν ἑκάσλου τῶν ἀνθρώπων ὅπως ἔχει σχέσεως πρὸς τὴν κατά-
σλασιν· αἱ μὲν γὰρ ὅμοιαι κατασλάσεις νοσώδεις εἰσὶν, αἱ δὲ ἐναν-
τίαι συμφέρουσι, καὶ τοῖς μὲν εὐκράτοις σώμασιν αἱ μὲν εὔκρατοι
5 κατασλάσεις ὑγιειναὶ, βλαβεραὶ δὲ αἱ δύσκρατοι. Ἀλλὰ ὥσπερ οὐ- 2
δεμία τῶν δυσκράτων κατασλάσεων ἀγαθὴ τοῖς εὐκράτοις ἐσλὶν,
οὕτως οὐδὲ μεγάλως βλαβερὰ καθάπερ τοῖς δυσκράτοις· ὅσα γὰρ
ἐγγὺς ἤδη τοῦ νοσεῖν ἐσλι σώματα νόσον τοιάνδε διὰ τὴν οἰκείαν
δυσκρασίαν, ταῦτα ὑπὸ τῆς ὁμοίας τοῦ περιέχοντος ἡμᾶς ἀέρος
10 δυσκρασίας ἐξελέγχεται· τὰ δὲ ἐναντίως κεκραμένα τῷ περιέχοντι
πρὸς τῷ μηδὲν ἀδικεῖσθαι γίνεται βελτίω, τὴν ἀμετρίαν τῆς κρά-

39. CE QU'IL FAUT FAIRE QUAND L'ATMOSPHÈRE EST MAL TEMPÉRÉE.
— TIRÉ DE GALIEN.

Quel que soit l'état de l'atmosphère, il faut examiner quelle relation 1
existe entre l'âge, la nature de chaque individu et la constitution de
l'air; car, si cette constitution est semblable à celle de l'individu, elle
tend à le rendre malade; si elle lui est opposée, elle lui est profitable;
de plus, les constitutions bien tempérées de l'atmosphère sont salubres
pour ceux qui ont un bon tempérament, tandis que les constitutions
mal tempérées leur sont nuisibles. Mais, si aucune intempérie de l'air ne 2
fait du bien aux individus qui ont un bon tempérament, aucune ne leur
cause non plus un dommage grave, comme c'est le cas pour les gens
mal tempérés : en effet, les organismes qui sont sur le point d'être pris
de telle ou telle maladie, à cause du mauvais tempérament qui leur est
propre, trahissent cet état, s'ils subissent l'action d'une atmosphère dont
le tempérament est semblable au leur; au contraire, si le tempérament
de l'atmosphère est l'opposé de celui de ces organismes, bien loin d'en
éprouver du dommage, ils s'amélioreront, attendu que l'excès du tem-

Ch. 39; tit. Ῥούφου L. — 7. μεγάλως ex em.; μεγάλα Codd.

3 σεως τῆς ἐναντίας ἀμετρίας κολαζούσης. Ἐὰν οὖν τοῦτό τις γινώσκῃ, τὴν ὑγίειαν φυλάξει τοῖς σώμασι τἀναντία διαιτήματα προσάγων.

μ'. Περὶ σαρκὸς καθαιρέσεως. Ἐκ τῶν Γαληνοῦ.

1 Ὅταν εἰς πολυσαρκίαν ἄμετρον ἐκτραπῇ τὸ σῶμα, τήκειν αὐτὸ καὶ καθαιρεῖν χρή· δέδεικται δὲ ἡ θερμοτέρα καὶ ξηροτέρα κρᾶσις 5
2 ἰσχυὸν ἐργαζομένη τὸ σῶμα. Τοιαύτην οὖν σοι ποιητέον ἐστὶ τὴν τῶν παχέων, εἰ μέλλοι γενήσεσθαι σύμμετρος· μεμάθηκας δὲ ὡς ὀξέα γυμνάσια καὶ δίαιτα λεπτύνουσα καὶ φάρμακα τὰ τοιαῦτα καὶ τῆς ψυχῆς αἱ φροντίδες ἀποφαίνουσι τήν τε κρᾶσιν ὅλην ξηροτέ-
3 ραν, καὶ διὰ αὐτὴν τὸ σῶμα λεπτότερον. Τὰ μὲν οὖν τῆς λεπτυ- 10 νούσης διαίτης πρόδηλα· φάρμακα δὲ τὰ σφοδρότερα πηγάνου τὸ σπέρμα, καὶ μᾶλλον τὸ τοῦ ἀγρίου σὺν αὐτοῖς τοῖς κορύμβοις,

3 pérament de l'air corrige l'excès contraire de celui de l'organisme. Si donc on reconnaît ces conditions, on conservera la santé des personnes en leur procurant un séjour opposé à leur tempérament.

40. DE LA DIMINUTION DES CHAIRS. — TIRÉ DE GALIEN.

1 Quand le corps s'est démesurément chargé de chairs, il faut fondre ces chairs et en diminuer la quantité; or nous avons montré que le corps s'amaigrit quand son tempérament devient plus chaud et plus sec qu'il
2 ne l'était. C'est donc de ces qualités que vous devez imprégner le tempérament des gens chargés d'embonpoint, si vous voulez qu'il devienne modéré; or vous avez appris que les exercices rapides, le régime atténuant, les médicaments doués des mêmes propriétés et les soucis de l'âme dessèchent complétement le tempérament, et que, par suite
3 de ce desséchement, ils amaigrissent le corps. Les éléments du régime atténuant sont connus; les médicaments qui agissent assez fortement dans ce sens sont la graine de rue, et surtout celle de la rue sauvage, pourvu qu'on la prenne avec toute l'inflorescence, l'aristoloche

2. ὑγείαν BP. — CH. 40; l. 5. καθαιρεῖν ex em.; καθαίρειν Codd. Gal. — Ib. ἡ om. BP. — 6. ἰσχυόν] ὑγρόν P text. AB. — 8. τά om. A. — 11. τό om. A. — 12. τό om. Codd. Gal. — Ib. τοῖς om. Codd.

ἀριστολοχία τε ἡ στρογγύλη καὶ τὸ λεπτὸν κενταύριον, ἥ τε γεν-
τιανὴ καὶ τὸ πόλιον, ὅσα τε τῶν οὐρητικῶν ἰσχυρά, καθάπερ τὸ
πετροσέλινον· ἕκαστον γὰρ τῶν τοιούτων, καὶ αὐτὸ κατὰ ἑαυτὸ,
καὶ σὺν ἀλλήλοις πάντα, λεπτῦναί τε τοὺς χυμοὺς ἱκανὰ καὶ κενῶ-
5 σαι, ἀλλὰ καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχιδνῶν ἅλες ἱκανῶς λεπτύ-
νουσι, καὶ αὐτὴ δὲ ἡ θηριακή. Διαφορεῖ δὲ καὶ λεπτύνει συγχριό- 4
μενον ἔλαιον ἐνηψημένης αὐτῷ σικύου ἀγρίου ῥίζης, καὶ ἀλθαίας
καὶ γεντιανῆς καὶ πάνακος ῥίζης καὶ ἀριστολοχίας, καὶ τὸ πόλιον
δὲ, καὶ τὸ κενταύριον. Δεῖ δὲ τὴν τροφὴν οὐκ εὐθὺς ἐπὶ λουτροῖς 5
10 διδόναι, ἀλλὰ κοιμᾶσθαι πρότερον ἐπιτρέπειν. Κάλλιον δὲ εἶναι 6
καὶ τὸ ὕδωρ τὸ ἐν τῷ λουτρῷ τῶν διαφορητικῶν· εἰ μὲν αὐτοφυὲς
ἔχοιμεν, οἷόν ἐστι τὸ ἐν τῇ Μυτιλήνῃ· εἰ δὲ μὴ, ἁλὸς ἄνθος θα-
λασσίῳ ὕδατι μιγνύειν, καὶ οἴνοις χρῆσθαι τοῖς λευκοῖς καὶ λεπτοῖς.
Καὶ ἡ ξηροτριβία δὲ διὰ ἐκμαγείων τραχυτέρων λεπτύνειν ἱκανή· 7

ronde, la petite centaurée, la gentiane, le *polium*, et toutes les substances fortement diurétiques, comme le persil: en effet ces médicaments, soit qu'on en prenne un tout seul, ou qu'on les associe tous ensemble, suffisent pour atténuer et pour évacuer les humeurs; mais le sel, préparé avec des vipères brûlées, ainsi que la thériaque elle-même, atténuent aussi assez fortement. Les onctions d'huile où on a fait bouillir de la 4
racine de concombre sauvage, d'althée, de gentiane, de panacée d'Hercule, ou d'aristoloche, dissipent et atténuent; il en est de même du *polium* et de la centaurée. On ne donnera pas d'aliments immédiatement après 5
le bain, mais on permettra de dormir auparavant. Il est assez bon que 6
l'eau qu'on emploie pour les bains soit douée de propriétés dissipantes; si on a de l'eau minérale à sa disposition, on en prendra du même genre que celle de Mytilène; dans le cas contraire, on mêlera des fleurs de sel à de l'eau de mer; puis on boira des vins blancs et ténus. Les fric- 7
tions sèches, faites avec des serviettes un peu rugueuses, atténuent aussi

1. τε ἡ om. Codd. — 3. τῶν οὐρητικῶν τοιοῦτον καί BP. — 4. καί ante σύν om. Codd. — Ib. πάντα] παῦσαι A. — Ib. τούς om. A. — 7. αὐτῷ om. BFP. — 8. ἀριστολοχία A L. — 9. δὲ καὶ τήν ABP. — 11. διαφορητικῶν εἶναι· εἰ BFP. — 12. ἔχοιμεν Gal.; ἔχομεν Codd. — Ib. τό om. BP. — 14. τραχυτέρων ex em.; παχυτέρων Codd.

δεῖ δὲ μὴ πρὸς λόγον τῶν γυμνασίων, ἐλάττους δὲ προσφέρειν τὰς
8 τροφάς. Ὠφελεῖ δὲ καὶ ἡλίωσις τοὺς κατασάρκους· χρὴ δὲ μή τι
προπίνειν αὐτοὺς, καὶ μονοσιτεῖν δὲ ἄμεινον, καὶ ἀνατρίβειν δὲ τὸ
9 σῶμα νίτρῳ καὶ ἁλσὶ τραχυτέροις. Τὸ μὲν οὖν πολὺ νίτρον ἐν λου-
10 τροῖς λεπτύνει· τὸ δὲ ὀλίγον ἐρεθισμός ἐστιν εἰς εὐτροφίαν. Λεπτύ-
νει δὲ καὶ τὸ οὕτω μεμιγμένον· πεπέρεως καὶ πετροσελίνου δι-
11 πλοῦν, ἀσάρου δὲ καὶ ἀνίσου τὸ ἥμισυ. Τοῦτο δὲ καὶ οὐρηθῆναι
ἀγαθὸν, καὶ εἰς διαχώρησιν.

μα'. Πῶς ἀνατρέφειν δεῖ τοὺς κατισχνωθέντας.

1 Ὅσους δὲ ἀνατρέφειν βουλόμεθα καταλελεπτυσμένους, οἶνον μὲν
δώσομεν τὸν παχὺν, ἐδέσματα δὲ τὰ παχύχυμα, καὶ γυμνάσια δὲ
τὰ βραδέα, καὶ τρίψιν μετρίαν, καὶ ἁπλῶς εἰπεῖν, ἅπαντα τοῖς

suffisamment; les aliments qu'on donne ne doivent pas être en propor-
8 tion des exercices, mais rester en deçà. L'exposition au soleil est également profitable aux gens chargés de chairs; mais ils ne doivent rien boire avant leurs repas, et il est bon qu'ils n'en prennent qu'un seul et qu'ils se frottent le corps avec de la soude brute, ou avec du sel un peu
9 rugueux. Si on emploie, dans le bain, une grande quantité de soude brute, cette substance atténue; si, au contraire, on emploie la soude en
10 petite quantité, c'est une excitation à prendre de l'embonpoint. Le médicament composé suivant a également la propriété d'atténuer : poivre, persil, cabaret et anis : des deux premières substances le double, et des
11 deux autres la moitié. Ce remède pousse aux urines et produit des selles.

41. COMMENT IL FAUT RESTAURER LES GENS AMAIGRIS.

1 Aux gens amaigris que nous voulons restaurer, nous donnerons du vin épais et des aliments qui contiennent des sucs épais, nous les soumettrons à des exercices lents et à une friction modérée; en un mot, tous les moyens de traitement auxquels nous aurons recours seront le

1. ἐλάττω BFP.—2. δέ ante καί L N; om. Codd. gr. — Ib. ἡ ἡλίωσις A; ἡ λείωσις BFP. — 2-3. μήτε προπ. A. — 3. καί ante μον. om. A. — Ib. δέ post ἀνατρ. om. A. — 7. δέ post ἀσ. om. A. — Ib. τό ex em.; om. Codd. — 8. δυνατόν BP. — Cu. 41; l. 11. τά om. BFP.

προειρημένοις τὰ ἐναντία. Ἐπιτήδειον δέ ἐστιν αὐτοῖς καὶ τὸ πιτ- 2
τοῦσθαι διὰ ἡμερῶν τριῶν ἢ τεσσάρων. Εἰ δὲ νήστεις λούοιντο, πρὸ 3
τοῦ λουτροῦ χρὴ σινδόνι ἀνατρίβειν τὸ σῶμα μέχρις ἂν φοινιχθῇ,
κἄπειτα σκληρᾷ τρίψει μὴ πολλῇ πιλοῦντα τὸ δέρμα πυκνὸν καὶ
5 σκληρὸν ἐργάζεσθαι. Δεῖ δὲ καὶ ὀξυθυμίας ἐμποιεῖν τοῖς ἀχροοῦσί 4
τε καὶ ἀτροφοῦσι, καὶ συγκινήσεις ψυχικάς.

μβ'. Πῶς ἄν τις ἰάσαιτο τὰ κατισχνωθέντα μόρια.

Τῶν δὲ γινομένων ἐν μέρεσί τισιν ἰσχνοτήτων αἱ πλεῖστα διὰ 1
πολυχρόνιον ἡσυχίαν αὐτῶν ἢ καταγματικὸν ἐπιδέσεως τρόπον εἰς
τὸ πάθημα τοῦτο ἔρχονται. Χρὴ οὖν ῥωννύναι μὲν τὴν ἐν τῷ μο- 2
10 ρίῳ δύναμιν, ἐπισπᾶσθαι δὲ αἷμα δαψιλὲς, τρίψεσί τε χρωμένους
μετρίαις, ἐπιτηδείαις τε κινήσεσι, καὶ καταχύσει θερμοῦ ὕδατος
μετρίᾳ· ταῦτα δὲ ποιεῖν μέχρις ἂν ἐρυθρὸν γενόμενον μετεωρισθῇ,

contre-pied de ceux dont nous venons de parler. Il convient aussi d'ap- 2
pliquer des emplâtres de poix tous les trois ou quatre jours. Si on 3
prend des bains à jeun, on doit, avant le bain, se frotter le corps avec
un linge de coton jusqu'à ce qu'il survienne de la rougeur; ensuite on
rendra le corps compacte et dur, en resserrant la peau au moyen d'une
friction dure mais peu prolongée. Aux gens pâles et mal nourris, il faut 4
aussi procurer des occasions de se mettre en colère, et exciter chez eux
des émotions de l'âme.

42. COMMENT IL FAUT GUÉRIR LES PARTIES AMAIGRIES.

Le plus souvent, l'amaigrissement local vient d'un repos prolongé, 1
ou de ce qu'on a appliqué sur les parties une déligation du genre de
celle qu'on emploie pour les fractures. On fortifiera donc la partie amai- 2
grie et on y attirera une grande quantité de sang, en employant des
frictions modérées, des mouvements convenables et une affusion peu
abondante d'eau chaude; on continuera l'emploi de ces moyens jusqu'à
ce que la partie se soulève et prenne de la rougeur, et on s'arrêtera avant

4. σκληρία μὴ π. BFP. — 5. καί ante ὀξυθ. om. F.

3 καὶ πρὶν συμπέσῃ παύεσθαι. Δεῖ δὲ καί τῳ τῶν πιτΐωτῶν φαρμάκῳ χρῆσθαι κατὰ τοὺς εἰρημένους σκοπούς· ὅταν δὲ αἴσθησις ἧ ψυχροτέρου τοῦ μορίου, σινδόσι τε ἀνατρίβειν αὐτὸ καί τινι φαρ-
4 μάκῳ θερμαίνοντι. Ἐχρησάμην δὲ ἐνίοτε καὶ θαψίᾳ, ποτὲ μὲν μετὰ μέλιτος ἐπιχρίων, ἔσΐι δὲ ὅτε καὶ διὰ κηρωτῆς. 5

μγ'. Διάγνωσις ἀρίσΐης κράσεως.

1 Εὔκρατός ἐσΐιν ἄνθρωπος ὃς ἂν τῷ σώματι φαίνηται μέσος ἀκριβῶς ἁπάντων τῶν ἄκρων, ἰσχνότητός τε καὶ παχύτητος, μαλακότητός τε καὶ σκληρότητος, καὶ θερμότητος καὶ ψυχρότητος, καὶ ὑγρότητος καὶ ξηρότητος, καὶ συνελόντι φάναι, τάς τε φυσικὰς ἐνεργείας καὶ τὰς ψυχικὰς ἀμέμπΐως ἔχῃ, μέσος δὲ ἧ καὶ ψιλοῦ τρι- 10
χῶν καὶ δασέος, καὶ μέλανος καὶ λευκοῦ τὴν χρόαν, καὶ τρίχας

3 qu'elle s'affaisse. On emploiera aussi quelque médicament du genre des emplâtres de poix, en se tenant dans les limites que nous venons d'indiquer; lorsque celui qui est en traitement sent que la partie devient plus froide qu'elle n'était, on la frottera avec des linges de coton
4 et avec quelque médicament échauffant. Parfois je me suis servi de la thapsie sous forme de friction, en l'employant tantôt avec du miel, tantôt avec du cérat.

43. MOYENS DE RECONNAÎTRE LE MEILLEUR TEMPÉRAMENT.

1 L'homme bien tempéré est celui dont le corps tient exactement le milieu entre tous les extrêmes, entre la maigreur et l'excès d'embonpoint, entre la mollesse et la dureté, entre la chaleur et le froid, entre l'humidité et la sécheresse, et, pour tout dire en un mot, celui dont les fonctions, tant naturelles que psychiques, sont dans un état irréprochable, et qui n'a ni trop, ni trop peu de poils, ni le teint trop blanc ou trop foncé;

1. πρὶν συμπέσῃ Paul.; πρὶν ἀμπέσῃ F; π. ἂν πέσῃ BP. Conf. Gal. — Ib. τῳ ex em.; τῷ Codd.; τινι Gal. — 3. σινδόνι BP. — Ch. 43; l. 10. ἀμέμπΐους F. — Ib. ἔχει AF; ἔχειν BP; item p. 242, l. 1. — Ib. ἧ ex em.; ἐσΐί Codd.

ἔχῃ, παῖς μὲν ὢν πυῤῥοτέρας μᾶλλον ἢ μελαντέρας, ἀκμάζων δὲ ἔμπαλιν.

μδ'. Διάγνωσις τῶν δυσκράτων σωμάτων.

Ὅσα δὲ σώματα τοῦ συμμέτρου θερμότερα τυγχάνει τούς τε 1
ὀδόντας φύσει θᾶττον, αὐξηθήσεταί τε ὁμοίως. Φανεῖται δὲ δήπου 2
καὶ ἁπτομένοις θερμότερα καὶ πιμελῆς ἧττον ἔχοντα, τῇ χρόᾳ δὲ
ἐξέρυθρα καὶ μελανότριχα καὶ μετρίως δασέα καὶ εὐρείας ἔχοντα
τὰς φλέβας. Εἰ δὲ ἅμα τις εἴη πιμελώδης τε καὶ παχὺς καὶ τὰς φλέ- 3
βας εὐρείας ἔχοι, διὰ ἔθος οὗτος, οὐ φύσει πιμελώδης ἐγένετο.
Ψυχροτέρας δὲ κράσεως σημεῖα τὸ ψυχρὸν ἁπτομένοις, τὸ ἄτριχον, 4
τὸ πιμελῶδες· ἡ χρόα δὲ τοῖς τοιούτοις ἅμα ταῖς θριξὶ λευκοτέρα·
πολλῆς δὲ τῆς ψύξεως οὔσης, πελιδνή πώς ἐστι καὶ μολιβδόχρους
Καὶ στενὰς δὲ ἔχουσι τὰς φλέβας· εἰ δέ τις στενὰς μὲν ἔχει τὰς 5

ses cheveux seront, dans l'enfance, plutôt blonds que noirs, tandis que, vers le milieu de la vie, ce sera le contraire.

44. MOYENS DE RECONNAÎTRE DES CORPS MAL TEMPÉRÉS.

Quand la chaleur dépasse la moyenne, les dents poussent plus vite et 1
le corps croît avec la même rapidité. La peau est aussi plus chaude au 2
toucher et il y a moins de graisse que dans le cas contraire; le teint est d'un
rouge vif et les cheveux sont noirs; ces personnes sont modérément velues
et ont les veines amples. Si un individu est à la fois gras, gros et pourvu 3
de veines larges, ce n'est pas par nature, mais par son régime habituel,
qu'il est devenu gras. Les signes d'un tempérament plus ou moins froid 4
sont le froid qu'on sent au toucher, l'absence de poils, l'excès de graisse;
le teint des sujets doués d'un pareil tempérament est, ainsi que les poils,
blanchâtre, et, si le froid [du tempérament] est intense, ce teint est,
en quelque sorte, livide et plombé. Ces sujets ont aussi les veines pe- 5
tites; si cependant on a les veines petites tout en étant maigre, ce n'est pas

Ch. 44; l. 4. φύει Codd. Conf. t. III, p. 13. — 5-6. τῇ... μελανότριχα om. F. — 8. ἔχει BFP. — 10. δὲ τούτοις BP. — Ib. πυρωτέρα F; πυῤῥοτέρα ABP. Conf. t. III, p. 14. — 12. ἔχοι BFP.

φλέβας, ἰσχνὸς δὲ ὑπάρχοι, οὐδὲ οὗτος ἐξ ἀνάγκης τοιοῦτος, ἀλλὰ
6 διὰ ἔθος ἐγένετο. Ἡ δὲ ξηρὰ σκληροτέρα τέ ἐστι καὶ ἰσχνοτέρα τῆς
7 εὐκράτου καὶ δασεῖα. Ἡ μὲν οὖν σκληρότης ἀχώριστός ἐστι τελέως
τῆς ξηρᾶς κράσεως· ἡ δὲ ἰσχνότης οὐ μόνον ἕπεται ταῖς συμφύτοις
κράσεσιν, ἀλλὰ καὶ ταῖς ἐπικτήτοις ἐξ ἔθους μακροῦ γενομένη. 5
8 Σημεῖον δὲ τῆς ξηρότητος καὶ τὸ δυσκίνητον καὶ ξηρὸν καὶ αὐχμη-
9 ρὸν ὑπὸ τῶν ξηραινόντων γίνεσθαι τὸ σῶμα. Ἡ ὑγρὰ δὲ τὰ μὲν
ἄλλα παραπλήσιός ἐστι τῇ εὐκράτῳ, μαλακωτέρα δὲ καὶ πολυσαρ-
10 κοτέρα. Καὶ ταύτης ἀχώριστός ἐστιν ἡ μαλακότης ὥσπερ γε καὶ
ἡ παχύτης, οὐ τῇ συμφύτῳ μόνον ἑπομένη κράσει, ἀλλὰ κἂν ἐξ 10
11 ἔθους τινος μακροῦ λάβῃ τὴν σύστασιν. Ἴδιον δέ ἐστιν ὑγρότητος καὶ
12 τὸ βαρύνεσθαι τὸ σῶμα ὑπὸ τῶν ὑγραινόντων. Ἡ δὲ θερμὴ καὶ ξηρὰ
δασεῖα μὲν ἐσχάτως ἐστὶ, τὰς δὲ τῆς κεφαλῆς τρίχας εὐαυξεστάτας

6 non plus par nécessité, mais par suite du régime habituel. Le [corps des
gens doués d'un] tempérament sec est plus dur et plus maigre que celui
7 des gens doués d'un tempérament moyen, et il est velu. La dureté est
complétement inséparable du tempérament sec; mais la maigreur n'est
pas seulement une conséquence des tempéraments innés, elle l'est aussi
des tempéraments acquis, quand elle s'est produite par suite d'une ha-
8 bitude de vie longtemps prolongée. C'est encore un signe de sécheresse
lorsque, sous l'influence des desséchants, le corps devient sec, aride, et
9 éprouve de la difficulté à se mouvoir. Le tempérament humide ressemble,
sous tous les rapports, au tempérament modéré, excepté qu'il rend les
10 sujets plus mous et leur donne plutôt une masse de chair. C'est de nou-
veau une suite inévitable du tempérament humide que la mollesse; il
en est de même pour l'embonpoint; seulement celui-ci n'accompagne
pas uniquement le tempérament inné, mais se rencontre aussi lorsque
11 l'humidité a pris son origine dans une longue habitude. C'est encore
quelque chose de propre à l'humidité que le corps s'alourdisse sous
12 l'influence des humectants. Le tempérament chaud et sec rend extrê-
mement velu; il donne, pendant la jeunesse, des cheveux noirs, abon-

1. ὑπάρχει BFP. — 5. γινομένη A; γινομέναις BFP. Conf. t. III, p. 15. — 10. ἑπομένη] ἐπιμένει BP. — 11. λωβητὴν σύστασιν BP. — Ib. Ἴδια A.

καὶ μελαίνας καὶ πολλὰς ἔχει κατὰ τὴν νέαν ἡλικίαν, ἐπὶ δὲ προή-
κοντι τῷ χρόνῳ καὶ φαλάκρωσις ἀκολουθεῖ. Καὶ αἱ φλέβες δὲ εὐ- 13
ρεῖαι τυγχάνουσιν, ὥσπερ δὴ καὶ αἱ ἀρτηρίαι μεγάλαι τέ εἰσιν ἅμα
καὶ σφοδρότατα σφύζουσιν. Καὶ δὴ καὶ σύντονον καὶ διηρθρωμένον 14
καὶ μυῶδες καὶ ἀπίμελον ὅλον τὸ σῶμα, καὶ τὸ δέρμα σκληρότερόν
τε καὶ μελάντερον. Ψυχρᾶς δὲ οὔσης καὶ ὑγρᾶς ὁ μὲν θώραξ στε- 15
νός ἐστι καθόλου, καὶ πᾶν τὸ σῶμα ψιλὸν τριχῶν, ἁπαλόν τε καὶ
λευκὸν τὸ δέρμα, καὶ ὑπόπυῤῥον ταῖς θριξὶ, καὶ μάλιστα ἐν νεό-
τητι, καὶ οὐ φαλακροῦνται γηρῶντες. Εὐθὺς δὲ καὶ δειλοὶ καὶ ἄτολ- 16
μοι καὶ ὀκνηροὶ καὶ ἀδήλους ἔχοντες τὰς φλέβας, καὶ παχεῖς καὶ
πιμελώδεις, καὶ νεύροις καὶ μυσὶν ἀόρατοι καὶ ἀδιάρθρωτοι, καὶ
βλαισοὶ γίνονται. Τῆς ψυχρότητος δὲ καὶ τῆς ὑγρότητος ἐπὶ πλέον 17
αὐξηθείσης ἡ χρόα ἅμα ταῖς θριξὶ πυῤῥὰ, κἂν ἐπὶ πλεῖστον αὐ-
ξηθῶσι, πελιδνή. Ἡ δὲ θερμὴ καὶ ὑγρὰ κρᾶσις μαλακωτέρα καὶ 18

dants, et qui croissent très-rapidement, mais auxquels succède, par les
progrès de l'âge, la calvitie. Dans ce tempérament, les veines et les ar- 13
tères sont amples, et les artères battent très-fortement. Le corps tout 14
entier est robuste, bien articulé, musculeux et dépourvu de graisse; la
peau est assez dure et noirâtre. Dans le tempérament froid et humide, 15
la poitrine est, en général, étroite; tout le corps est dépourvu de poils; la
peau est délicate et blanche; les cheveux sont d'un blond clair, surtout
durant la jeunesse; en vieillissant, on ne devient pas chauve. Nécessaire- 16
ment aussi, ces individus sont lâches, peureux et paresseux; ils ont les
veines peu apparentes; ils sont gros et gras; leurs *nerfs* et leurs muscles
sont peu visibles; leurs articulations sont mal développées, et leurs
jambes se tournent en dedans. Quand le froid et l'humidité ont beau- 17
coup augmenté, le teint devient roux, ainsi que les cheveux; on acquiert
une couleur livide quand l'exagération des deux qualités est extrêmement forte. Le tempérament chaud et humide produit une mollesse et 18

1. πολλά BP; οὔλας N Gal. — Ib. νέαν] πρώτην P text. B. — 1-2. προϊόντι BFP. — 3. δέ A; γε BFP. Conf. t. III, p. 16. — Ib. αἱ om. F. — Ib. τε om. Codd. Conf. t. III, p. 16. — 11. νεύροις] μηροῖς Codd. Cf. t. III, p. 17. — Ib. ἀόρατοι Ras.; ἀόρατοι ἀόριστοι BP; ἀόρατοι, ἀόριστοι δέ F.

πολυσαρκοτέρα τῆς ἀρίστης κράσεώς ἐστιν· ἐπὶ πλεῖστον δὲ αὐξη-
19 θεῖσα τοῖς σηπεδονώδεσιν ἑτοίμως ἁλίσκεται νοσήμασιν. Εἰ δὲ
ὀλίγῳ μὲν ὑγροτέρα, παμπόλλῳ δὲ εἴη θερμοτέρα, μαλακώτεροι
μὲν ὀλίγῳ τῶν συμμέτρων οἱ τοιοῦτοι καὶ σαρκωδέστεροι· λασιώ-
τεροι δὲ οὐκ ὀλίγῳ, καὶ μὲν δὴ καὶ ἁπτομένοις οὐκ ὀλίγῳ θερμό- 5
20 τεροι. Εἰ δὲ τὸ ψυχρὸν ἅμα τῷ ξηρῷ κατὰ ἴσον αὐξηθείη, φύσει
σκληρὸν καὶ ἰσχυὸν ἔχουσι τὸ σῶμα, καὶ λευκὸν, ἄμυόν τε καὶ
ἄναρθρον, καὶ ἄχρουν καὶ ἄτριχον, ἁπτομένοις τε ψυχρόν· ἡ πι-
μελὴ δὲ ὅμως αὐτοῖς, καίτοι γε ἰσχνοῖς οὖσι, παρέσπαρται τῇ
σαρκί· τὰ δὲ τῶν τριχῶν καὶ τῆς χρόας ἀνάλογον τῷ μέτρῳ τῆς 10
ψυχρότητος· τὸ δὲ τῆς ψυχῆς ἦθος ἄτολμον καὶ δειλὸν καὶ δύσθυ-
21 μον. Συλλήβδην δὲ εἰπεῖν, ἐπὶ τῶν κατὰ συζυγίαν κράσεων ἀεὶ τῆς
ἐπικρατούσης ποιότητος ἐπικρατήσει τὰ γνωρίσματα.

un embonpoint dont le degré dépasse les états analogues du meilleur tempérament; et, s'il est très-fortement exagéré, on devient sujet à être
19 attaqué de maladies putrides. Si l'excès d'humidité est peu considérable, tandis que celui de la chaleur l'est beaucoup, le corps est un peu plus mou et un peu plus charnu que celui des individus doués d'un tempérament moyen; mais il sera beaucoup plus velu et plus chaud au tou-
20 cher. Si le froid et la sécheresse ont simultanément augmenté au même degré, on aura le corps naturellement dur, maigre et blanc, les articulations et les muscles peu apparents, la peau décolorée, dépourvue de poils, et froide au toucher; quoique les individus dont il s'agit soient maigres, ils ont cependant de la graisse disséminée dans la chair; les signes que nous avons indiqués pour les poils et pour la couleur de la peau seront proportionnels au degré de froid du tempérament; le carac-
21 tère de ces gens sera lâche, peureux et triste. Pour le dire en un mot, dans les tempéraments par combinaison, les signes de la qualité prédominante auront toujours le dessus.

3. πάμπολυ BP. — 7. ἔλαχον BP. — Ib. καὶ λευκόν om. BP. — 9. ὁμοίως Codd. Conf. t. III, p. 18. — 10. καί Gal. Aët.; om. Codd.

με'. Περὶ διαπλάσεως τῆς κεφαλῆς.

Ἡ μὲν μικρὰ κεφαλὴ μοχθηρᾶς ἐγκεφάλου κατασκευῆς ἴδιον ση- 1
μεῖον· ἡ μεγάλη δὲ οὐκ ἐξ ἀνάγκης ἀγαθῆς· εἰ μὲν γὰρ διὰ ῥώμην
ἐγίνετο τῆς ἐγχωρίου δυνάμεως ὕλην χρησίμήν τε καὶ πολλὴν δη-
μιουργούσης, ἀγαθὸν σημεῖον· εἰ δὲ διὰ τὸ μόνης τῆς ὕλης πλῆθος,
5 οὐκ ἀγαθόν. Διορισίέον οὖν αὐτά ἐσίι τῷ τε σχήματι καὶ τοῖς ἀπὸ 2
αὐτῆς πεφυκόσιν· τῷ σχήματι μὲν, εἰ εὔρυθμος· ἀεὶ γὰρ ἀγαθὸν
τοῦτο σημεῖον· τοῖς πεφυκόσι δὲ, εἰ ἄρισία διάκειται, καὶ εἰ τὸ
νευρῶδες αὐτῶν σύμπαν εὐτραφές τέ ἐσίι καὶ εὔτονον, καὶ εἰ δριμὺ
δεδορκότες εἶεν οἱ ὀφθαλμοί. Αἱ δὲ φοξαὶ ἐλλείπουσαν ἔχουσι τὴν 3
10 κατὰ ἰνίον ἢ μέτωπον ἐξοχὴν, ἢ περαιτέρω τοῦ προσήκοντος ηὐξη-
μένην. Ὡς τὸ πολὺ μὲν οὖν, ὥσπερ τὴν μεγάλην, οὕτω καὶ ταύτας 4

45. DE LA CONFORMATION DE LA TÊTE.

Une petite tête est le signe propre d'une mauvaise structure du cer- 1
veau; cependant une grande tête n'est pas nécessairement le signe
d'une bonne structure de cet organe : en effet, si cette conformation
tient à la bonne condition de la force propre, laquelle a construit de
bons matériaux en abondance, c'est un bon signe; si, au contraire, la
conformation dont il s'agit tient uniquement à l'abondance des maté-
riaux, elle n'est pas un bon signe. On doit donc établir une distinction 2
entre ces deux cas à l'aide de la forme de la tête et à l'aide des organes
qui en proviennent : par rapport à la forme, on examinera si elle est
bien proportionnée, car c'est toujours là un bon signe; par rapport aux
organes qui proviennent de la tête, on verra si ces organes sont dans
d'excellentes conditions, et si tout le système nerveux des gens dont il
s'agit est bien nourri et vigoureux; enfin si les yeux sont doués d'une vue
perçante. Les têtes obliques présentent une insuffisance ou un dévelop- 3
pement exagéré, soit de la protubérance occipitale, soit de la protubé-
rance frontale. Le plus souvent donc nous trouverons que ces espèces de 4
têtes sont suspectes aussi bien que les grandes têtes; mais, dans cer-

Ch. 45; l. 3. ἐγένετο A 1ª m. BFP. — Ib. τε om. BFP. — 5. τῷ σχήματι BFP. — 7. εἰ post καί om. Codd. Conf. t. III, p. 195.

εὑρήσομεν μεμπτάς· ἐν δὲ τῷ σπανίῳ καὶ τούτων γίνονταί τινες ἀγαθαὶ, τῆς διαπλαττούσης δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης.

μϛ'. Ἐγκεφάλου κράσεως γνωρίσματα.

1 Ὁ μὲν εὔκρατος ἐγκέφαλος μετρίως ἔχει ταῖς ψυχικαῖς ἐνεργείαις καὶ τοῖς περιττώμασιν, ἥκιστά τε βλαβήσεται πρὸς ἁπάντων τῶν
2 ἔξωθεν. Τοῖς τοιούτοις αἱ τρίχες τῆς κεφαλῆς βρέφεσι μὲν οὖσιν ὑπόπυῤῥοι, παισὶ δὲ ὑπόξανθοι, τελειουμέναις δὲ γίνονται ξανθαὶ, μεταξύ πως οὖσαι τῶν τε ἀκριβῶς οὔλων καὶ τῶν ἁπλῶν· οὐ μὴν
3 οὐδὲ φαλακροῦνται ῥᾳδίως. Εἰ δὲ θερμότερος εἴη τοῦ μέτρου, ἐρυθρότερα καὶ θερμότερα τὰ περὶ τὴν κεφαλὴν ἔσται σύμπαντα, καὶ αἰσθηταὶ μὲν ἐν τοῖς ὀφθαλμοῖς αἱ φλέβες· αἱ δὲ τρίχες τούτοις γενηθεῖσι ταχέως ἐπὶ τῆς κεφαλῆς φύονται, καὶ πολλῷ μὲν οὖσι θερμοτέροις μέλαιναι καὶ ἰσχυραὶ καὶ οὖλαι, μὴ πολλῷ δὲ ὑπόξανθοι

tains cas rares, quelques-unes de ces têtes deviennent bonnes aussi, lorsque la force formatrice présente des conditions favorables.

46. SIGNES POUR RECONNAÎTRE LE TEMPÉRAMENT DU CERVEAU.

1 Si le cerveau est bien tempéré, les fonctions psychiques présenteront des conditions moyennes aussi bien que les résidus, et les influences extérieures, quelles qu'elles soient, feront très-peu de tort à cet organe.
2 Les individus qui sont dans cet état auront des cheveux légèrement roux quand ils sont au berceau, et des cheveux d'un blond clair pendant leur enfance, tandis qu'ils deviendront blonds pendant l'âge mûr; leurs cheveux tiendront aussi le milieu entre des cheveux tout à fait crépus et des cheveux plats, et ils ne deviendront pas facilement chauves non plus.
3 Si la chaleur du cerveau dépasse la moyenne, tout ce qui tient à la tête sera plus rouge et plus chaud que de coutume, et il y aura dans les yeux des veines perceptibles aux sens; après la naissance, les cheveux pousseront vite chez les gens qui ont le cerveau ainsi tempéré; si l'excès de chaleur est considérable, ces cheveux seront noirs, vigoureux et cré-

Ch. 46; l. 4. τοῖς περιττώμασιν Aët. Paul.; τῶν περιττωμάτων Codd. — 8. μετρίου BP. — 9. τά om. BFP. — 11-12. θερμότερα BFP.

μὲν τὸ πρῶτον, εἶτα μελαίνονται· προϊούσης δὲ τῆς ἡλικίας φαλα-
κροῦνται. Περιτλώματα δὲ τούτοις βραχέα ἐστὶν, ὅτε ἀμέμπτως 4
ὑγιαίνουσιν· πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ τῶν
θερμαινόντων ἐδεσμάτων τε καὶ πομάτων καὶ ὀσμῶν καὶ τῶν ἔξω-
5 θεν προσπιπτόντων. Βραχέσιν ὕπνοις αἱ τοιαῦται κράσεις ἀρκοῦν- 5
ται πρὸς τῷ μηδὲ βαθεῖς αὐτοὺς γίνεσθαι. Ψυχροτέρου δὲ ἢ προσῆ- 6
κεν ἐγκεφάλου γνωρίσματα περιτλώματα πλείω κατὰ τὰς οἰκείας
ἐκροὰς, καὶ τρίχες εὐθεῖαί τε καὶ πυῤῥαὶ καὶ μόνιμοι, καὶ ῥαδίως
ὑπὸ τῶν ψυχρῶν αἰτίων βλάπτονται, καὶ κατάῤῥοις καὶ κορύζαις
10 συνεχῶς ἁλίσκονται, καὶ αἱ τῶν ὀφθαλμῶν φλέβες ἀόρατοι, καὶ
ὑπνωδέστεροί πώς εἰσιν. Ξηροτέρου δὲ ἐγκεφάλου γνωρίσματα τὸ 7
ἀπέριττον ἐν ταῖς ἐκροαῖς, καὶ τὸ τῶν αἰσθήσεων ἀκριβὲς, ἀγρυπνη-
τικοί τέ εἰσι, καὶ τρίχας ἰσχυροτάτας μὲν καὶ τάχιστα φύουσι γε-
νηθέντες, οὔλας τε μᾶλλον ἔχουσιν· φαλακροῦνται δὲ ἐν τάχει.

pus; si, au contraire, il l'est peu, ils seront d'abord d'un blond clair,
mais plus tard ils deviendront noirs; par les progrès de l'âge ces gens
deviendront chauves. Ils auront peu de résidus, lorsque leur santé sera 4
irréprochable, et leur tête se remplira et s'alourdira par l'effet des ali-
ments, s'ils sont échauffants; il en est de même des boissons, des
odeurs et des influences extérieures. Des gens doués d'un pareil tempé- 5
rament se contentent d'un sommeil court, qui, de plus, n'est pas pro-
fond non plus. Les signes auxquels on reconnaît que le cerveau est plus 6
froid qu'il ne le faut consistent dans une quantité exagérée de résidus
existant dans les émonctoires propres à cet organe, et dans des cheveux
droits, roux et persistants; de plus, les influences froides font facilement
du tort à ceux qui ont le cerveau ainsi constitué; ils sont fréquemment
pris de rhumes et d'enchifrènement; les veines des yeux sont imper-
ceptibles, et on a une plus grande propension au sommeil. Les signes 7
auxquels on reconnaît que la sécheresse du cerveau dépasse la moyenne
sont : l'absence de résidus dans les émonctoires, la précision des sens
et la facilité de la veille; après la naissance, chez ceux dont le cerveau
a ce tempérament, les cheveux pousseront fort vite; ces cheveux seront
très-robustes, et le plus souvent crépus; mais, dans ce cas, on deviendra

2. ἔστιν ὅτε βραχέα Codd. — 13. ἰσχυροτέρας BP. 13-14. γεννηθ. Codd.

8 Ὑγροτέρου δὲ αἱ τρίχες ἁπλαῖ, καὶ οὐδὲ ὅλως φαλακροῦνται, καὶ
αἱ αἰσθήσεις ἀχλυώδεις εἰσὶ, καὶ περιτωμάτων πλῆθος, καὶ ὕπνοι
9 πολλοὶ καὶ βαθεῖς. Θερμοῦ δὲ καὶ ξηροῦ τυγχάνοντος, ἀπέριτοί
τέ εἰσι καὶ ἀκριβεῖς ταῖς αἰσθήσεσι, καὶ ἀγρυπνητικώτατοι, καὶ
10 φαλακροῦνται ταχέως. Ἡ πρώτη μέντοι γένεσις αὐτοῖς τῶν τριχῶν 5
ταχίστη τέ ἐστι καὶ εὐτραφεστάτη, μελανότριχές τε καὶ οὐλότριχές
εἰσι, καὶ θερμοὶ ψαύοντων τῆς κεφαλῆς, ἐρυθροί τε περὶ τὸν τῆς
11 ἀκμῆς χρόνον. Εἰ δὲ ὑγρότης προσείη τῇ θερμότητι, βραχὺ μὲν
ὑπερβαλλουσῶν ἀμφοῖν τὸ σύμμετρον, εὔχροια καὶ θερμότης, καὶ
αἱ ἐν τοῖς ὀφθαλμοῖς φλέβες μεγάλαι· περιτώματα δὲ πλείω με- 10
τρίως πεπεμμένα, καὶ αἱ τρίχες εὐθεῖαι καὶ ὑπόξανθοι, καὶ οὐ φα-
λακροῦνται ῥᾳδίως· πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν
12 ὑπὸ τῶν θερμαινόντων. Ὅταν δὲ ἐπὶ πλεῖστον ὑγρότητος καὶ θερ-
μότητος ἥκωσι, νοσώδης ἡ κεφαλὴ γίνεται, καὶ ῥᾳδίως ὑπὸ τῶν

8 rapidement chauve. Si le cerveau est trop humide, les cheveux sont plats,
il ne se produit pas du tout de calvitie, les sens sont nébuleux, la quantité
9 des résidus considérable, et le sommeil long et profond. Quand le cerveau
est chaud et sec, il y a absence de résidus, précision des sens, une très-
grande facilité pour veiller et une tendance à devenir promptement
10 chauve. Chez les gens qui ont ce tempérament, la première pousse des
cheveux se fait très-rapidement; elle est très-bien nourrie; les cheveux
sont noirs et crépus, ils deviennent rouges dans l'âge mûr; la tête est
11 chaude au toucher. Si la chaleur [du cerveau] est combinée à l'humidité,
et que ces deux qualités ne dépassent pas considérablement la moyenne,
la peau est bien colorée et chaude, et les veines des yeux sont volumi-
neuses; il y a une assez grande quantité de résidus modérément cuits, les
cheveux sont droits et d'un blond clair, et la calvitie ne survient pas faci-
lement; la tête des gens dont le cerveau est ainsi tempéré se remplit et
12 s'alourdit sous l'action des influences échauffantes. Si ces gens parvien-
nent à un degré très-exagéré de chaleur et d'humidité, leur tête devient
maladive, et les influences échauffantes et humectantes leur font facile-

1. ἁπαλαί BFP. — 7. ἐρυθρότεροί A. — 11. αἱ om. Codd. — Ib. ὀξεῖαι A.
— 10. αἱ om. Codd. — Ib. δέ om. BFP. — 14. ἡ om. F.

θερμαινόντων τε καὶ ὑγραινόντων βλαπτομένη· οὐ μὴν οὐδὲ ἐγρηγορέναι δύνανται μέχρι πλείονος, καὶ ταῖς αἰσθήσεσιν οὐκ ἀκριβεῖς εἰσιν. Αἱ ψυχραὶ δὲ ἅμα καὶ ξηραὶ κράσεις ἐγκεφάλου ψυχρὰν 13
καὶ ἄχρουν ἀποτελοῦσι τὴν κεφαλήν· εἰσὶ δὲ αἱ τοιαῦται κράσεις
5 καὶ ἄφλεβοι τοὺς ὀφθαλμούς, καὶ ὑπὸ τῶν ψυχρῶν αἰτίων ἑτοίμως βλάπτονται· διὸ καὶ ἀνωμάλως ὑγιαίνουσιν. Αἱ δὲ αἰσθήσεις αὐτοῖς 14
ἐν νεότητι μὲν ἀκριβεῖς εἰσι καὶ ἄμεμπτοι τὰ πάντα· προϊοῦσι δὲ ἀπομαραίνονταί τε ταχέως, καὶ συλλήβδην εἰπεῖν, ταχύγηροι τὰ περὶ τὴν κεφαλὴν ἅπαντά εἰσιν· αἱ τρίχες δὲ αὐτοῖς γενηθεῖσι μὲν
10 ἀνέρχονται μόγις, ἄτροφοι δὲ καὶ πυῤῥαί. Αἱ δὲ ὑγραὶ καὶ ψυχραὶ 15
κράσεις ἐγκεφάλου κωματώδεις ἐργάζονται καὶ ὑπνήλους καὶ φαύλους ταῖς αἰσθήσεσι, καὶ περιτλωματικοὺς, εὐψύκτους τε καὶ εὐπληρώτους τὴν κεφαλὴν, εὐαλώτους τε κατάῤῥοις καὶ κορύζαις· οὐ μὴν οὐδὲ φαλακροῦνταί γε οἱ τοιοῦτοι.

ment du tort; ils ne peuvent pas non plus veiller longtemps, et leurs sens n'ont pas de précision. Le tempérament à la fois froid et sec du 13
cerveau rend la tête froide et décolorée; les gens dont le cerveau est ainsi tempéré n'ont pas de veines [apparentes] dans les yeux, et les causes de nature froide leur sont facilement nuisibles : pour cette raison, ils ont aussi une santé inégale. Quand ils sont jeunes, leurs sens ont de 14
la précision et ne laissent rien à désirer sous aucun rapport; mais, à mesure que l'âge avance, ces individus se flétrissent vite, et, pour le dire en un mot, leur vieillesse est précoce par rapport à toutes les parties qui tiennent à la tête; après la naissance, leurs cheveux poussent difficilement, sont blonds et mal nourris. Le tempérament humide et froid 15
du cerveau cause de la somnolence et de la tendance à s'assoupir; il met les sens dans une mauvaise condition et amène une grande quantité de résidus; les gens dont le cerveau est ainsi tempéré se refroidissent facilement, leur tête se remplit aisément, et ils ont de la propension à être pris de rhumes et d'enchifrènement, mais ils ne deviennent pas du tout chauves.

4. αἱ om. BFP. — 9. ἅπαντα Aet. — 10. ἐξέρχονται A. — Ib. μόλις ABP. Paul.; πάντα F; τὰ πάντα BP; πάντες — 13. τε καὶ κατ. BFP. — 14. οὐδὲ A; ἅπαντες Gal. Ib. γενηθ. Codd. Gal.; οὐ A; om. BFP.

μζ'. Γαστὸς κράσεως γνωρίσματα.

1 Γαστὸς γνωρίσματα τῆς μὲν φύσει ξηροτέρας, εἰ ταχέως διψώδεις γίνοιντο, καὶ ὀλίγον αὐτοῖς ἀρκοίη τὸ ποτὸν, καὶ βαρύνοιντο τῷ πλείονι, καὶ κλύδωνας ἔχοιεν, εἰ ἐπιπολάζοι τὸ περιττεῦον αὐτοῖς, ἐδέσμασί τε χαίροιεν ξηροτέροις· ὑγροτέρας δὲ, εἰ μήτε διψώδεις γίνοιντο, καὶ τὸ πλέον ὑγρὸν ἀλύπως φέροιεν, ἐδέσμασί τε 5
2 χαίροιεν ὑγροτέροις. Ἡ θερμοτέρα δὲ φύσει γαστὴρ πέττειν μὲν ἀμείνων ἢ ὀρέγεσθαι, καὶ μᾶλλον ὅσα σκληρὰ καὶ δυσαλλοίωτα, χαίρουσα δὲ τοῖς θερμοῖς ἐδέσμασί τε καὶ πόμασιν· οὐδὲ ὑπὸ τῶν
3 ψυχρῶν οὐδὲν βλάπτεται κατά γε τὴν ἔμμετρον χρῆσιν. Ἡ δὲ ψυχροτέρα φύσει γαστὴρ ὀρεχθῆναι μὲν ἀγαθὴ, πέψαι δὲ οὐκ ἀγαθὴ, 10 καὶ μάλιστα ὅσα δυσαλλοίωτα καὶ ψυχρὰ τῶν ἐδεσμάτων ἐστίν·

47. MOYENS POUR RECONNAÎTRE LE TEMPÉRAMENT DE L'ESTOMAC.

1 Les signes relatifs à l'estomac sont les suivants : quand l'estomac est naturellement trop sec, on est facilement altéré, bien qu'on se contente d'une petite quantité de boisson, et, si l'on boit trop, on est incommodé, et on éprouve de la fluctuation lorsque la partie surabondante de la boisson surnage dans l'organe en question; enfin on aime les aliments plus ou moins secs; l'estomac est-il trop froid, on n'a pas facilement soif, on supporte l'excès de liquide sans être incommodé, et on
2 aime les aliments plus ou moins humides. Un estomac naturellement trop chaud vaut mieux pour digérer que pour exciter de l'appétit, surtout quand il s'agit d'aliments durs et difficiles à transformer; il aime les boissons et les aliments chauds; cependant, s'ils sont froids, ils ne font
3 aucun tort non plus, du moins quand on en use avec modération. L'estomac naturellement trop froid est bon pour exciter de l'appétit, mais il ne digère pas facilement, surtout quand il s'agit d'aliments froids et difficiles à transformer (du moins ces aliments s'aigrissent aisément dans

CH. 47; l. 1. μὲν φ. γνωρ. τῆς μὲν ξηρ. F. — 2. γένοιτο BP. — Ib. ἀρκέσει A. Ib. βαρύνοιντο Gal.; βαρύνονται Codd. — 4-6. ὑγροτέρας..... ὑγροτέροις om. BFP. — 8. θερμοτέροις A. — 9. γε Gal.; om. Codd.

ὀξύνεται γοῦν ἑτοίμως ἐν αὐτῇ· καὶ χαίρει μὲν τοῖς ψυχροῖς, βλάπτεται δὲ ῥᾳδίως ἀμετρότερον χρησαμένων. Αἱ μέντοι διὰ νόσον 4
ἐν τῇ γαστρὶ δυσκρασίαι ταύτῃ διαφέρουσι τῶν ἐμφύτων, ᾗ τῶν ἐναντίων ἐπιθυμοῦσιν, οὐ τῶν ὁμοίων. Εἰ μὲν οὖν πέπτει καλῶς ἡ 5
γαστὴρ, εὔκρατος· εἰ δὲ οὐ πέπτει, δύσκρατος, ἀλλὰ εἰ μὲν κνισώδεις ἢ καπνώδεις ἐργάζοιτο τὰς ἐρυγὰς, ἄμετρον αὐτῆς καὶ πυρῶδες τὸ θερμόν· εἰ δὲ ὀξείας, τὸ ἐναντίον· οὕτω δὲ καὶ τὰ μὲν δυσκατέργαστα καλῶς πεπτόντων ἄμετρον· ἀσθενὲς δὲ τῶν ταῦτα μὲν ἀπεπτούντων, ἰχθῦς δὲ πεπτόντων. Ἐπισκέπτεσθαι δὲ εἰ μὴ 6
διά τινα χυμὸν ἑτέρωθεν ἐπιῤῥέοντα τὸ σύμπτωμα γίνεται· τοῖς μὲν γὰρ φλεγματώδεσιν ὀξυρεγμιώδεις γίνονται, τοῖς δὲ χολώδεσι κνισώδεις καὶ βρωμώδεις ἤ τινες ἀλλόκοτοι ποιότητες. Κοινὰ δὲ 7
συμπτώματα ναυτίαι, ἀλλὰ εἰ μὲν ἐμπλέοιεν οἱ μοχθηροὶ χυμοὶ τῷ

un pareil estomac); les aliments froids sont agréables, mais leur usage immodéré cause facilement du tort. Les mauvais tempéraments de l'es- 4
tomac qui tiennent à une maladie diffèrent des tempéraments innés en ce que les premiers font rechercher les substances qui ont un tempérament contraire et non semblable. Si donc l'estomac digère bien, il 5
est bien tempéré, et, s'il ne digère pas, il l'est mal; mais, s'il développe des éructations nidoreuses ou enfumées, sa chaleur est démesurée et tient de la nature du feu; si elles sont aigres, c'est le contraire qui a lieu; de même, quand on digère bien les aliments difficiles à transformer, la chaleur de l'estomac est démesurée; si, au contraire, ces aliments causent de l'indigestion, tandis qu'on digère le poisson, sa chaleur est faible. Il faut examiner si les éructations ne tiennent pas à 6
une humeur qui afflue d'une autre partie du corps; en effet, les gens pituiteux sont pris d'éructations acides, tandis que celles des gens bilieux sont nidoreuses et présentent une mauvaise odeur, ou certaines qualités étranges. La nausée est un accident commun à tous ceux qui 7
ont de mauvaises humeurs dans l'estomac; mais, quand ces humeurs sont

1. γοῦν Gal.; οὖν Codd. — 3. ᾗ Gal.; ἢ BFP; καί A. — 6. αὐτοῖς F; αὐτῇ A. — 7. τὸ θερμόν om. BP. — Ib. δέ post οὕτω Gal.; om. Codd. — 8. πεπτόντων Codd. — 12. βρωμώδεις Aët. Paul.; βορβορώδεις Codd.

κύτει τῆς γαστρὸς, ἐπιπολάζουσιν ἐμούμενοι· σπαράττουσι δὲ μάτην κεναῖς ἐμέτων ναυτίαις οἱ τῷ σώματι τῆς γαστρὸς περιεχόμενοι κατὰ τοὺς χιτῶνας αὐτῆς.

μη'. Πνεύμονος διάγνωσις.

1 Οὐ μόνον ἡ κοιλία διψώδεις τε καὶ ἀδίψους ἐργάζεται, καὶ ψυχροῦ καὶ θερμοῦ πόματος ὀρεκτικοὺς, ἀλλὰ καὶ τὰ κατὰ τὸν θώ- 5
2 ρακα. Καὶ μὲν δὴ καὶ πίνοντες οὐκ αὐτίκα παύονται, καὶ τὸ ψυχρὸν ποτὸν ἴσθησιν αὐτῶν μᾶλλον τὸ δίψος ἤπερ τὸ πολὺ θερμόν.
3 Ἀναψύχει δὲ αὐτοὺς καὶ ὁ ψυχρὸς ἀὴρ εἰσπνεόμενος, οὐδὲν ἐπικουφίζων τοὺς ἐκ γαστρὸς διψώδεις· οὕτω δὲ καὶ οἱ ἐναντίως ἔχοντες
4 ὑπὸ τῆς ψυχρᾶς εἰσπνοῆς αἰσθητῶς ἀνιῶνται. Καὶ μέγιστόν ἐστι 10 γνώρισμα τοῦτο τῆς ἐν πνεύμονι ψυχρότητος, ἀλλὰ καὶ φλέγμα

ballottées dans la cavité de cet organe, elles surnagent, et on les rejette par le vomissement; celles, au contraire, qui sont contenues dans la substance de l'estomac, c'est-à-dire dans ses tuniques, tiraillent cet organe pour rien, en causant des nausées non suivies de vomissement.

48. MOYENS POUR RECONNAÎTRE LE TEMPÉRAMENT DU POUMON.

1 L'estomac n'est pas le seul organe qui cause de la soif ou de l'absence de soif, ou qui fasse rechercher, tantôt les boissons chaudes, tantôt les boissons froides; les organes contenus dans la poitrine ont les
2 mêmes propriétés. La soif qui vient de la poitrine ne cesse pas dès qu'on boit, et elle est plutôt apaisée quand on boit froid que si l'on prend une
3 grande quantité de boisson chaude. Les gens qui sont dans cette condition sont rafraîchis s'ils respirent de l'air froid, tandis qu'une pareille inhalation ne soulage en rien ceux dont la soif dépend de l'estomac, de même que ceux qui sont dans l'état contraire éprouvent des in-
4 commodités appréciables par suite d'une inhalation froide. C'est là encore un signe très-important pour prouver que le poumon est froid;

Ch. 48; l. 9. δέ om. ABP.

ἀναχρεμπτόμενοι μετὰ βηχὸς ἀναπτύουσιν. Αἱ ξηρότητες δὲ τοῦ 5
πνεύμονος ἀπέριττοί τέ εἰσι καὶ καθαραὶ τῷ φθέγματι, καθάπερ αἱ
ὑγρότητες περιττωματικαὶ, καὶ ἀλαμπῆ μὲν ἐργάζονται καὶ βραγ-
χώδη τὴν φωνήν· ἐντρέχει δὲ αὐτοῖς περίττωμα μεῖζόν τε καὶ ὀξύ-
5 τερον φθέγξασθαι προελομένοις.

μθ'. Κράσεως καρδίας γνωρίσματα.

Καρδίας δὲ τῆς μὲν θερμοτέρας σημεῖα μέγεθος ἀναπνοῆς καὶ 1
σφυγμοῦ τάχος καὶ πυκνότης ἐστὶ μετὰ εὐτολμίας τε καὶ μανιώδους
θρασύτητος. Ἔστι δὲ λάσιος αὐτοῖς ὁ θώραξ, καὶ μάλιστα τὰ 2
στέρνα, καὶ τῶν κατὰ ὑποχόνδριον ὅσα τούτοις πλησίον· ὡς ἐπὶ
10 πολὺ δὲ καὶ τὸ σύμπαν σῶμα θερμὸν, πλὴν εἰ μὴ μεγάλως ἀντι-
πράττοι τὸ ἧπαρ. Καὶ μήν γε καὶ ἡ τοῦ θώρακος εὐρύτης θερμό- 3
τητος γνώρισμα, πλὴν εἰ μὴ κἀνταῦθά ποτε μεγάλως ὁ ἐγκέφαλος

il en est de même si, en raclant, on rejette de la pituite par la toux.
Les gens dont le poumon est sec ont peu de résidus et une voix claire; 5
l'humidité du poumon produit une grande quantité de résidus, une voix
rauque et voilée; quand les gens qui sont dans le dernier cas veulent
émettre des sons forts et aigus, les résidus viennent se mettre à la tra-
verse.

49. SIGNES POUR RECONNAÎTRE LE TEMPÉRAMENT DU CŒUR.

Une respiration étendue et un pouls rapide et fréquent sont des 1
signes d'une chaleur exagérée du cœur, ainsi que la témérité et une
audace furieuse. Les gens qui sont dans ces conditions ont la poitrine 2
velue et surtout sa face antérieure, ainsi que la partie de la région des
hypocondres qui se rapproche le plus de la poitrine; le plus souvent
tout leur corps est chaud aussi, du moins si le foie n'exerce pas une
action prononcée en sens inverse. La largeur de la poitrine est encore 3
un signe de la chaleur du cœur, à moins que, dans ce cas encore, le

2. τῷ φθέγματι N Aët.; τῷ φλέγματι BP. — Ch. 49; l. 7. μετά om. BFP; τοῦ φλέγματος A. — 3. ἐργάζεται Codd. — 4. φύσιν A. — 5. φθέγγεσθαι BP. — Ch. 49; l. 7. μετά om. BFP. — 10. δέ om. Codd. — 11. μέν γε BFP; δή A.

4 ἀντιπράξειεν. Ἡ δὲ ψυχροτέρα καρδία σφυγμοὺς ἔχει σμικροτέρους τῶν συμμέτρων, δειλοί τέ εἰσι τὴν φύσιν οἱ τοιοῦτοι καὶ ἄτολμοι
5 καὶ μελληταὶ, καὶ ψιλόν ἐστιν αὐτοῖς τὸ στέρνον. Ἡ δὲ ξηροτέρα καρδία τοὺς σφυγμοὺς ἐργάζεται σκληροὺς, καὶ τὸν θυμὸν οὐχ ἕτοιμον, ἄγριον δὲ καὶ δυσκατάπαυστον· ὡς τὰ πολλὰ δὲ καὶ ὅλον 5
6 τὸ σῶμα ξηρότερον, εἰ μὴ τὰ κατὰ ἧπαρ ἀντιπράττοι. Ὑγροτέρας δὲ σημεῖα σφυγμοὶ μαλακοὶ, καὶ τὸ ἦθος εὐκίνητόν τε πρὸς ὀργὴν καὶ εὐκατάπαυστον καὶ τὸ σύμπαν σῶμα ὑγρότερον, πλὴν εἰ μὴ τὰ
7 κατὰ ἧπαρ ἀντιπράττοι. Θερμῆς δὲ καὶ ξηρᾶς οἱ σφυγμοὶ μεγάλοι καὶ σκληροὶ καὶ ταχεῖς καὶ πυκνοὶ, καὶ αἱ ἀναπνοαὶ μεγάλαι τε καὶ 10
8 ταχεῖαι καὶ πυκναί. Ἁπάντων οὗτοι λασιώτατοι τὰ κατὰ τὸ στέρνον εἰσὶ καὶ τὸ ὑποχόνδριον· εἰς δὲ τὰς πράξεις ἄοκνοι καὶ θυμικοὶ, καὶ θρασεῖς καὶ τυραννικοὶ τοῖς ἤθεσιν· καὶ γὰρ ὀξύθυμοι καὶ δυσ-
9 κατάπαυστοι. Εἰ δὲ ὑγρότης ἐπικρατήσειεν ἅμα θερμότητι, λάσιοι μὲν ἧττον οὗτοι τῶν προειρημένων, ἕτοιμοι δὲ εἰς τὰς πράξεις 15

4 cerveau n'exerce parfois une action prononcée en sens inverse. Quand le cœur est trop froid, la petitesse du pouls dépasse la moyenne; dans ce cas, on est naturellement timide, peureux et lent, et la poitrine
5 est dépourvue de poils. Quand le cœur est trop sec, le pouls est dur, et on ne se met pas facilement en colère; seulement cette colère est féroce et difficile à apaiser; le plus souvent, dans ce cas, tout le corps
6 est trop sec, à moins que le foie ne s'y oppose. Les signes d'un cœur trop humide sont un pouls mou, un caractère enclin à la colère, mais à une colère qui s'apaise facilement, et une humidité exagérée de tout le
7 corps, à moins que le foie n'empêche cet effet de se produire. Quand le cœur est chaud et sec, le pouls est grand, dur, rapide, fréquent, et la
8 respiration ample, rapide et fréquente. Ceux dont le cœur a ce tempérament ont la poitrine et les hypocondres plus velus que tous les autres; ils sont prompts à agir et à se mettre en colère; leur caractère est audacieux et tyrannique; en effet, leur colère éclate aisément et s'apaise
9 difficilement. Les individus chez qui l'humidité prédomine dans le cœur conjointement avec la chaleur sont moins velus que les précédents, et

1. ἀντιπράττοι BP. — 2. τὴν φ. om. F. — 3. ἀμελληταί ABP. — 5. δύσπεπλον BFP. — 6. μὴ δέ A. — 10. αἱ om. Codd. — 12. καὶ ὑποχόνδριον A. — 13-14. δύσπαυστοι BFP. — 15. ἧττον om. BFP.

εἰσίν· οὐ μὴν ἄγριός γε ὁ θυμὸς, ἀλλὰ εἰς ὀργὴν μόνον ἕτοιμοι, καὶ οἱ σφυγμοὶ μεγάλοι καὶ μαλακοὶ καὶ ταχεῖς καὶ πυκνοί. Ὑγρο- 10
τέρας δὲ οὔσης καὶ ψυχροτέρας οἱ μὲν σφυγμοὶ μαλακοί· τὸ δὲ ἦθος ἄτολμον καὶ δειλὸν καὶ ὀκνηρόν· εἰσὶ δὲ καὶ ψιλοὶ τριχῶν οὗτοι τὰ
5 στέρνα καὶ ἤκιστα μηνιῶσιν, ὥσπερ γε καὶ εἰς ὀργὴν οὐχ ἕτοιμοι.
Ἡ ψυχρὰ δὲ καὶ ξηρὰ καρδία τοὺς μὲν σφυγμοὺς σκληροτέρους ἐρ- 11
γάζεται καὶ μικρούς· ἀοργητότατοι δὲ πάντων οὗτοι· ὀργισθέντες δὲ φυλάττουσι τὴν μῆνιν· εἰσὶ δὲ καὶ ἄτριχοι τὰ στέρνα μάλιστα πάντων οὗτοι.

ν'. Ἥπατος κράσεως διάγνωσις.

10 Ἥπατος θερμοῦ μὲν γνωρίσματα φλεβῶν εὐρύτης, ἡ ξανθὴ χολὴ 1
πλείων, ἐν τῷ χρόνῳ δὲ τῆς ἀκμῆς καὶ ἡ μέλαινα, θερμότερον αὐτοῖς τὸ αἷμα, καὶ διὰ τοῦτο καὶ τὸ σύμπαν σῶμα, πλὴν εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττοι, δασύτης τῶν κατὰ ὑποχόνδριά τε

ils sont prompts à agir; chez eux la colère n'est pas féroce, seulement ils y sont très-enclins; leur pouls est grand, mou, rapide et fréquent. Quand le cœur est trop humide et trop froid, le pouls est mou; le ca- 10
ractère est lâche, peureux et paresseux; la poitrine est dépourvue de poils, on a très-peu de rancune, et on ne se met pas facilement en colère non plus. Lorsque le cœur est froid et sec, le pouls est petit 11
et plus dur que la moyenne, on se met plus difficilement en colère qu'aucun autre; mais, quand la colère a éclaté, elle persiste; ce sont, de tous les hommes, ceux qui ont le moins de poils à la poitrine.

50. MOYENS POUR RECONNAÎTRE LE TEMPÉRAMENT DU FOIE.

Les signes d'un foie chaud sont la largeur des veines, la surabondance 1
de la bile jaune, et, vers le milieu de la vie, celle de la bile noire, une chaleur exagérée du sang, laquelle s'étend à tout le corps, à moins que le cœur n'y mette obstacle, des poils nombreux sur les hypocondres et

1. *εἰσίν* om. BFP. — Ib. *γε* om. Codd. — Ib. *μᾶλλον* BP. — 4-5. *εἰσὶ... στέρνα* om. BP. — 4. *δὲ ψ.* AF. — 5. *γε* om. F. — Ib. *οὐχ* N Gal.; om. L Codd. gr. — 7. *δέ* om. BFP. — CH. 50; l. 13. *τήν* om. A. — Ib. *ὑποχόνδριόν* A.

καὶ γασΊέρα· ψυχροτέρου δὲ σΊενότης φλεβῶν, φλέγμα πλέον, αἷμα ψυχρότερον, ἡ σύμπασα τοῦ σώματος ἕξις ψυχροτέρα χωρὶς εἰ μή τι πρὸς τῆς καρδίας θερμαίνοιτο, ψιλὰ τριχῶν ὑποχόνδρια καὶ γασΊήρ· ξηροτέρου δὲ τὸ μὲν αἷμα παχύτερόν τε καὶ ὀλιγώτερον, καὶ αἱ φλέβες ξηρότεραι, καὶ ἡ σύμπασα τοῦ σώματος ἕξις 5
2 ξηροτέρα. Τοῦ δὲ ὑγροῦ γνωρίσματα τὸ μὲν αἷμα πλέον τε καὶ ὑγρόν· αἱ φλέβες δὲ μαλακώτεραι· οὕτω δὲ καὶ τὸ σύμπαν σῶμα,
3 πλὴν εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράΊοι. Θερμοῦ δὲ ἅμα καὶ ξηροῦ σημεῖα λασιώτατον ὑποχόνδριον καὶ αἷμα παχύτερόν τε ἅμα καὶ ὀλιγώτερον, ἡ πικρὰ χολὴ πλείσΊη· κατὰ δὲ τὴν ἀκμὴν 10 καὶ ἡ μέλαινα· φλεβῶν εὐρύτης καὶ σκληρότης· οὕτω δὲ καὶ τὸ σύμπαν σῶμα θερμὸν καὶ ξηρόν· ἡ μὲν γὰρ ἀπὸ καρδίας ὁρμωμένη θερμότης νικῆσαι δύναται τὴν ἐξ ἥπατος ὁρμωμένην ψυχρότητα, καθάπερ γε καὶ ἡ ψυχρότης τὴν θερμότητα· τὴν ξηρότητα δὲ οὐχ οἷόν τε πρὸς τοὐναντίον ὑπὸ τῆς καρδίας ὑγροτέρας 15

le ventre; quand le foie est trop froid, les veines sont étroites, il y a surabondance de pituite, et le sang est froid, ainsi que toute l'habitude du corps, à moins que le cœur ne l'échauffe un peu; il n'y a point de poils sur les hypocondres et sur le ventre; quand le foie est trop sec, le sang est trop épais, sa quantité est trop petite, et les veines sont
2 trop sèches, ainsi que toute l'habitude du corps. Les signes d'un foie trop humide sont une quantité trop forte de sang humide, une mollesse trop grande des veines, ainsi que de tout le corps, à moins que le cœur
3 n'empêche ce dernier effet de se produire. Les signes d'un foie qui est en même temps chaud et sec sont : hypocondre extrêmement velu, insuffisance de sang trop épais, surabondance extrême de bile amère, et, vers le milieu de la vie, aussi de bile noire; veines larges et dures; de même, chaleur et sécheresse de tout le corps; en effet, la chaleur qui part du cœur peut vaincre le froid qui vient du foie, de même qu'un cœur froid peut avoir le dessus sur un foie chaud; mais il n'est pas possible que la sécheresse du foie soit transformée en un état contraire par

1. σΊενότης τε φλεβῶν καὶ φλέγμα A. — 4. καὶ ἡ γασΊήρ A. — 6. ὑγροτέρου BFP. — 2. ξηροτέρα BP. — 3. μήτε πρὸς F.

γενομένης ἀχθῆναι. Δῆλον δὲ ὡς, ἐπειδὰν ἐς ταὐτὸ συνδράμωσι τῶν 4
ἀρχῶν ἀμφοτέρων αἱ κράσεις, ὅλον ἀκριβῶς τὸ σῶμα κατὰ ἐκεῖνο
διατίθεται. Τὸ δὲ ὑγρὸν ἅμα καὶ θερμὸν ἧπαρ ἧττον μὲν τοῦ θερ- 5
μοῦ καὶ ξηροῦ τὰ κατὰ ὑποχόνδριον ἐργάζεται λάσια, πλεῖστον δὲ
5 αἷμα καὶ φλέβας μεγάλας καὶ τὴν ἕξιν ὑγρὰν καὶ θερμήν, εἰ μὴ τὰ
κατὰ τὴν καρδίαν ἀντιπράττοι. Εἰ δὲ ἐπὶ πλεῖον ἀμφοτέραις ταῖς 6
ποιότησιν ἐκτραπείη τοῦ κατὰ φύσιν, ἑτοίμως ἁλίσκονται τοῖς ση-
πεδονώδεσι καὶ κακοχύμοις νοσήμασιν· ἔτι δὲ μᾶλλον, εἰ ἐπὶ πλεῖ-
στον μὲν αὐξηθείη τὸ ὑγρὸν, ἐπὶ ὀλίγον δὲ τὸ θερμόν· εἰ δὲ ἔμπαλιν
10 ἐπὶ ὀλίγον μὲν αὐξηθείη τὸ ὑγρὸν, ἐπὶ πλεῖστον δὲ τὸ θερμὸν,
ἥκιστα κακόχυμοι γίνονται. Τὸ δὲ ὑγρόν τε καὶ ψυχρὸν ἄτριχον 7
μὲν ἔχει τὸ ὑποχόνδριον, αἷμα δὲ ἐργάζεται φλεγματικώτερον ἅμα
φλεβῶν στενότητι, καὶ τὸ σύμπαν σῶμα παραπλησίως ἔχον, εἰ μὴ
πρὸς καρδίας ἐπὶ τἀναντία μετάγοιτο. Τὸ δὲ ψυχρὸν ἅμα καὶ ξη- 8

le cœur, au cas où il serait humide. Il est clair que, lorsque le tempé- 4
rament de ces deux organes principaux est le même, tout le corps sera
mis dans un état exactement conforme. Si le foie est en même temps 5
humide et chaud, il rend l'hypocondre moins velu que lorsqu'il est
chaud et sec, mais il donne lieu à une grande surabondance de sang, à
des veines volumineuses et à une complexion humide et chaude, à moins
que le cœur ne s'y oppose. Le foie s'écarte-t-il considérablement de son 6
état naturel sous le rapport des deux qualités susdites, on est facile-
ment pris de maladies tenant à la putréfaction ou au mauvais état des
humeurs; cet effet se produit à un degré encore plus prononcé, si l'aug-
mentation de l'humidité est très-considérable, tandis que celle de la
chaleur l'est peu; si, au contraire, l'excès d'humidité est petit et celui
de la chaleur très-considérable, les humeurs ne sont pas du tout mau-
vaises. Un foie humide et froid est caractérisé par un hypocondre dé- 7
pourvu de poils, des veines étroites, du sang trop pituiteux et un état
analogue de tout le corps, à moins que le cœur ne mette l'économie
dans l'état opposé. Quand le foie est en même temps froid et sec, il 8

1. εἰς BP. — 3. ὑγρότερον F Gal. — Ib. θερμότερον Gal. — 4. καὶ ξηροῦ] τὸ ξηρόν BP. — Ib. ὑποχόνδρια A. — 8. πλέον A. — 8-9. ἐπὶ πλέον A. — 9-10. εἰ δὲ... θερμόν om. Codd. — 11. ἥκ.] καί BFP; om. A. — 13. ἔχει Codd.

ρὸν ὀλίγαιμόν τε καὶ σlενόφλεβον ἐργάζεται τὸ σῶμα καὶ ψυχρότερον, ὑποχόνδριόν τε ψιλὸν, εἰ μὴ κάνταῦθα νικήσειεν ἡ καρδία.

να'. Διόρθωσις τῶν θερμῶν δυσκρασιῶν.

1 Ἐπεὶ δὲ ἐν ταῖς θερμαῖς δυσκρασίαις πλεονάζει τὸ χολῶδες, κάτω μὲν ὑπιόντος αὐτοῦ, πρόδηλον ὡς οὐδὲν χρὴ περιεργάζεσθαι· πρὸς δὲ τὴν ἄνω γασlέρα φερομένου, διὰ ἐμέτων ἐκκενοῦν μετὰ τὰ 5
2 γυμνάσια πρὸ τῆς τροφῆς ἀπὸ ὕδατος. Γυμνάζεσθαι δὲ αὐτοὺς βέλτιον οὐκ ὀξὺ καὶ σύντονον γυμνάσιον, ἀλλὰ σχολαίτερόν τε καὶ μαλακώτερον· τινὲς δὲ τῶν σφόδρα θερμῶν οὐδὲ ὅλως χρῄζουσιν, ἀλλὰ ἀρκεῖ περίπατος καὶ λουτρὸν αὐτοῖς· οὗτοι δὲ καὶ τοῖς μετὰ τρο-
3 φὴν λουτροῖς χαίρουσιν. Οἱ δὲ μετὰ ξηρότητος θερμοὶ δέονται διαί- 10
της ὑγραινούσης διά τε τῶν ὑγραινόντων ἐδεσμάτων καὶ λουτρῶν

donne lieu à un défaut de sang, à l'étroitesse des veines, à un excès de froid du corps et à l'absence de poils sur les hypocondres, à moins que, dans ce cas aussi, le cœur ne remporte la victoire.

51. MOYENS DE CORRIGER LES TEMPÉRAMENTS QUI PÈCHENT PAR LE CHAUD.

1 Comme l'élément bilieux a le dessus dans les tempéraments qui pèchent par le chaud, il est clair que, lorsque cette humeur passe par le bas, il faut rester dans l'inactivité; si, au contraire, elle se porte vers le ventre supérieur, on doit l'évacuer à l'aide de vomissements qu'on
2 provoquera avec de l'eau [chaude] entre les exercices et le repas. Il est préférable que ceux qui présentent ces conditions ne prennent pas d'exercices rapides ou qui exigent de la vigueur, mais qu'ils s'exercent plutôt mollement et à leur aise; parmi les sujets très-chauds, il y en a qui n'ont pas du tout besoin d'exercice, mais qui peuvent se contenter d'une promenade et d'un bain; les bains pris après le repas réussissent
3 dans ce cas. Ceux qui sont à la fois secs et chauds ont besoin d'un régime qui humecte, dont les éléments consistent dans des aliments humectants, dans des bains et dans l'abstinence des exercices prolongés ou qui

2. τε ψυχρόν AF; om. BP. — CH. 51; l. 3. ἐν om. Codd. — 5-6. ἐκκενοῦν μεταγυμνάζεσθαι (μετὰ γ. F) δὲ αὐτούς Codd. — 10. θερμοί om. Codd.

καὶ ἀποχῆς γυμνασίων συντόνων καὶ πολλῶν, ὥστε θέρους ὥρᾳ καὶ θᾶττον λούεσθαι, καὶ μετὰ τροφὴν αὖθις τὸ δεύτερον. Ὀνίνησι 4
τούτους καὶ ἡ τοῦ ψυχροῦ πόσις. Ἐναντιώτατα δὲ ταῖς ξηραῖς κρά- 5
σεσιν ἀφροδίσια. Φείδεσθαι δὲ αὐτοὺς χρὴ μάλιστα κόπων τε καὶ 6
5 ἐγκαύσεων καὶ φροντίδων καὶ ἀγρυπνιῶν. Αἱ δὲ ὑγραὶ φύσεις ἐν τῇ 7
τῶν παίδων ἡλικίᾳ ῥευματικοῖς τε καὶ πληθωρικοῖς ἁλίσκονται νοσήμασι, καὶ πρὸς τούτοις τοῖς σηπεδονώδεσιν. Δέονται τοίνυν 8
γυμνασίων τε πλειόνων, ἀκριβοῦς τε τῆς ἐν γαστρὶ πέψεως· διὸ καὶ πρὸ τροφῆς δὶς καὶ τρὶς οὗτοι λουόμενοι καὶ τοῖς αὐτοφυέσι
10 θερμοῖς ὕδασι χρώμενοι μάλιστα ὠφελοῦνται. Καὶ τῶν ἀπορροιῶν 9
δὲ προνοεῖσθαι χρὴ διά τε λουτρῶν καὶ γυμνασίων πολλῶν πρὸ τροφῆς, ἐκκρίσεών τε διὰ οὔρων καὶ γαστρός. Οὐδὲν δὲ κωλύει καὶ 10
ἀποφλεγματισμοῖς ποτε χρῆσθαι καὶ καθάρσεσιν, εὐχύμοις τε ἐδέσμασι καὶ οἴνου πόσει τὴν οὔρησιν κινοῦντος.

exigent de la vigueur; en été, ils devront donc se baigner plus tôt que de coutume, et prendre un second bain après le repas. Boire de l'eau 4
froide leur est profitable aussi. Les rapprochements sexuels sont tout à fait 5
contraires aux tempéraments secs. Ceux qui ont ce tempérament doivent 6
éviter surtout les fatigues, les échauffements, les soucis et les veilles. Les gens naturellement humides sont pris, pendant leur enfance, de 7
maladies tenant aux fluxions ou à la pléthore, et, en outre, de celles qui tiennent à la putréfaction. Il est donc nécessaire qu'ils se livrent à 8
des exercices assez prolongés, et que la digestion qui se fait dans l'estomac soit irréprochable; pour cette raison, il leur est très-utile de prendre deux ou trois bains avant le repas et de faire usage des eaux minérales chaudes. Il faudra aussi prendre soin de la transpiration, en 9
recourant avant le repas à des bains nombreux et à des exercices prolongés, et en provoquant des excrétions par les urines et par le ventre. Rien n'empêche non plus de recourir parfois à des masticatoires, à des 10
purgations, aux aliments qui contiennent de bons sucs, et à l'usage intérieur d'un vin qui pousse aux urines.

2. τὸ δεύτερον τὸ δὲ ὑγρόν. Ὀνίν. Codd. — 3. τούτοις F. — Ib. καὶ ψυχρὸν καὶ ὑγρὸν πόμα A. — Ib. δέ om. Codd. — Ib. ξηραῖς] ψυχραῖς Codd. — 5. ὑγραὶ τῇ φύσει Codd. — 11. δέ Paul.; τε Codd. — Ib. προνοεῖν Codd. — 13. ἀποφλεγματικοῖς F. — Ib. ἀποκαθάρσεσιν Codd.

νβ'. Διόρθωσις τῶν ψυχρῶν δυσκρασιῶν.

1 Τῶν δὲ ψυχρῶν δυσκρασιῶν τρεῖς εἰσι διαφοραὶ, ὧν χειρίστη μέν ἐστιν ἡ ξηρὰ κρᾶσις· ὃ γὰρ ἐν χρόνῳ τοῖς γηρῶσι γίνεται, 2 τοῦτο εὐθὺς ἐξ ἀρχῆς ὑπάρχει τούτοις. Ὑγραίνειν τε οὖν αὐτοὺς χρὴ καὶ θερμαίνειν· ἔσται δὲ τοῦτο γυμνασίοις τε συμμέτροις καὶ τροφαῖς ὑγραῖς τε καὶ θερμαῖς, οἴνου τε πόσει τῶν θερμοτέρων, ὕπνοις 5 τε πλείοσι, προνοουμένων ἡμῶν ὅπως τὰ κατὰ ἑκάστην ἡμέραν ἐν 3 τῷ σώματι γεννώμενα περιττώματα ἐκκενῶται πάντα. Τὰ δὲ ἀφροδίσια πάντας τοὺς ξηροτέρους βλάπτει, καὶ μάλιστα τοὺς πρὸς τῇ ξηρότητι καὶ ψυχρούς· μόνοις δέ ἐστιν ἀβλαβῆ τοῖς θερμοῖς καὶ 4 ὑγροῖς. Μοχθηραὶ δὲ αἱ μετὰ ὑγρότητος ψυχραὶ κράσεις εἰσὶ, καὶ 10 μάλιστα αὗται τοῖς ῥευματικοῖς ἁλίσκονται νοσήμασιν, ὀνίνησί τε αὐτὰς ἀλουσία τε καὶ γυμνάσια πλείονα καὶ δίαιτα λεπτοτέρα καὶ 5 χρίσματα μετρίως θερμαίνοντα. Ὅσοι δὲ ψυχρότεροι μέν εἰσι φύ-

52. MOYENS DE CORRIGER LES TEMPÉRAMENTS QUI PÈCHENT PAR LE FROID.

1 Il y a trois espèces de tempéraments qui pèchent par le froid; la plus mauvaise est le tempérament sec : en effet, ce qui arrive par l'effet du temps aux gens qui vieillissent a lieu dès le début chez ceux dont il 2 s'agit maintenant. On doit donc les humecter et les réchauffer; or on obtiendra ce résultat en ayant recours à des exercices modérés, à des aliments humides et chauds, à l'usage d'un vin chaud et à un sommeil prolongé, en ayant soin que les résidus qui se forment chaque jour dans 3 le corps soient complétement évacués. Les rapprochements sexuels sont nuisibles à tous les gens trop secs, mais surtout à ceux dont la sécheresse est combinée à un excès de froid; les gens chauds et humides sont 4 les seuls pour lesquels le coït est sans inconvénient. Les tempéraments froids et humides sont mauvais; ils exposent principalement aux maladies fluxionnaires; l'abstinence des bains, des exercices prolongés, un régime assez ténu et l'usage des liniments modérément échauffants les 5 amendent. On doit exciter et renforcer la chaleur des gens qui sont na-

Ch. 52; l. 1. δέ om. AF. — 3. εὐθὺς ἀρχῆθεν A. — 11. δέ AF. — 12. αὐτούς Codd. — 13. θερμότερα F; θερμά A; θερμότατα B; θερμότητος P.

σει, συμμέτρως δὲ ἔχουσι τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν κράσεως, ἐπεγείρειν τε αὐτῶν χρὴ καὶ ῥωννύναι τὴν θερμασίαν, ἐν δὲ τῇ κατὰ ὑγρότητα καὶ ξηρότητα τῆς ὅλης διαίτης ἰδέᾳ τὸ μέσον ἐκλέγεσθαι.

νγ'. Ἴασις τῶν ξηρῶν δυσκρασιῶν ἐπὶ γαστρὸς ὡς ἐπὶ παραδείγματος.

1 Τῆς ξηρᾶς δυσκρασίας ἡ μέν ἐστιν ἐν τῷ τὰ ἐκ τῆς στερεᾶς οὐσίας ὁμοιομερῆ σώματα γενέσθαι ξηρότερα, ἥ τις δὴ καὶ ἀνίατός ἐστιν· ἡ δὲ τῶν ἐξ ὑγροπαγοῦς οὐσίας συνεστώτων, ὁποῖόν ἐστι πιμελὴ καὶ σὰρξ, ἐκτακέντων, καὶ τρίτη γε πρὸς ταύταις τῆς οἰκείας ὑγρότητος ἐξ ἧς τρέφεται τὰ μόρια, τελέως ἀπολομένης· περιέχεται δὲ αὕτη κατὰ πάντα τοῦ ζῴου τὰ μόρια δροσοειδῶς ἐν
2 αὐτοῖς παρεσπαρμένη. Ταύτην δὲ ἐνθεῖναι τοῖς μορίοις οὐχ οἷόν τε ἄνευ τροφῆς, καὶ διὰ τοῦτο χαλεπωτάτη τῶν τοιούτων διαθέσεων ἡ

turellement trop froids, mais dont le tempérament présente des conditions moyennes eu égard au sec et à l'humide, tandis qu'on choisira le juste milieu pour les éléments de l'ensemble du régime qui tiennent à la sécheresse et à l'humidité.

53. AMENDEMENT DES TEMPÉRAMENTS QUI PÈCHENT PAR LE SEC, L'ESTOMAC ÉTANT PRIS POUR EXEMPLE.

1 Parmi les tempéraments qui pèchent par le sec, il y en a d'abord un qui tient à ce que les parties similaires composées de substance solide se sont desséchées, et celui-là est incurable; une seconde espèce de ces tempéraments provient de ce que les parties dont la substance est formée d'un liquide coagulé, comme la graisse et la chair, se sont fondues; enfin, outre ces deux tempéraments, il y en a un troisième, dans lequel l'humeur propre, qui sert à nourrir les parties, a complétement disparu; or cette humeur est contenue dans toutes les parties de
2 l'économie, dans lesquelles elle est disséminée sous forme de rosée. Il est impossible de pénétrer les parties de cette humeur sans donner de la nourriture; pour cette raison un tel état est très-difficile à guérir.

2. ἐπεγεῖραι F. — Ib. χρὴ Gal. Aët; om. Codd. — 3-4. ἐκλέγειν Codd. — Ch. 53, l. 7-8. συνεστώτων .... γε om. Codd. — 10. αὕτη Paul.; αὐτή Codd.

3 ἴασίς ἐστιν. Ἄλλη δὲ ξηρότης ἐστὶν ἡ κατὰ τὰς μικρὰς ἀρτηρίας τε καὶ
4 φλέβας συνιστάμενη. Ταύτας τὰς ξηρότητας θεραπεύειν προσῆκεν
ὑγραινούσῃ τροφῇ πληροῦντα τῆς οἰκείας ὑγρότητος ἕκαστον τῶν
5 ὁμοιομερῶν. Λουτρὸν οὖν ἐπιτήδειον εὔκρατον, ἐνδιατρίβοντος τοῦ
κάμνοντος πλέον τῷ ὕδατι· μετὰ δὲ τὸ λουτρὸν εὐθέως γάλα διδόναι 5
6 ὄνειον νεόβδαλτον. Δεῖ δὲ καὶ μέλιτος ὀλίγον χλιαροῦ μιγνύειν τῷ
γάλακτι, καὶ μετὰ τοῦτο ἐᾶν ἡσυχάζειν ἄχρι τοῦ δευτέρου λουτροῦ·
τρίβειν δὲ τηνικαῦτα μετρίως τε ἅμα καὶ λιπαρῶς, εἰ ἀκριβῶς
κατείργασται τὸ δοθὲν γάλα, ταῖς ἐρυγαῖς καὶ τῷ τῆς γαστρὸς ὄγκῳ
7 τεκμαιρομένους. Σύμμετρος δὲ ἀπὸ τοῦ πρώτου λουτροῦ πρὸς τὸ 10
δεύτερον ὡρῶν ἰσημερινῶν τεσσάρων ἢ πέντε χρόνος, εἰ τὸ τρίτον
8 ἔτι μέλλοις λούειν αὐτόν· εἰ δὲ μή, πλειόνων. Καὶ μὲν δὴ καὶ ἐπα-
9 λείφειν αὐτὸν ἐλαίῳ πρὶν ἀμφιέννυσθαι κατὰ ἕκαστον λουτρόν. Εἰ
μὲν οὖν ἥδοιτο τῷ γάλακτι, καὶ μετὰ τὸ δεύτερον λουτρὸν δώσομεν·

3 Il y a encore une autre espèce de sécheresse qui se développe dans les
4 petites veines et les petites artères. On traitera ces espèces de sécheresses
par des aliments humectants, qui rempliront chacune des parties simi-
5 laires de son humeur propre. C'est donc un remède convenable dans ce
cas qu'un bain tiède, pourvu que le malade reste assez longtemps dans
l'eau; immédiatement après le bain, on donnera du lait d'ânesse récem-
6 ment trait. On mêlera aussi un peu de miel tiède au lait; après cela, on
permettra au malade de se reposer jusqu'au second bain; alors on lui
fera faire des frictions douces avec beaucoup de graisse, en se guidant
d'après les éructations et le degré de gonflement de l'estomac, pour
7 déterminer si le lait qu'on a donné a été complétement élaboré. Quatre
ou cinq heures équinoxiales sont un espace de temps intermédiaire
bien proportionné entre le premier et le second bain, si on veut en
administrer encore un troisième; dans le cas contraire, on attendra un
8 plus grand nombre d'heures. Après chaque bain, on pratiquera aussi
9 des onctions avec de l'huile avant d'habiller le malade. Si le lait fait
plaisir, on en donnera après le second bain; dans le cas contraire,

13. αὐτῷ Codd. — 14. ἥδιος F; ἤδη BP.

εἰ δὲ μὴ, πλισάνην ἀκριβῶς καθηψημένην, ἢ χόνδρον ὡς πλισάνην ἐσκευασμένον, εἶτα αὖθις ἡσυχάσαντα πρὸς τὸ τρίτον ἄξομεν λουτρὸν, ἢ ἄντικρυς ἐπὶ τὸ δεῖπνον. Ἄρτος δὲ ἔστω παρεσκευασμένος καλῶς πεποιημένος κλιβανίτης καθαρός· ὄψον δὲ τῶν πετραίων ἰχθύων, ἢ ὀνίσκος ἐκ λευκοῦ ζωμοῦ. Συνελόντι δὲ φάναι τὸ κεφάλαιον τῆς τροφῆς, εὔπεπτος ἔστω καὶ τρόφιμος, ἥκιστά δὲ γλίσχρα καὶ περιπτωματική. Πόμα δὲ οἶνος ὑδατώδης ἔστω καὶ λευκὸς καθαρὸς ὀλιγοφόρος βραχεῖαν ἔχων τὴν στύψιν. Μεγίστης μὲν οὖν ξηρότητος ἴασίς ἐστιν αὕτη· αἱ δὲ μέτριαι τῆς οὕτως ἀκριβοῦς οὐ δέονται διαίτης, καὶ ἁδροτέρως δὲ ἐγχωρεῖ διαιτᾶν. Ὑποκείσθω δὲ παραπλησία μὲν ξηρότης τῇ πρόσθεν· ἐζεύχθω δὲ αὐτῇ ψυχρότης. Ἐπιμίξομεν τοῖς ἔμπροσθεν τὴν τῶν θερμαινόντων ὕλην, καὶ προσθήσομεν τοῖς εἰρημένοις ἐν μὲν τῇ τοῦ γάλακτος χρήσει τὸ μέλι

nous administrerons de l'orge mondée parfaitement bien cuite, ou de l'alica préparé de la même manière que l'orge mondée; ensuite nous permettrons de nouveau de se reposer, et nous conduirons au troisième bain, ou immédiatement au dîner. Ce dîner consistera en du pain pur, bien préparé et cuit au petit four; pour mets secondaire, on donnera quelque poisson de roche ou une motelle à la sauce blanche. En un mot, le point capital, quant aux aliments, est qu'ils soient faciles à digérer et nourrissants, mais fort peu glutineux, et qu'ils contiennent très-peu de matières excrémentitielles. Le malade boira du vin aqueux, pur, blanc, léger et doué d'un faible degré d'astringence. Voilà le traitement d'une sécheresse très-grave; mais les cas de sécheresse modérée n'exigent pas qu'on suive une règle aussi sévère, et on peut conseiller un régime plus succulent. Supposons une sécheresse du même degré que dans le cas précédent, mais combinée à un tempérament froid. Dans ce cas, nous mêlerons des matériaux réchauffants aux remèdes précédemment énumérés; pour ce qui regarde l'administration du lait, nous y ajouterons une plus grande quantité de miel; puis nous donnerons

4. κριβαν. F. — 5-6. τὸ κεφ. τὸ λευκὸν τῆς BP. — 6. ἄπεπτον..... τρόφιμον BP; δέ ex em.; τε Codd. Ib. γλίσχρα ex em.; γλίσχρος F; γλίσχρον BP. — 7. περιπτωματικός F; περιπτωματικόν BP. — 8. μέν om. F.

16 πλέον, οἶνον δὲ ἥτλον ὑδαρῆ δώσομεν τοῦ πρόσθεν. Ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα θερμότερα δοτέον, οὐ μόνον ταῖς φυσικαῖς κράσεσιν,
17 ἀλλὰ καὶ ταῖς προσθέτοις ποιότησιν. Καὶ ναρδίνῳ μύρῳ συνεχῶς
18 ἐπαλειπλέον ἢ μασλιχίνῳ. Τῆς ψύξεως δὲ οὔσης πολλῆς ἅμα τῇ ξηρότητι, πρῶτον μὲν αὐτὴν χαλεπωτάτην νόμιζε καὶ δυσεπανόρθωτον· τοῖς δὲ αὐτοῖς χρῆσθαι, καὶ κατὰ ἑαυτὸ μέλιτι ἀπέφθῳ
19 ἀπηφρισμένῳ· τὸν δὲ οἶνον αἱρεῖσθαι παλαιότερον. Ἄρισλον δὲ φάρμακον ἐπὶ τῶν τοιούτων πάντων ᾧ συνεχῶς οἱ πιτλωταὶ χρῶνται, καὶ χρίειν αὐτῷ δεῖ τὴν γασλέρα καὶ ἀποσπᾷν θερμὸν ἔτι
20 τυγχάνον. Ὠφελεῖ δὲ τοὺς τοιούτους καὶ παιδίον εὔσαρκον συγκοι-
21 μώμενον ὡς ψαύειν ἀεὶ τῶν κατὰ ἐπιγάσλριον. Μιγνύσθω δὲ ἐφεξῆς τῇ ξηρότητι θερμότης μετρία· ἐπὶ ταύτης τὴν πρώτην ἀγωγὴν φυλάξαι, ὡς μέλιτος μὲν μηδὲ ὅλως γεύεσθαι, τὸν δὲ οἶνον ἥκισλα
22 παλαιὸν προσφέρεσθαι. Χλιαρὰ δὲ τὰ ἐδέσματα καὶ γαλακτώδη

16 du vin moins aqueux qu'auparavant. Mais nous ferons prendre aussi des aliments plus chauds, non-seulement sous le rapport de leur tempéra-
17 ment propre, mais aussi sous celui de leurs qualités acquises. On fera fréquemment des onctions avec l'huile parfumée au nard, ou avec l'huile
18 de mastic. Si l'excès de froid qui complique la sécheresse est considérable, estimez qu'il s'agit d'une affection très-grave et difficile à traiter; vous vous servirez alors des mêmes remèdes; vous ferez prendre, en outre, sans rien y ajouter, du miel cuit dont on a enlevé l'écume,
19 et vous choisirez un vin plus vieux que dans le cas précédent. C'est un excellent remède dans tous les cas analogues que le médicament dont les épilateurs se servent; on l'emploiera pour oindre la région de l'esto-
20 mac, et on l'enlèvera avant qu'il se soit refroidi. Ceux qui sont dans ces conditions se trouvent bien aussi de faire coucher avec eux un enfant bien en chair, de telle manière qu'il touche toujours les parois du
21 ventre. Supposons maintenant que la sécheresse soit compliquée d'une chaleur modérée : dans ce cas, nous nous en tiendrons au traitement précédent, sous la réserve de ne point faire goûter du miel et de don-
22 ner du vin qui ne soit pas vieux du tout. Nous ferons prendre les ali-

3. προσθέτοις ex em.; προσφάτοις ἑαυτόν F. — Ib. ἀπέφθῳ om. BP. — Codd. — 4. ὑπαλειπλέον Codd. 6. 11. ἑξῆς Codd.

προσοίσομεν, καὶ τὴν κοιλίαν ἐπαλείψομεν ὀμφακίνῳ τε καὶ μη-
λίνῳ. Ψύχειν δὲ τούτους ἀγωνιστικώτερον οὐκ ἀκίνδυνον πυρεκτι- 23
κῆς πως οὔσης τῆς τοιαύτης καταστάσεως, ὅταν πλεονάζῃ τὸ θερ-
μόν. Ὑποκείσθω δὴ πάλιν ἐπικρατεῖν μὲν τὴν θερμὴν δυσκρασίαν, 24
5 μεμῖχθαι δὲ αὐτῇ τὴν ὑγρότητα· τὴν τοιαύτην δυσκρασίαν ὕδατος
ψυχροῦ πόσει ἀδεέστερον θεραπεύσομεν. Ἐπιτήδειος δὲ καὶ ἡ τῶν 25
στυφόντων ἐδεσμάτων χρῆσις· ἔστω δὲ καὶ ταῦτα χωρὶς τοῦ θερμαί-
νειν αὐστηρά. Τῆς δὲ ὑγρᾶς δυσκρασίας μόνης συνισταμένης τὰ ξη- 26
ραίνοντα τῶν ἐδεσμάτων ἄνευ τοῦ θερμαίνειν ἢ ψύχειν ἰσχυρῶς
10 βοηθεῖ, καὶ πρὸς τούτοις ἔνδεια τῶν συνήθων ποτῶν. Τῆς δὲ μετὰ 27
ψύξεως ὑγρᾶς δυσκρασίας ἄριστα ἰάματα τὰ δριμέα σύμπαντα·
μιγνύσθω δὲ αὐτοῖς καὶ τὰ στύφοντα χωρὶς τοῦ ψύχειν σαφῶς. Ἄρι- 28
στον δὲ ἴαμα τούτοις ὀλίγον τὸ πόμα, καὶ τοῦτο τῶν θερμαινόντων

ments à une température tiède ou à celle du lait récemment trait, et nous oindrons le ventre avec de l'huile d'olives vertes ou de l'huile aux coings. Il n'est pas sans danger de soumettre les gens qui sont dans ces 23
conditions à un traitement refroidissant héroïque, parce que cet état a une certaine tendance à produire de la fièvre quand la chaleur a le dessus. Supposons donc de nouveau que le tempérament qui pèche 24
par le chaud prédomine, mais qu'il y a une complication d'humidité; nous aurons moins de scrupule pour traiter un tempérament qui a ces défauts-là par l'eau froide prise en boisson. L'usage des aliments 25
astringents convient aussi dans ce cas; mais ces aliments devront être âpres, sans qu'ils échauffent. Si le tempérament qui pèche par l'hu- 26
mide subsiste seul, les substances qui dessèchent sans échauffer ou refroidir fortement, et, en outre, l'abstinence des boissons habituelles, seront utiles. Les meilleurs moyens pour guérir le tempérament qui 27
pèche par l'humidité et qui est compliqué d'un excès de froid consistent dans les substances âcres, quelles qu'elles soient, pourvu qu'on y mêle des substances qui resserrent sans refroidir manifestement. Ce 28
qui convient le mieux pour amender un pareil tempérament est de diminuer la quantité des boissons, qui consisteront en des vins forte-

2. τούτους Paul.; τούτοις Codd. — 4. — 5. ταύτῃ BP. 11. τά om. BP. — δέ BP. — 12b. θερμὴ δυσκρασία Codd 13. ἅμα Codd.

29 ἰσχυρῶς οἴνων. Τῶν μὲν οὖν ἐπὶ ταῖς ποιότησι δυσκρασιῶν τοιαῦ-
ταί τινές εἰσιν ἰάσεις· ἐπεὶ δὲ πολλάκις καὶ περιεχόμενον ὑγρὸν
ἐν τῷ κύτει τῆς γαστρὸς, ἢ ἀναποθὲν ὑπὸ τῶν χιτώνων αὐτῆς τὰς
30 δυσκρασίας ἐργάζεται, καλῶς ἂν ἔχοι καὶ περὶ τούτων εἰπεῖν. Ἡ
μὲν οὖν προτέρα διάθεσις εἰ μὲν ἅπαξ συσταίη, διὰ ἐμέτων καθαρ- 5
θεῖσα καθίσταται ῥᾳδίως· εἰ δὲ αὖθις καὶ αὖθις, εἰ ἐξ ἑτέρου τινὸς
ἢ ἑτέρων ἐπιῤῥέει μορίων, ἀκριβοῦς δεῖται διαγνώσεως, ἡ θεραπεία
δὲ εὐθέως ἐπακολουθήσει· τὴν μὲν γὰρ σύμπασαν θεραπείαν τῷ
πεπομφότι χρὴ προσάγειν, προνοεῖσθαι δὲ τῶν δεχομένων τοσοῦ-
τον μόνον, ὡς μὴ ῥᾳδίως δέχοιτο τὰ ἐπιῤῥέοντα· γένοιτο δὲ ἂν 10
τοῦτο διά τε τῶν στυφόντων καὶ διὰ τῶν εἰς εὐεξίαν ἀγόντων τὸ
31 πᾶν σῶμα. Τὰς δὲ ἐν τοῖς χιτῶσι τῆς γαστρὸς κακοχυμίας διὰ τῶν
καθαιρόντων μετρίως ἰῷτο ἄν τις, οἷόν ἐστιν ἡ ἀλόη, καὶ τὸ διὰ αὐ-

29 ment échauffants. Tels sont les moyens pour guérir les mauvais tempéraments qui tiennent aux qualités [élémentaires]; mais, comme les tempéraments vicieux sont souvent le produit des liquides contenus dans la cavité de l'estomac, ou dont ses tuniques sont imbibées, il
30 ne sera pas sans utilité de parler aussi de ceux-là. Si le premier de ces deux états ne survient qu'une seule fois, on le ramène facilement aux conditions normales, en opérant une purgation par les vomissements; mais, si cet état se manifeste à plusieurs reprises, s'il y a un afflux d'humeurs provenant d'une ou de plusieurs autres parties, il exige un diagnostic rigoureux, dont on pourra immédiatement déduire le traitement : en effet l'ensemble du traitement devra être appliqué à la partie qui envoie les humeurs, tandis que les soins qu'on donnera à celles qui les reçoivent consisteront uniquement à faire en sorte qu'elles n'accueillent pas facilement les humeurs qui affluent; or on obtiendra ce résultat à l'aide des substances astringentes et de celles qui
31 mettent l'ensemble du corps dans un bon état. On pourra remédier aux mauvaises humeurs qui imprègnent les tuniques de l'estomac en donnant des substances qui purgent modérément, comme l'aloès et le

6. εἰ δέ] εἶτα Codd. — Ib. καὶ αὖθις om. Codd. — 8. εὐθ.] αὐτοῖς BP; αὐτοῖς F. 9. πεπομφότι ex em., πεπονθότι Codd. — 9-10. τοσούτῳ Codd. — 12. τοῖς om. F. — 13. ἰῷτο ἄν τις om. Codd. — Ib. ἡ om. Codd.

τῆς σκευαζόμενον φάρμακον ἡ πικρά. Γλίσχρου δὲ ἅμα φλέγματος 32
ἐμπεπλασμένου τῇ γαστρὶ, δοτέον αὐτοῖς πρότερον ὅσα τέμνει
τοῦτο, κἄπειτα οὕτω καθαρτέον. Εἰ δὲ ἐπιτηδείως ἔχοι, διὰ ῥαφανί- 33
δων ἐμείτω. Εἰ δὲ μήτε γλίσχρος, μήτε παχὺς εἴη ὁ χυμὸς, ἀρκεῖ 34
5 καὶ ὁ ἀπὸ τοῦ χυλοῦ τῆς πτισάνης ἔμετος, καὶ ὁ ἀπὸ τοῦ μελικρά-
του· πίνειν δὲ καὶ ἀψινθίου χυλὸν ἐν μελικράτῳ. Ἀνάλογον δὲ χρὴ 35
καὶ τὰς ἐν τοῖς ἄλλοις μέρεσι γινομένας δυσκρασίας ἰᾶσθαι, τὰς ἐπι-
τηδείους ἐκροὰς εὑρίσκοντα τοῖς ὑγροῖς· εἰ δὲ μήτε κοιλότητα,
μήτε ἐκροὴν ἔχοι τὸ μόριον αἰσθητὴν, ἀτμοῖς καὶ ἱδρῶσιν ἐκκενῶσαι
10 χρὴ τοὺς πλεονάζοντας ἰχῶρας ἢ χυμοὺς ἐν αὐτῷ, καθάπερ γε κἂν
πνεῦμα φυσῶδες ᾖ τὸ περιεχόμενον.

médicament appelé *l'amer,* qu'on prépare avec cette drogue. L'estomac 32
est-il en même temps saturé de pituite visqueuse, on donnera d'abord
aux malades des substances qui exercent une action incisive sur cette
humeur, pour passer ensuite aux purgatifs. Si le malade s'y prête, on 33
le fera vomir à l'aide du raifort. Quand l'humeur [contenue dans les 34
tuniques de l'estomac] n'est ni visqueuse ni épaisse, il suffit de pro-
voquer un vomissement par la crème d'orge mondée ou par l'eau
miellée; on fera aussi boire du suc d'absinthe dans de l'eau miellée. On 35
guérira d'une manière analogue les mauvais tempéraments qui se
forment dans les autres parties, en s'efforçant de trouver des voies d'é-
coulement convenables pour les humeurs; quand la partie n'a ni cavité,
ni voie d'écoulement appréciables aux sens, on évacuera les humeurs
surabondantes qu'elle contient, que ces humeurs soient séreuses ou
non, par l'évaporation et par la sueur; on agira encore de même, si la
partie contient du souffle flatulent.

ΒΙΒΛΙΟΝ ϛ'.

α'. Ὅτι τὰ κρίσιμα σημεῖα ἐν ἀρχῇ φαινόμενα μοχθηρά.

1 Πέψεως μὲν οὐκ ἔστιν ὅτε κακῶς ἐπιφαίνεται σημεῖα· τὰ κρίσιμα δὲ ἔστιν ὅτε κακῶς· οὔτε γὰρ ἐν ταῖς ἀρχαῖς, οὔτε ἐν ταῖς ἀναβάσεσιν, ἀλλὰ ἐν ταῖς ἀκμαῖς αὐτὰ φαίνεσθαι χρή.

β'. Πῶς γενομένην ἀρίστην κρίσιν διαγινώσκειν χρή.

1 Εἰ μὲν ὅ τε πυρετὸς λύοιτο κρινομένῳ τῷ κάμνοντι καὶ τῶν ἄλλων ἀπαλλάτοιτο συμπτωμάτων, εὐχρούστερός τε γίνοιτο πρὸς λόγον τῆς κενώσεως, εὐσφυκτότερός τε καὶ ἰσχυρότερος ἐν ταῖς 5

LIVRE VI.

1. QUE LES SIGNES CRITIQUES SONT MAUVAIS QUAND ILS SE PRÉSENTENT DÈS LE COMMENCEMENT DE LA MALADIE.

1 Il n'existe pas de cas où l'apparition des signes de coction soit une circonstance défavorable; mais il n'en est pas de même des signes critiques; en effet ils ne doivent se présenter ni au commencement ni pendant l'augment, mais à la période d'état de la maladie.

2. COMMENT IL FAUT RECONNAÎTRE QUE LA CRISE QUI A EU LIEU EST LA MEILLEURE.

1 Quand la fièvre se dissipe pendant que le malade est en proie à la crise, s'il est délivré de ses autres accidents, si sa couleur devient meilleure à mesure que les évacuations se font, si son pouls est meilleur

Ch. 1; l. 3. ἀλλά] οὔτε BFP. — Ch. 2; tit. ἐνεστῶσαν BFP.

ἐξανασΐάσεσιν, αὕτη μὲν ἡ ἀρίσΐη κρίσις· εἰ δέ τι τούτων ἐλλείποι, τοσοῦτον ἀποδεῖ τῆς ἀρίσΐης ἡλίκη ἂν ᾖ τοῦ λείποντος ἡ δύναμις.

γ'. Πῶς ἐσομένην κρίσιν προγινώσκειν χρή.

Εἰ μὲν ἐπείγοιντο καὶ προλαμβάνοιεν οἱ παροξυσμοὶ καὶ σφο- 1
δρότεροι γίνοιντο πολλῷ καὶ διὰ τρίτης ἀπαντῷεν, ἐν τάχει τὸ νό-
σημα κριθήσεσθαι δηλοῦσιν· εἰ δὲ ἀργῶς κινοῖντο, καὶ τὴν αὐτὴν
ὥραν εἰσβάλλοιεν, ἐπὶ ἑκάσΐης τε γίνοιντο ἡμέρας, μετὰ πλείονα
χρόνον ἔσεσθαι σημαίνουσι τὴν κρίσιν. Καὶ τῶν ἐπὶ ῥίγεσι σφοδροῖς 2
πυρετΐόντων οὐχ οἷόν τε λύσιν γενέσθαι πρὸ τοῦ πραϋνθῆναι τὸ
ῥῖγος· τούτου γὰρ μηδὲν ἐνδιδόντος ἀδύνατόν ἐσΐιν ἤδη τὴν ἀκμὴν
ἀπειληφέναι τὸ νόσημα, καὶ δῆλον ὅτι πολὺ μᾶλλον οὐδὲ τὴν παρ-
ακμὴν ἐλπίζειν χρή.

et s'il se montre plus fort quand il se lève, c'est là une crise des plus favorables; si, au contraire, quelqu'une de ces circonstances laisse quelque chose à désirer, la crise est d'autant moins bonne que cette défectuosité est plus considérable.

3. COMMENT IL FAUT RECONNAÎTRE D'AVANCE UNE CRISE FUTURE.

Si les accès se pressent, anticipent, deviennent beaucoup plus vio- 1
lents, et surviennent tous les trois (*deux*) jours, ils indiquent que la maladie sera promptement jugée; si, au contraire, leur mouvement présente de la lenteur, si leur invasion tombe sur la même heure qu'auparavant, et s'ils ont lieu tous les jours, ils signifient que la maladie exi-
gera plus de temps pour être jugée. Chez les malades dont la fièvre est 2
précédée de frissons très-intenses, elle ne saurait se dissiper avant que le frisson diminue; car, si ce frisson ne cède en aucune façon, il est impossible que la maladie soit parvenue à son point culminant, et on peut s'attendre encore beaucoup moins, cela est évident, à ce qu'elle soit arrivée à son déclin.

1. ἐπανασΐάσεσιν Codd. — 2. ἡλίκη BFP; ἐπιτείνοιεν A. — 5. κριθήσοιτο τοῦ BFP — CH. 3; l. 3. ἐπιτείνοιντο (om. δηλ.) A.

δ'. Περὶ τῆς ἀπὸ τῶν οὔρων σημειώσεως.

1 Οὖρον ἄριστόν ἐστι τὸ τοῖς τῶν ὑγιαινόντων ὁμοιότατον· τοιοῦτον
2 δέ ἐστι τὸ ὑπόπυῤῥόν τε ἅμα καὶ ὑπόξανθον. Εὐθὺς δὲ τοῦτο καὶ
πάχους συμμέτρως ἔχει· οὔσης γὰρ τριττῆς διαφορᾶς τῶν θολερῶν
οὔρων· ἢ γὰρ οὐρηθέντα τοιαῦτα καθίσταται μετὰ ὀλίγον, ἢ μένει
παραπλήσια μέχρι παντὸς, ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ ταῦτα 5
δὲ ἀναθολοῦται· μοχθηρὸν μὲν τὸ τρίτον εἰρημένον, ἐπιεικὲς δὲ τὸ
3 πρῶτον, ἐν μέσῳ δὲ ἀμφοῖν ἐστι τὸ δεύτερον. Τὸ δὲ ἐσχάτως ἄπε-
πτον, ὅπερ ἐστὶ τὸ ὑδατῶδες ἀκριβῶς οἷον ἀπεγνωσμένης πέψεως
σύμπτωμα τοῦ φλεβώδους γένους ὑπάρχει· ὅταν δὲ καὶ ταχέως διεξ-
4 έρχηται, ὁ καλούμενος διαβήτης γίνεται. Ἀλλὰ τοῦτο μὲν ἀπέπτων 10
οὔρων τὸ χείριστόν ἐστιν· ἐφεξῆς δὲ αὐτῷ τὸ λευκὸν οὕτω καὶ λεπτὸν
οἷόν περ τὸ ὕδωρ· τούτῳ δὲ ἐγγύς ἐστιν ἕτερον οὖρον ἐν πολλαῖς

4. DE LA SÉMÉIOTIQUE DES URINES.

1 La meilleure urine est celle qui ressemble le plus à l'urine des gens bien portants; telle est l'urine jaunâtre qui présente en même temps
2 une teinte légèrement orangée. Cette urine a infailliblement aussi une épaisseur moyenne; en effet, il y a trois espèces d'urine trouble : celle qui est trouble au moment où elle est rendue et qui se clarifie peu après, celle qui reste toujours dans le même état, celle qui est claire au moment de l'excrétion et qui se trouble après coup; celle que nous avons indiquée en troisième lieu est mauvaise, tandis que la première
3 est bonne, et que la seconde tient le milieu entre les deux autres. L'urine crue au dernier degré, c'est-à-dire l'urine complétement aqueuse, est un signe que la coction a complétement échoué dans le système veineux; lorsque, en outre, cette urine passe rapidement, la maladie dite
4 *diabète* se forme. Mais c'est là la pire des urines crues; après elle vient celle qui est aussi ténue et aussi blanche que de l'eau; il y a encore une autre espèce d'urine qui se rapproche de celle dont nous venons de par-

CH. 4; l. 1. Οὖρον τοίνυν A. — Ib. σύμμετρον ABP. — 11. αὐτῷ] αὐτῶν τοῖς om. F. — 3. πάχος Codd. — Ib. Codd. — 12. τούτων Codd.

νόσοις φαινόμενον ὡς οἴνου δοκεῖν ἱκανῶς λεπτοῦ καὶ λευκοῦ ἔχειν
τὴν χρόαν· τὸ δὲ ὕπωχρον ἐφεξῆς ἐστι τούτῳ· τὸ δὲ ὠχρόν· εἴη μὲν
ἂν ἤδη τοῦτο καὶ ὑπόπυῤῥον· πέπεπται δὲ ἤδη τῆς χρόας ἕνεκα·
χρὴ δὲ αὐτὸ καὶ τῷ πάχει τοσοῦτον ἀποκεχωρηκέναι τοῦ ὑδατώδους,
5 εἰ μέλλοι πεπέφθαι καλῶς, ὅσον καὶ τῷ χρώματι. Εἰ δὲ τὴν κατὰ 5
φύσιν χρόαν ἀκριβῶς φυλάττον ὑπόστασιν λευκὴν καὶ λείαν καὶ
ὁμαλὴν καὶ πολλὴν ποιοῖτο, πέψεως μὲν ἂν εἴη ἀκριβοῦς γνώρισμα,
πλείονα δὲ τὸν ὠμὸν χυμὸν ἐκκαθαίρεσθαι δηλοῖ. Κἂν παχύτερον δὲ 6
ᾖ μετρίως καὶ ἔχῃ τινὰ ὑπόστασιν, οὐ πάντως ἤδη πέπεπται· εἰ γὰρ
10 ἤτοι κριμνώδεις ἢ πεταλώδεις ἢ πιτυρώδεις ἢ μελαίνας ἢ πελιδνὰς
ἢ χλωρὰς ἢ δυσώδεις ὑποστάσεις ἔχοι, πρὸς τῷ πᾶν τὸ τοιοῦτον
ἄπεπτον εἶναι, καὶ ἄλλως ὀλέθριον ὑπάρχει. Τὰ δὲ εὔχροά τε ἅμα 7

ler et qui se présente dans un grand nombre de maladies; en effet, elle semble avoir la couleur du vin blanc et très-ténu; après cette urine vient celle qui a une teinte jaune pâle légère; quant à l'urine jaune pâle, urine qui offre aussi une certaine nuance de jaune foncé, elle est déjà arrivée à la coction sous le rapport de la couleur; mais, pour qu'elle le soit complétement, il faut qu'elle s'écarte autant de l'urine aqueuse, sous le rapport de la densité, qu'elle s'en est déjà éloignée sous celui de la couleur. Quand l'urine garde complétement sa couleur 5
naturelle, et qu'il s'y forme un sédiment blanc, lisse, égal et considérable, c'est le signe d'une coction complète; mais cette urine indique en même temps qu'il existe une évacuation assez abondante d'humeur crue.
Si la densité de l'urine dépasse légèrement la moyenne, et si, de plus, 6
elle a un sédiment, il ne s'ensuit pas toujours qu'elle soit arrivée à maturité; en effet, si les sédiments qu'elle contient ressemblent à de la farine grossière, à des feuilles ou à du son, ou bien s'ils sont noirs, livides, verts, ou de mauvaise odeur, toutes ces urines ne sont pas seulement crues, mais elles sont aussi un présage sinistre. Les urines bien 7

1. χρόνοις BP. — Ib. λεπτοῦ om. BP. — Ib. καὶ λευκοῦ om. BFP. — 2. τὴν om. F. — 3. πέττεται BFP. — Ib. χροιᾶς γε A. — 4. ὕδατος A. — 7. ποιοῖτο ex em.; ποιεῖτο BFP; ποιεῖ A. — Ib. γνωρίσματα BFP. — 9. ἔχῃ ex em.; ἔχει F; ἔχειν BP; σχῇ A. — 10-11. ἢ μελ..... χλωράς om. ABP. — 11. πρ. τὸ πᾶν BFP. — 12. ὑπάρχειν BFP.

καὶ ἤτοι τὰς ὑποστάσεις λευκὰς καὶ λείας καὶ ὁμαλὰς, ἢ νεφέλας τινὰς ὁμοίας, ἢ ἐναιωρήματα ποιούμενα πάντων ἐστὶν οὔρων τὰ χρηστότατα, καὶ μάλιστα μὲν ὧν ὑπόστασις ᾖ τοιαύτη, δεύτερα δὲ ὧν
8 ἂν ἐναιώρημα, τρίτα δὲ ὧν νεφέλαι. Καὶ ἁπλῶς τὰ τοῖς οὔροις ἐμφερόμενα χρηστῶς ὅσῳ περ ἂν ὑφίζῃ κάτῳ, τοσούτῳ βελτίω γίνεται.

ε'. Περὶ πτυσμάτων.

1 Ὅσα μὲν ὑπόξανθά τέ ἐστι καὶ ὑπόπυῤῥα καὶ ὕπωχρα καὶ ὕπαφρα καὶ λεπτὰ μόνης ἀπεψίας ὑπάρχει γνωρίσματα, κακὸν δὲ οὐδὲν ἐπίσημον ἐνδείκνυται· τὰ δὲ ἀκράτως ξανθὰ καὶ πυῤῥὰ καὶ ἀφρώδη καὶ χλωρὰ καὶ γλίσχρα καὶ στρογγύλα, καὶ τούτων ἔτι μᾶλλον τὰ μέλανα μοχθηρά· πλὴν γὰρ τοῦ αἵματος ὅς τις ἂν τῶν ἄλλων χυμῶν ἄκρατος ᾖ, μοχθηρὰν ἐνδείκνυται τὴν διάθεσιν, ἐπὶ θερμότητι

colorées, dans lesquelles il se forme en même temps des sédiments, des nuages, ou des flocons blancs, lisses et égaux, sont les meilleures de toutes les urines, et cela surtout lorsqu'il s'agit d'un tel sédiment; car les urines à flocon de cette nature ne sont bonnes qu'au second degré,
8 et celles à nuage, au troisième. En un mot, ce qui est avantageusement suspendu dans les urines est d'autant meilleur, qu'il descend davantage vers le fond du vase.

5. DES CRACHATS.

1 Tous les crachats qui ont une légère teinte d'orange, de jaune foncé, ou de jaune pâle, qui sont ténus et légèrement spumeux, sont uniquement le signe d'un défaut de maturité, mais ils n'indiquent aucun mal signalé; au contraire, il faut ranger parmi les mauvais crachats ceux qui ont une couleur orange ou jaune foncé pure, qui sont écumeux, verts, visqueux, ou ronds, et, à plus forte raison, les crachats noirs; car, à l'exception du sang, toutes les autres humeurs indiquent un état grave de l'économie, quand elles sont pures, parce qu'elles doivent leur ori-

3. ἡ ὑπόστ. F. — Ib. ᾖ ex em.; εἴη Codd. — 4. ἐναιωρήματα ABP. — Ib. αἱ νεφέλαι BFP. — Ib. τά om. Codd. — 5. ὅσον..... τοσοῦτον Codd. — Ch. 5; l. 6. καὶ ὕπωχρα om. Codd. — 11. ἄκρ. εἴη A; κρατοίη F; κρατείη BP.

φλογώδει τὴν γένεσιν ἔχων. Τὰ μὲν οὖν αἱματώδη καὶ φλεγματώδη 2
πτύσματα μέτρια· τὰ δὲ τῆς ξανθῆς ἢ μελαίνης χολῆς χαλεπά.
Προσεπισκέπτεσθαι δὲ δεῖ καὶ τὸν τῆς ἀναγωγῆς αὐτῶν τρόπον· εἰ 3
γὰρ εὐπετῶς ἀναπτύοιτο, πρόδηλον ὡς τὰ τοιαῦτα μέν ἐστιν ἀγαθὰ,
5 τὰ δὲ ἐναντία μοχθηρά. Τελείας μὲν οὖν ἐστι πέψεως γνώρισμα τὸ 4
πτύελον ὅταν ᾖ λεῖόν τε καὶ λευκὸν καὶ ὁμαλὲς καὶ τῇ συστάσει μήτε
ὑπέρυγρον, μήτε ὑπέρπαχυ· παντελοῦς δὲ ἀπεψίας τὸ μηδὲ ὅλως
ἀναπτυόμενον. Εἰ δὲ πτύοιτο μέν, ἀλλὰ λεπτὸν ἔτι, πέψεως ἀμυ- 5
δρᾶς ἐστι σημεῖον· εἰ δὲ ἀκράτως εἴη πυρρὸν ἢ ξανθὸν, οὐκ ἀγαθόν·
10 εἰ δὲ πελιδνὸν ἢ ἰῶδες, ἢ μέλαν, ὀλεθριώτατον.

ς'. Περὶ ἐφημέρων πυρετῶν.

Τῶν ἐφημέρων πυρετῶν ἴδιον καὶ ἀχώριστον σημεῖόν ἐστιν ἡ 1
τῶν οὔρων πέψις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν. Καὶ τὸ τῆς θερμασίας 2

gine à une chaleur ardente. Les crachats sanguins ou pituiteux sont des 2
crachats moyens, mais ceux qui proviennent de la bile jaune ou de la
bile noire sont graves. Il faut aussi faire attention à la manière dont les 3
crachats sont rendus : en effet, s'ils sont rendus facilement, il est évident
que ces crachats-là sont bons, tandis que ceux qui présentent des condi-
tions opposées sont mauvais. Les crachats sont le signe d'une maturité 4
complète, lorsqu'ils sont lisses, blancs et égaux, et si leur consistance
n'est ni trop liquide ni trop épaisse; ils sont le signe d'une crudité ab-
solue, si on ne peut pas du tout les expectorer. S'ils sont rendus, mais 5
en restant ténus, c'est le signe d'une coction faible; s'ils ont une cou-
leur jaune foncé ou orange pure, ce n'est pas bon; s'ils sont noirs ou
si leur couleur ressemble au plomb ou au vert de gris, c'est un présage
des plus sinistres.

6. DES FIÈVRES ÉPHÉMÈRES.

C'est un signe propre et constant des fièvres éphémères que les urines 1
arrivent dès le premier jour à leur maturité. C'est encore un signe propre 2

1. ἔχουσαν A. — Ib. τε καί BFP. — 2. τῆς om. A. — Ib. χολῆς om. Codd. — 3. αὐτόν F. — Ib. αὐτῶν πρῶτον τρόπον BFP. — 6. ὁμαλόν ABP. — 7. ὑγρόν Codd. — 8. δὲ μὴ πτύοιτο μέλανα, ἀλλά AN. — 10. καὶ ἰῶδ. BFP.

3 δὲ ἡδὺ τῶν τοιούτων πυρετῶν ἴδιον καὶ ἀχώριστόν ἐστιν. Μετὰ δὲ τὴν πρώτην λύσιν τοῦ πυρετοῦ πιστοτέραν ἕξεις τὴν διάγνωσιν· ἥ τε γὰρ τῶν ἀρτηριῶν κίνησις ἐν τῷδε καθάπαξ ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων, οὐδενὸς τῶν ἄλλων πυρετῶν εἰς τὸ κατὰ φύσιν
4 ἐπανιόντος. Καὶ ἡ τοῦ κάμνοντος δὲ εὐφορία μέγιστον καὶ αὐτὴ ση- 5
5 μεῖόν ἐστιν. Εὐάλωτοι δὲ τοῖς τοιούτοις πυρετοῖς εἰσιν ἐπὶ ὧν αἱ ἀπόῤῥοιαι τοῦ σώματός εἰσιν οὐκ ἀτμώδεις, ἀλλὰ καὶ δριμύ τι καὶ οἷον καπνῶδες ἔχουσιν· οὗτοι δέ εἰσιν οἱ θερμοὶ καὶ ξηροὶ τὴν
6 κρᾶσιν, καὶ ὅλως πικρόχολοι. Τοὺς μὲν οὖν ἐπὶ κόπῳ πυρέξαντας λιπαρῶς τε ἅμα καὶ μαλακῶς ἀνατρίβειν καὶ λούειν, τοὺς δὲ ἐπὶ 10 ξηρότητι τρίβειν μὲν ἔλαττον τούτων, λούειν δὲ πλέον· τοὺς δὲ ἐπὶ φροντίσι καὶ λύπαις καὶ ἀγρυπνίαις καὶ θυμοῖς λούειν μὲν μὴ πολλάκις, ἐλαίῳ δὲ πολλῷ χλιαρῷ ἥκιστα μετέχοντι σύψεως ἀνατρίβειν

3 et constant de ces fièvres que la chaleur douce qui les caractérise. Quand la fièvre s'est dissipée pour la première fois, vous aurez un moyen plus sûr de reconnaître la maladie : en effet, dans la fièvre éphémère, [lorsqu'elle a cessé,] le mouvement des artères devient semblable du premier coup à celui des gens bien portants, tandis que, dans aucune autre espèce de fièvre, il ne revient [complétement] à l'état normal [après le
4 premier accès]. La facilité avec laquelle le malade supporte sa maladie
5 est encore un signe très-important de ces fièvres. Les gens sujets à être pris de cette fièvre sont ceux dont les transpirations cutanées ne sont pas vaporeuses, mais ont quelque chose d'âcre, et qui ressemble à la fumée;
6 or ce sont les gens à tempérament chaud et sec, et, en général, ceux où la bile amère prédomine, qui présentent ces conditions. On frottera doucement avec quelque corps gras et on baignera les malades dont la fièvre tient à la fatigue; on frottera moins que ceux-là, mais on baignera davantage ceux dont la fièvre est un produit de la sécheresse; on ne baignera pas souvent les malades chez lesquels la fièvre a pour cause les soucis, la douleur, la veille ou la colère; mais on les frottera légèrement avec une grande quantité d'huile tiède qui ne soit pas du tout as-

1. εἶδος A. — 3. ὁμοιοῦται BFP. — 5. αὐτό A. — 6. δέ om. BFP. — 7. καί ante δρ. om. ABP. — 8. ἁλμῶδες A. — Ib. ἔχουσιν om. F. — Ib. οἱ om. BFP. — 9. οὖν om. BFP. — 11. ἐλάττω F. — 13. δὲ μὴ πολλῷ FN.

βραχέα καὶ λούειν ὡς ἔθος· τοὺς δὲ ἐπὶ ἐγκαύσεσιν εὐθέως μὲν ἐξ ἀρχῆς χρὴ τοῖς ψύχουσιν ἐξιᾶσθαι καὶ λουτροῖς πλείοσιν, ἥκιστα δὲ ἐλαίῳ δαψιλεῖ καὶ τρίψει· τὰ δὲ ψύχοντα ῥόδινον ἔστω καὶ ἔλαιον ὀμφάκινον χωρὶς ἁλῶν ἐσκευασμένον. Ψύχοντα δὲ αὐτὰ σφοδρῶς 7
5 καταχεῖν δεῖ κατὰ τοῦ βρέγματος καὶ λούειν παρακμάσαντος τοῦ πυρετοῦ. Εἰ δέ τις ψυχθεὶς πυρέξειε, καὶ τοῦτον λούειν ἐν ταῖς 8
παρακμαῖς· εἰ δὲ ἅμα κατάῤῥῳ πυρέτοι, πρὶν πεφθῆναι λούειν οὐ χρή· τοὺς δὲ ἐπὶ ἐγκαύσει καὶ τούτων παρόντων λουστέον· τοὺς δὲ ἐπὶ ψύξει τοῖς θερμαίνουσι μετρίως διαβρέχειν τὴν κεφαλήν, οἷόν
10 ἐστι τό τε ἴρινον καὶ τὸ νάρδινον. Ἐπὶ ὧν δὲ ἡ στέγνωσις πυρετὸν 9
ἐργάζεται, τούτοις ἁρμόττει λουτρὰ γλυκέων ὑδάτων εὔκρατα, καὶ τρίψις ἀραιωτικὴ, καὶ γυμνάσια μέτρια, καὶ δίαιτα γλυκύχυμος.

tringente, et on les baignera conformément à l'usage; ceux qui ont une fièvre causée par un échauffement doivent dès le début être radicalement guéris à l'aide de substances refroidissantes et de bains plus nombreux que chez les précédents, mais on n'emploiera ni frictions, ni huile abondante; les refroidissants dont il s'agit consisteront en huile aux roses ou huile d'olives vertes, préparées toutes les deux sans sel. On 7
refroidira fortement ces huiles, et on fera avec elles des affusions sur le sommet de la tête; ensuite on donnera un bain vers le déclin de la fièvre. S'il s'agit de quelqu'un dont la fièvre tient à un refroidissement, 8
on lui donnera également un bain à l'époque du déclin; mais, si sa fièvre est compliquée de rhume, on ne le baignera pas avant la maturité du rhume; les fébricitants par échauffement, au contraire, doivent être baignés, même quand il y a un rhume; ceux qui souffrent par suite de refroidissement doivent s'humecter la tête avec des substances modérément échauffantes, comme l'huile à l'iris et l'huile au nard. Dans 9
le cas où la fièvre est le produit d'un resserrement [de la peau], ce qui convient aux malades, ce sont des bains tièdes d'eau douce, une friction raréfiante, des exercices modérés, et un régime composé de

1. βραδέως καί BP. — 1-2. μέν... πλείοσιν om. BFP. — 4. ἐσκευασμένα F. — 7. πυρέτοιεν BFP; πυρέξειε A. — Ib. οὐ om. BFP. — 9. τοῖς om. BFP; Conf. Gal. — Ib. ταχέως A. — 11. λουτρόν F 2ª m. A; λουτρῶν F 1ª m. — Ib. εὐκράτων BFP. — 12. μέτρια om. BFP.

10 Εἰ δὲ καὶ διὰ ἀσιτίαν γένοιτο πυρετὸς, τοῦ πρώτου παροξυσμοῦ παρακμάσαντος, εἰσάγειν εἰς τὸ βαλανεῖον αὐτοὺς καὶ χλιαρὸν ἔλαιον πλεῖστον καταχεῖν, ἀνατρίβειν τε πρᾳότατα καὶ τὸ πλεῖστον τοῦ χρόνου ἐν τῇ θερμῇ δεξαμενῇ διατρίβειν· ἐξελθόντων δὲ καὶ ἀναλαβόντων τὴν δύναμιν αὖθις εἰσάγειν εἰς τὸ λουτρὸν, καὶ μετὰ ταῦτα πιόντα θερμὸν ὕδωρ διδόναι πλισάνης χυλὸν, ἐνίοτε δὲ καὶ θρι-
11 δακίνης, καὶ τῶν ἁπαλοσάρκων ἰχθύων ἐν λευκῷ ζωμῷ. Κοινὸν δὲ πάντων εἶδος ἔστω τῆς διαίτης εὔπεπτον, εὔχυμον, οὐδαμόθι κατὰ τοὺς πόρους ἰσχόμενον· οἶνον δὲ διδόναι τὸν ὑδατώδη καὶ ὄψει καὶ
12 δυνάμει. Δεῖ δὲ κατὰ τὴν πρώτην εἰσβολὴν ἐνίοτε τοῦ πρώτου παροξυσμοῦ τούτων τινὰς τρέφειν, ἐπὶ ὧν ἡ δυσκρασία τοῦ σώματος
13 ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν ἐκτρεπομένη πυρετοὺς ἀνάπτει. Οἱ δὲ ἐπὶ βουβῶσι πυρέξαντες οὐδὲ πυνθάνονται τῶν ἰατρῶν ὅ τι χρὴ ποιεῖν,

10 substances qui contiennent des humeurs d'un goût sucré. Le défaut d'aliments a-t-il causé la fièvre, on conduira les malades au bain, quand le premier accès est arrivé à son déclin, on leur fera des affusions abondantes d'huile chaude, on pratiquera des frictions très-douces, et on leur fera passer la plus grande partie du temps [qu'ils consacrent au bain] dans la piscine chaude; quand ils sont sortis du bain et que leurs forces se sont restaurées, on les y conduira une seconde fois; ensuite, après leur avoir fait boire de l'eau chaude, on leur donnera de la crème d'orge mondée, et quelquefois aussi de la laitue, ou quelque poisson à
11 chair molle, assaisonné à la sauce blanche. Le régime sera du même genre pour tous les malades affectés de fièvre éphémère; il se composera de substances faciles à digérer, contenant de bons sucs, et qui ne sont nulle part retenues dans les conduits; on donnera du vin qui soit
12 aqueux, aussi bien par son aspect que par ses propriétés. A l'invasion du premier accès, il faut parfois nourrir quelques-uns des malades pris de fièvre éphémère; ce sont ceux qui ont une fièvre allumée par un mauvais tempérament du corps, et dont la déviation porte sur le chaud et le
13 sec. Ceux dont la fièvre a été causée par un bubon ne demandent

3. δέ F. — 4. ἐξελθόντα ABP. — 4-5. ἀναλαβόντων ex em.; ἀναλαβόντα Codd. Conf. Gal. — 5. αὖθις om. BFP. — Ib. εἰς τὸ θερμόν καί A. — 8. οὐδαμόθεν BFP. — 10. πρώτου om. BF. — 13. πυρέττοντες A.

ἀλλὰ τοῦ ἕλκους, ἐπὶ ᾧ περ ἂν ὁ βουβὼν γένηται, προνοησάμενοι λούονται κατὰ τὴν παρακμὴν τοῦ γενομένου παροξυσμοῦ. Εἴργειν 14
δὲ αὐτοὺς οἴνου προσήκει πρὶν τοὺς βουβῶνας λυθῆναι, καὶ λεπτότερον διαιτᾶν.

ζ'. Τῶν ἐπὶ σηπεδόνι πυρετῶν διάγνωσις.

5 Τῶν ἐπὶ σήψει πυρετῶν διάγνωσις τὸ μηδὲν τῶν προκαταρκτικῶν αἰτίων προηγήσασθαι. Καὶ τὸ ἀπὸ ῥίγους δὲ ἄρξασθαι τὸν 1 2
πυρετὸν, οὔτε ἐγκαύσεως, οὔτε καταψύξεως ἰσχυρᾶς προηγησαμένης ἴδιόν ἐστι καὶ αὐτὸ τῶν ἐπὶ σηπεδόνι πυρετῶν, ὥσπερ γε καὶ τὸ τῆς θλίψεως τῶν σφυγμῶν· οὕτω δὲ ὀνομάζουσιν ὅταν ἀρχομένου τοῦ
10 παροξυσμοῦ μικροὺς ἱκανῶς ἔχωσι καὶ ἀνωμάλους αὐτούς· ἴδιον γάρ ἐστιν ἐξαίρετον τοῦτο τῶν τοιούτων πυρετῶν. Μέγιστον δὲ γνώ- 3
ρισμα τῶν ἐπὶ σήψει πυρετῶν ἐστι καὶ ἡ τῆς θερμασίας ποιότης· δακνώδης γάρ ἐστιν ὡς διαβιβρώσκειν τὴν ἁφήν. Ἴδιόν ἐστι μάλιστα 4

pas même au médecin ce qu'il faut faire, mais, après avoir pris soin de la plaie qui a amené la formation du bubon, ils prennent un bain vers le déclin de l'accès qui a eu lieu. On leur défendra l'usage du vin avant la 14
résolution des bubons, et on leur prescrira un régime plus ou moins ténu.

7. DIAGNOSTIC DES FIÈVRES QUI TIENNENT À LA PUTRÉFACTION.

L'absence complète de causes occasionnelles avant leur invasion est 1
un signe distinctif des fièvres causées par la putréfaction. C'est encore 2
une particularité propre aux fièvres putrides de commencer par un frisson, sans qu'il y ait eu auparavant un échauffement ou un refroidissement intenses; il en est de même pour l'*oppression* du pouls; on se sert de cette expression, lorsque, au commencement de l'accès, les malades ont le pouls inégal et très-petit; car c'est là une propriété spéciale de cette classe de fièvres. Le signe le plus important pour reconnaître les 3
fièvres qui tiennent à la putréfaction consiste dans la qualité de la chaleur : en effet, cette chaleur est mordante de manière à ronger au contact. L'absence, ou du moins le faible degré de coction des urines est 4

CH. 7; l. 6. προηγ. Paul.; ἡγ. Codd. Cf. Gal. — Ib. τὸ μὴ ἀ. ῥ. A. — 7 καταψ. Gal.; ἐμψ. BFP; ψ. A. — 8. γε om. BFP. — 9. δὲ καὶ ὀνομ. F. — 13. καπνώδης BFP. — Ib. διαγινώσκειν τῇ ἁφῇ BFP.

τῶν τοιούτων πυρετῶν καὶ ἡ τῶν οὔρων ἀπεψία, καὶ ἡ ἀμυδρὰ δὲ
5 πέψις. Μέγα δὲ καὶ ἀξιόλογον γνώρισμα πέψεως ἐν τοῖς πρώτοις
οὔροις οὐδέποτε φαίνεται κατὰ τοὺς τοιούτους πυρετούς.

η'. Ἴασις τῶν ἐπὶ σηπεδόνι πυρετῶν.

1 Τῶν δυνάμεων ἰσχυρῶν ὑπαρχουσῶν τὸν ἐπὶ σηπεδόνι πυρέσ-
σοντα φλεβοτομητέον αὐτίκα χωρὶς ἀπεψίας τῆς κατὰ γαστέρα· τῆς 5
δυνάμεως δὲ ἀσθενοῦς ὑπαρχούσης, ἢ κωλυούσης τῆς ἡλικίας, οὐ φλε-
2 βοτομήσεις. Μετὰ δὲ τὴν κένωσιν τοῦ αἵματος ἐκκαθαίρειν χρὴ τὰ σε-
σηπότα διὰ οὔρων καὶ γαστρὸς καὶ ἱδρώτων· εἰ δὲ αὐτόματά ποτε τὴν
ὁρμὴν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ποιήσαιτο, καὶ διὰ ἐμέτων· ἄλλως
3 δὲ οὐ χρὴ παρὰ φύσιν ἐρεθίζειν. Ἐκλεκτέον δὲ ὕλας ὅσαι χωρὶς τοῦ 10
θερμαίνειν καὶ ξηραίνειν ἱκαναὶ τὰς εἰρημένας κενώσεις ἐργάζε-
σθαι, καθάπερ ὅ τε τῆς πτισάνης χυλὸς καὶ τὸ μελίκρατον, ὀξύμελί

5 encore une particularité de ces fièvres. Dans cette espèce de fièvre, les premières urines ne montrent jamais aucun signe important ou notable de maturité.

8. GUÉRISON DES FIÈVRES QUI TIENNENT À LA PUTRÉFACTION.

1 Quand les forces sont intactes, on saignera immédiatement le malade dont la fièvre tient à la putréfaction, à moins qu'il n'y ait une indigestion des aliments contenus dans l'estomac; mais, quand les forces sont com-
2 promises, ou quand l'âge du malade s'y oppose, ne saignez pas. Après l'évacuation du sang, on expulsera les matériaux pourris par les urines, les selles et les sueurs, et, si parfois ces matériaux ont une tendance spontanée à se porter vers l'orifice de l'estomac, on les expulsera aussi par les vomissements; sans cela, il ne faut pas exciter des mouvements
3 contre nature. On choisira des substances qui suffisent à produire ces évacuations sans qu'elles échauffent ou dessèchent; telles sont la crème d'orge mondée, l'eau miellée; le vinaigre miellé, l'eau de rayons de

1. δέ om. ABP. — 2. ἐν om. BFP. — Ch. 8; l. 4-5. πυρέξαντα BP. — 5. τῆς ante δυν. om. A. 7. σώματος B text. P. — 9. ποιήσειε A. — 10. οὐδέ A. — 11-12. ἐργάσασθαι A.

τε καὶ ἀπόμελι, καὶ ἡ τοῦ σελίνου ῥίζα· μὴ διαχωρούσης δὲ τῆς κοιλίας κλύζειν μελικράτῳ διὰ ἐλαίου. Τὸ δὲ ὅλον σῶμα πρὶν μὲν 4 κενῶσαι μανοῦν οὐ χρή· κενώσαντα δὲ ἐγχωρεῖ μανοῦν φαρμάκῳ χλιαρὰν ἔχοντι τὴν θερμασίαν, ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου.
5 Ἐν τούτῳ τῷ καιρῷ καὶ οἶνος πινόμενος ὑδατώδης ἁπάσας κινεῖ 5 τὰς ἐκκρίσεις, καὶ λουτρὸν εὔκρατον ἐκ γλυκέος ὕδατος, ἀλλὰ ὅταν ἀνθισθῆται τὸ μέγεθος τοῦ πυρετοῦ, οὔτε οἴνῳ χρηστέον, οὔτε λουτρῷ, οὔτε ἀλείμμασιν ἀραιωτικοῖς, ἀλλὰ τὸ ψυχρὸν ὕδωρ ἐν τούτοις τοῖς πυρετοῖς πινόμενον ἐπιτηδειότατον, εἰ μή τι καὶ τοῦτο κωλύει.
10 Εἰ μὲν οὖν αἱ δυνάμεις ἰσχυραὶ πᾶσαι τύχοιεν οὖσαι, καὶ ὁ πυρετὸς 6 διακαέστατος, καὶ τὰ τῆς πέψεως ἐναργῆ σημεῖα, τὸ ψυχρὸν διδόναι θαῤῥοῦντα· εἰ δὲ καὶ εὔσαρκος εἴη, καὶ ἡ κατάστασις θερμὴ καὶ ξηρὰ, κἂν εἰς κολυμβήθραν ἑαυτὸν ἐμβάλλῃ ψυχρὰν, οὐ βλαβήσεται· μετρίου δὲ ὑπάρχοντος τοῦ πυρετοῦ καὶ τῶν δυνάμεων οὐκ ἰσχυρῶν

miel, et la racine de céleri; s'il n'y a pas de selles, on administrera un lavement d'*eau miellée* combinée à l'huile. Il ne faut pas raréfier l'en- 4 semble du corps avant d'avoir provoqué des évacuations; mais, après les évacuations, on peut raréfier à l'aide d'un médicament doué d'une chaleur tiède, comme celui à la camomille. A cette époque de la maladie, 5 du vin aqueux pris sous forme de boisson, ou un bain tiède d'eau douce, provoquent aussi toutes les excrétions; seulement, quand l'intensité de la fièvre s'y oppose, on n'emploiera ni vin, ni bain, ni liniments raréfiants; mais, dans ces fièvres, il est très-bon de boire de l'eau froide, à moins que quelque circonstance ne s'oppose aussi à ce traitement. Si 6 toutes les forces sont intactes, si la fièvre est très-brûlante, et si les signes de coction sont manifestes, on donnera l'eau froide sans scrupule; si, en outre, le malade est bien dans les chairs, si la constitution de l'atmosphère est chaude et sèche, il ne se fera pas même de tort en se jetant dans la piscine froide; mais, quand la fièvre est modérée, et quand les forces ne sont pas intactes, ces malades sont soulagés, à l'époque où les

3. κενωθῆναι BP. — Ib. φαρμάκῳ] ἐλαίῳ προσφέροντα τά A. — 4. ἔχοντα A. — 8. οὔτε ἀλείμματι ἀραιωτικῷ BP. — 10. μὲν γάρ A. — Ib. αἱ om. BFP. — 12. θαῤῥούντως BP. — 14. οὐκ om. ABP.

ἅμα τοῖς τῆς πέψεως σημείοις ὠφελεῖ τοὺς τοιούτους τὰ βαλανεῖα καὶ ἡ τοῦ οἴνου πόσις, ὅσα τε τῶν ἀλειμμάτων μανωτικά.

θ'. Τριταίων διάγνωσις.

1 Ὁ μὲν τριταῖος πυρετὸς ἔκγονος ὑπάρχων τῆς ξανθῆς χολῆς κινουμένης εὐθὺς κατὰ ἀρχὰς ῥῖγος οὐκ ἀγεννὲς ἐπιφέρει διαφέρον τοῦ τεταρταϊκοῦ ῥίγους τῷ κεντεῖσθαι δοκεῖν καὶ τιτρώσκεσθαι τὸν χρῶτα· ἐν δὲ τοῖς τεταρταίοις ἡ εἰσβολὴ κατάψυξιν ἔχει σφοδράν· τῶν δὲ ἀμφημερινῶν οὐδὲ προηγεῖται ῥῖγος, ἀλλὰ περιψύχονται
2 μόνον. Ἔστι δὲ ἐν τοῖς τριταίοις καὶ τάξις ἀκριβὴς τῶν σφυγμῶν.
3 Ἐπιφέρει δὲ καὶ δίψος κατὰ τὰς ἀκμὰς σφοδρὸν ὁ τριταῖος καὶ διακαίει τὸν ἄνθρωπον, καὶ μικρὸν ὕστερον παρακμάζει καὶ τὸ θερμὸν ὁμαλῶς ἐκτέταται πάντῃ· εἰ δὲ ἐπιβάλλοις τὴν χεῖρα, κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἁπαντᾷ θερμασία πολλὴ καὶ δριμεῖα, καὶ οἷον μετὰ ἀτμοῦ τινος ἀναφερομένη, νικᾶται δὲ ὀλίγον ὕστερον ὑπὸ τῆς

signes de la coction se montrent, par des bains, du vin pris en boisson et par les liniments raréfiants.

9. DIAGNOSTIC DES FIÈVRES TIERCES.

1 Comme la fièvre tierce est un produit de la bile jaune mise en mouvement, elle amène dès le début un frisson assez intense, qui diffère de celui de la fièvre quarte par cette circonstance qu'il semble piquer et blesser la peau; dans les fièvres quartes, l'invasion est caractérisée par un refroidissement très-marqué; les fièvres quotidiennes ne sont pas même précédées d'un frisson; les malades n'éprouvent rien qu'un refroi-
2 dissement superficiel. Il y a aussi un ordre rigoureux pour le pouls dans
3 les fièvres tierces. A la période d'état, la fièvre tierce amène une soif très-intense et brûle le malade; mais, peu de temps après, elle passe au déclin, et la chaleur s'étend également dans toutes les directions; si vous appliquez la main, elle perçoit, au moment même de l'application, une chaleur forte et âcre, qui remonte accompagnée d'une certaine vapeur; mais bientôt cette chaleur est vaincue par la main, si on la laisse

CH. 9; l. 3. ἔγγονος BP. — 6. σφο- — 10. παρακμάζει N (*declinat*); ἀκμάδροτέραν BFP. — 8. τεταρταίοις BP. ζει Codd. gr.

χειρὸς ἐπιμενούσης. Πιόντος δὲ τοῦ κάμνοντος αὐτίκα δὴ μάλα πλῆ- 4
θος ἄνεισιν ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματος ἀγγέλλον ἱδρῶτας· ἔμε-
τος δὲ ἐπιφαίνεται χολῆς, ἢ γαστὴρ που κατέρρηξε, καὶ οὐροῦσι
χολώδη. Ἐπὶ τούτοις εἰς ἀπυρεξίαν παύεται τὸν σύμπαντα χρόνον 5
5 τοῦ παροξυσμοῦ ὡρῶν οὐ πλειόνων δυοκαίδεκα ποιησάμενος. Τὸν 6
μὲν οὖν ἐντὸς τῶν δεκαδύο ὡρῶν παυόμενον ἀκριβῆ τριταῖον ὠνο-
μάσαμεν· ὅς τις δὲ ἂν ἔχῃ πολυχρονιώτερον τούτου τὸν παροξυσμὸν,
ἐκεῖνον ἁπλῶς τριταῖον ὀνομάσομεν· ὅς τις δὲ ἂν ἐπὶ πλεῖστον μὲν
ἐκτεταμένον τὸν παροξυσμὸν, ὀλίγον δὲ τὸ διάλειμμα, τοῦτον αὖ
10 πάλιν ὀνομάσομεν ἐκτεταμένον τριταῖον.

ι'. Θεραπεία τριταίου.

Τὸν ἀκριβῆ τριταῖον, ὡς ἂν ὑπὸ ξανθῆς χολῆς γινόμενον, ὑγραί- 1
νειν τε δεῖ καὶ ψύχειν, καὶ τὸ μὲν εἰς τὴν γαστέρα συῤῥέον κενοῦν

en place. Quand le malade boit, il remonte immédiatement à travers la 4
peau une vapeur chaude et abondante qui annonce la sueur; il survient
un vomissement bilieux, ou bien un flux de ventre, et les malades
émettent des urines bilieuses. Ces accidents passés, la fièvre cesse et se 5
transforme en apyrexie, après avoir produit un accès dont la durée com-
plète ne dépasse pas douze heures. Nous appelons fièvre tierce propre- 6
ment dite celle qui cesse en deçà de douze heures; et nous nommerons
simplement fièvre tierce toute fièvre qui a un accès plus long; enfin
nous donnerons le nom de fièvre tierce prolongée à celle dont l'accès se
prolonge considérablement, tandis que l'intervalle entre les deux accès
est court.

10. TRAITEMENT DE LA FIÈVRE TIERCE.

Comme la fièvre tierce proprement dite provient de la bile jaune, on 1
doit produire un effet humectant et refroidissant, évacuer par les vomis-

1. ἐπιμένοντος B marg.; om. BFP; γρ. ἐπὶ περικειμένην ἰόντος A marg. — Ib. δή BP. — 5-6. δυοκαίδ... ὡρῶν om. B text. FP. — 6-7. ὀνομάσομεν A. — 7. δέ om. BFP. — 8. τε BFP. — 9. οὖν BP. — 10. ὠνομάσαμεν BFP. — Ch. 10; l. 11. ὑπὸ τῆς ξ. BF. — 12. δεῖ om. BFP. — Ib. τήν om. ABP.

διὰ ἐμέτων τε καὶ κάτω, καὶ τοῖς οὔροις δὲ καὶ ἱδρῶσι ποδηγεῖν.
2 Τὴν μὲν οὖν γασΊέρα μαλακοῖς κλύσμασι κενοῦν· τὰ δὲ οὖρα προτρέπειν σελίνου τε καὶ ἀνήθου τοῖς πόμασιν ἐναποβρέχοντα, καὶ ἤν σοι σημεῖα πέψεως φαίνηται, θαῤῥῶν ἤδη καὶ τοῦ ἀψινθίου διδόναι· λουτρὰ δὲ διὰ ὕδατος θερμοῦ ποτίμου· καὶ μήτε νίτρου, μήτε 5
ἁλῶν, μήτε νάπυος ἐν τοῖς λουτροῖς προσπάτΊειν, ἀλλὰ ὅτι μάλισΊα
3 θερμὸν ἔλαιον περιχέας ἐμβιβάζειν. Τοὺς δὲ φιλολούτρους οὐδὲ εἰ δὶς λούοις, ἁμαρτάνοις ἄν· εἰ δὲ καὶ πέψεως σημεῖα τῆς νόσου φαίνοιτο, κἂν εἰ πλεονάκις λούοις, οὐκ ἂν ἁμάρτοις. Οἴνου δὲ πρὶν μὲν
4 πέτΊεσθαι τὸ νόσημα, παντάπασιν εἴργειν· ἀρξαμένου δὲ πέτΊε- 10
σθαι λεπΊὸν καὶ ὑδαρῆ καὶ ὀλίγον τήν γε πρώτην διδόναι· σιτία δὲ
5 ὅσα ὑγραίνει καὶ ψύχει χρήσιμα. Ἀπέχειν δὲ μέλιτος καὶ νάπυος καὶ ταρίχου καὶ τῶν δριμέων πάντων καὶ οἴνων τῶν φύσει θερμῶν.

sements et par le bas ce qui s'accumule dans le ventre, et dériver par
2 les urines et les sueurs. Vous provoquerez donc des selles à l'aide de lavements doux, et vous pousserez aux urines en faisant macérer dans les boissons du malade de l'ache ou de l'aneth; si vous voyez paraître des signes de coction, vous donnerez même sans scrupule de l'absinthe; vous administrerez des bains d'eau chaude potable; seulement, dans le bain, le corps des malades ne devra être saupoudré ni de soude brute, ni de sel, ni de moutarde, mais, avant d'entrer dans la baignoire, on fera
3 de toute nécessité des affusions d'huile chaude. Vous ne commettrez pas de faute non plus, ni si vous faites prendre deux bains [par jour] à ceux qui aiment à se baigner, ni même si vous employez des bains encore plus fréquents à l'époque où des signes de la maturité de la ma-
4 ladie ont aussi apparu. Il faut défendre complétement le vin avant la maturation de la maladie; quand la maturation commence, on donnera une petite quantité, du moins le premier jour, de vin ténu et aqueux; quant aux aliments, ceux qui humectent et refroidissent produisent un
5 effet utile. On s'abstiendra de miel, de moutarde, de poisson salé, de toutes les choses âcres, et des vins naturellement chauds.

1. καί post κάτω om. A. — Ib. τε καὶ τοῖς ἱδρῶσι ABP. — 2. μαλακοῖς om. F. — Ib. κινεῖν Codd. gr. — 3. ἀποβρέχοντα Codd. gr. — 4. θαῤῥούντως A. — 7. ἐπιχέας A. — 11. σιτία τε A.

ια'. Θεραπεία νόθων τριταίων.

Λούειν ἐπὶ τῶν νόθων τριταίων οὐκ ἀγαθὸν κατὰ ἀρχὰς, ἀλλὰ ἡνίκα 1
ἂν ἤδη φαίνηται τὰ σημεῖα τῆς πέψεως, οὔτε κατὰ ἡμέραν τρέφειν,
ἀλλὰ ἀρκεῖ παρὰ μίαν. Ἡσυχία δὲ καὶ θάλψις τῶν κατὰ ὑποχόνδριον 2
αὐτοῖς συμφέρει, καὶ ῥοφήματα εὐπεπτότατα, καὶ κλύσματα τῆς κάτω
γαστρὸς μὴ πάνυ μαλακὰ, καὶ, εἰ αἵματος ἀφαιρέσεως χρεία, μηδὲ
τοῦτο παραλιπεῖν. Ἡ δὲ ὅλη τῆς διαίτης κατάστασις οὐ ψύχουσα καὶ 3
ὑγραίνουσα τὸ σύμπαν ἔστω, ἀλλά τι καὶ τοῦ γε τμητικωτέρου τρό-
που προσεπιλαμβανέσθω. Μάλιστα δὲ ἂν ἁρμόσειεν αὐτοῖς ὁ τῆς 4
πτισάνης χυλὸς ἐμβαλλομένου πεπέρεως, ἢ ὑσσώπου, ἢ ὀριγάνου,
ἢ στάχυος νάρδου. Καὶ μελικράτῳ δὲ πεπέρεως ἐμβάλλων καὶ συν- 5
έψων δίδου πίνειν, καὶ τὰ ἄλλα δὲ ὅσα οὔρησιν κινεῖ πλὴν τῶν
σφοδρῶς θερμαινόντων τε καὶ ξηραινόντων. Μάλιστα δὲ τοῦ ἀψινθίου 6

11. TRAITEMENT DES FIÈVRES TIERCES FAUSSES.

Dans les fièvres tierces fausses, on ne donne pas de bains au com- 1
mencement de la maladie, mais lorsqu'il se montre déjà des signes de
coction; on n'alimente pas non plus tous les jours, mais seulement
tous les deux jours. Ce qui convient à ces malades, c'est le repos, la 2
fomentation de la région des hypocondres, des bouillies très-faciles à
digérer, et des lavements qui ne soient pas tout à fait doux; s'il est né-
cessaire de tirer du sang, vous ne négligerez pas non plus ce moyen.
L'ensemble du régime ne tendra ni au refroidissement ni à l'humecta- 3
tion; il devra aussi comprendre quelques éléments d'une nature incisive.
Ce qui vaut le mieux à ces malades, c'est de la crème d'orge mondée 4
dans laquelle on a mis du poivre, de l'*hysope*, de l'origan, ou de l'épi de
nard. On peut aussi donner à boire de l'eau miellée dans laquelle on 5
a mis du poivre pour les faire bouillir ensemble, ainsi que toutes les
substances qui poussent aux urines, à l'exception de celles qui échauffent
et dessèchent très-fortement. Mais on donnera surtout de l'absinthe le 6

Ch. 11; l. 1. τριτίων] πυρετῶν BP. — 2. ἤδη om. ABP. — 4. εὔπεπτα A. — 7. τὸ σύμπ. om. BP; τὸ σύμπ. σῶμα A. — Ib. ἔστω om. Codd. — Ib. γε om. BP. — 8. παραβαλλέσθω BP. — 9-10. ἢ ὑσσ. ..... πεπ. om. BP. — 10. καὶ στ. νάρδ. F; ἢ στ. ἢ ν. A. — Ib. δέ Paul.; om. A; δὲ καί F.

7 διδόναι μετὰ τὴν ἑβδόμην ἡμέραν. Καὶ μὲν δὴ καὶ ὀξύμελι πολλοὺς ὤνησε πινόμενον, καί τι τῶν ἐπιεικῶν ὑπηλάτων· ὁ δὲ ἐπὶ τοῖς σιτίοις ἔμετος τοῖς ἐν τούτῳ τῷ πυρετῷ χρονίζουσι χρησιμώτατος.

ιβ'. Τεταρταίων διάγνωσις.

1 Ὁ τεταρταῖος τὴν εἰσβολὴν ποιεῖται μετὰ πολλῆς καταψύξεως, ἅτε ἐκ ψυχροῦ χυμοῦ, τῆς μελαίνης χολῆς, τὴν γένεσιν ἔχων, ἀλλὰ καὶ τὸ θερμὸν καὶ διακαὲς οὐκ ἔχει τοῦ πυρετοῦ καθάπερ ὁ τρι- 3 ταῖος. Ἀλλὰ οὐδὲ χολῆς ἔμετος παρακολουθεῖ. Ἐπὶ τούτοις εἰ λευκὰ καὶ λεπτὰ καὶ ὑδατώδη τὰ οὖρα τυγχάνοι, τεταρταῖος ἂν εἴη ὁ πυ- 4 ρετός. Ἐξαίρετον δὲ ἂν εἴη τεταρταίου γνώρισμα μέγας καὶ ἀραιὸς σφυγμός.

ιγ'. Θεραπεία τεταρταίου.

1 Τοὺς τεταρταῖον νοσοῦντας πρᾴως ἄγειν χρὴ, μήτε φάρμακον

7 septième jour. Le vinaigre miellé pris en boisson, et de même quelque laxatif doux, ont soulagé plusieurs des malades dont il s'agit; le vomissement après le repas est une mesure très-utile quand cette fièvre traîne en longueur.

12. DIAGNOSTIC DE LA FIÈVRE QUARTE.

1 Comme la fièvre quarte tire son origine d'une humeur froide, la bile noire, elle fait son invasion avec un refroidissement intense, mais elle n'a pas les propriétés chaudes et brûlantes de la fièvre tierce. Il ne 2 se produit pas non plus de vomissement bilieux. En outre, les urines 3 blanches, ténues et aqueuses, indiquent une fièvre quarte. C'est encore un signe spécial de cette fièvre qu'un pouls grand et rare.

13. TRAITEMENT DE LA FIÈVRE QUARTE.

1 On prescrit aux malades un traitement doux; on ne donne pas de

Ch. 12; l. 5. ἐκ om. BFP. — 6. οὐκ om. BP. — Ch. 13; l. 11. χρή om. Codd. om. BFP. — 7. κατακολ. A — 8. ὁ gr.

μηδὲν ἰσχυρὸν προσάγοντας, μήτε κένωσιν, εἰ μή τι ἄρα σφόδρα φαίνοιτο πλεονάζον αἷμα, ἡνίκα χρὴ φλεβοτομεῖν· δίαιταν δὲ ἄφυσον καὶ χρησίμην προσάγειν, καὶ μαλάττειν τὴν γαστέρα διὰ τῶν συνήθων· εἰ δὲ μηδὲν ἀνύει ταῦτα, κλύσμασι χρῆσθαι, κατὰ ἀρχὰς μὲν μαλα-
5 κοῖς, ὕστερον δὲ καὶ δριμυτέροις· χοιρείων δὲ κρεῶν εἴργειν αὐτοὺς καὶ πάντων ὅσα γλίσχρα καὶ βραδύπορα καὶ τῶν ψυχόντων καὶ ὑγραινόντων ἐδεσμάτων ἁπάντων· οἴνῳ δὲ χρῆσθαι λεπτῷ καὶ λευκῷ καὶ συμμέτρως θερμῷ· ταρίχει δὲ καὶ νάπυϊ χρῆσθαι καὶ διὰ ἡμερῶν τινων τοῦ διὰ τριῶν πεπέρεων λαμβάνειν, ἢ τοῦ διοσπολιτικοῦ
10 φαρμάκου. Καὶ εἰ πεπέρεως δὲ μόνου σὺν ὕδατι λαμβάνοιεν κατὰ 2
ἑκάστην ἡμέραν, ὀρθῶς ἂν ποιοῖεν. Εἰ δὲ ἐν ἀκμῇ τοῦ νοσήματος ὁ
κάμνων εἴη, τότε χρὴ διαιτᾶν μὲν λεπτότερον, εὐθὺς δὲ καὶ ἡσυχά- 3
ζειν κελεύειν ἐς μακρὸν καὶ τῶν σπλάγχνων προνοεῖσθαι διὰ τῶν μαλαττόντων καὶ χαλώντων· ἐφεξῆς δὲ τοῖς οὐρητικοῖς φαρμάκοις

médicaments actifs, et on ne pratique pas d'évacuation forte, du moins quand on ne s'aperçoit pas d'une grande surabondance de sang; dans ce cas, on saigne; on soumet les malades à un bon régime composé de substances exemptes de flatulence, et on relâche le ventre à l'aide des remèdes usités; si ces moyens de traitement ne produisent aucun effet, on aura recours aux lavements, dans le commencement aux lavements doux, et plus tard à des lavements plus âcres; on défend l'usage du porc et de tous les mets qui sont visqueux, qui passent difficilement, qui refroidissent ou qui humectent; on se sert d'un vin ténu, aqueux et modérément chaud; on a aussi recours au poisson salé, assaisonné de moutarde, et on ordonne, à quelques jours d'intervalle, une certaine dose du *médicament aux trois espèces de poivre*, ou du *médicament diospolitique*. Les malades font bien aussi de prendre chaque jour du poivre 2
seul avec de l'eau. Quand la maladie est arrivée au point culminant, on 3
prescrit un régime plus ténu; d'abord on ordonne de prendre un repos prolongé, de ramollir et de relâcher les viscères [à l'aide de cataplasmes]; ensuite on a recours aux médicaments diurétiques; quand les

1. σφόδρα om. BFP. — 2. πλεονάζειν BP. — 11. ἀρχῇ BP. — 12. λεπτότατα A. — 13. προνοεῖν BFP. — 14. διουρ. A.

χρῆσθαι, καὶ εἰ τὰ τῆς πέψεως φαίνοιτο σημεῖα, καθαίρειν τηνικαῦτα τοῖς τοὺς μελαγχολικοὺς χυμοὺς κενοῦσιν, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πλεονάκις· μετὰ δὲ σφοδρὰν κάθαρσιν καὶ τοῦ διὰ ἐχιδνῶν φαρμάκου διδόναι καὶ τῶν ἄλλων ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετοὺς, ἐν οἷς ἐστι καὶ τὸ σύνηθες ἡμῖν ἁπάντων δοκιμώτατον ὁποῦ κυρηναϊκοῦ λαμβάνειν.

ιδ'. Ἀμφημερινοῦ διάγνωσις.

1 Ὁ δὲ ἀμφημερινὸς οὐδαμῶς μετὰ ῥίγους εἰσβάλλει κατὰ τὴν πρώτην ἡμέραν εὐθὺς, ἀλλὰ καὶ προήκοντος τοῦ χρόνου περίψυξις μᾶλλον ἢ ῥῖγος γίνεται· δυσεκθέρμαντος δέ ἐστι καὶ πολυχρόνιον ἔχει τὴν ἀνάβασιν· οὐ μὴν οὐδὲ διακαίει τοὺς κάμνοντας, οὐδὲ πολὺ
2 καὶ πυκνὸν ἀναπνεῖν ἀναγκάζει, οὐδὲ ἐκφυσᾶν καὶ πίνειν ψυχρόν.
3 Γίνονται δὲ καὶ φλεγματώδεις ἔμετοι. Καὶ ὅσα διὰ γαστὸς ἐκκε-

signes de la coction se montrent, on donne des purgatifs qui évacuent les humeurs atrabilaires, et cela non pas une seule fois, mais à plusieurs reprises; après une forte purgation, on administre aussi une certaine dose du *médicament aux vipères*, ou de quelqu'un des autres médicaments qu'on recommande contre les fièvres de cette espèce, médicaments parmi lesquels il faut prendre le plus célèbre de tous, spécialement celui dont nous nous servons habituellement et qui contient du suc de Cyrène.

14. DIAGNOSTIC DE LA FIÈVRE QUOTIDIENNE.

1 Au début, dès le premier jour, dans la fièvre quotidienne, il n'y a pas de frisson, et même, par la suite, c'est plutôt un refroidissement superficiel qu'un frisson qui a lieu; cependant les malades affectés de cette fièvre se réchauffent difficilement, et son augment a une longue durée; la fièvre quotidienne ne donne pas non plus des sensations brûlantes aux malades, elle ne les force pas non plus à faire des respira-
2 tions grandes et fréquentes, ni à souffler ou à boire de l'eau froide.
3 Il y a aussi des vomissements pituiteux. Les matières évacuées par les

2. ἅπαξ ἢ δίς A. — Ch. 14; l. 7. Ὁ δέ om. BFP. — 11. ἢ πίνειν AF.

νοῦται ψυχρότερα καὶ ὠμότερα καὶ ὑδατωδέστερα ἐν τούτοις τοῖς πυρετοῖς εὑρήσεις. Καὶ ἱδροῦσιν ἥκιστα περὶ τὰς πρώτας ἡμέρας. 4
Οὐδὲ εἰς ἀπυρεξίαν ἔρχονται, καὶ ὠχρόλευκος δὲ τούτοις ἡ χρόα· 5
τὰ δὲ οὖρα λεπτὰ καὶ λευκὰ, ἢ παχέα καὶ θολερὰ ἢ ἐρυθρά.

ιε'. Θεραπεία ἀμφημερινῶν.

5 Θεραπεύοντες δὲ ἀμφημερινὸν ὀξυμέλιτί τε χρώμεθα τὰς πρώ- 1
τας ἡμέρας καὶ τοῖς οὖρα προτρέπειν καλῶς δυναμένοις. Καὶ τὸ 2
σύμπαν σοι τῆς διαίτης εἶδος τμητικὸν ἔστω. Περὶ δὲ τὴν ἀκμὴν 3
χρὴ προνοεῖσθαι τῆς γαστρὸς, μάλιστα δὲ τοῦ στόματος αὐτῆς, κἄπειτα καὶ ἐμεῖν ἀπὸ ῥαφανίδων καὶ σιτίων κελεύειν, καὶ τοῖς
10 φλέγμα κενοῦσιν ὑπηλάτοις χρῆσθαι.

ις'. Περὶ συνεχῶν πυρετῶν.

Οἱ συνεχεῖς ὁμογενεῖς εἰσι πυρετοὶ ἑκάστῳ τῶν διαλειπόντων, 1

selles sont plus froides, plus crues et plus aqueuses dans cette espèce de fièvre que dans les autres. Les malades suent aussi très-peu les pre- 4
miers jours. Il n'y a pas non plus d'apyrexie [complète]; le teint est d'une 5
pâleur blanchâtre, et les urines sont ténues et blanches, ou épaisses et troubles, ou rouges.

15. TRAITEMENT DES FIÈVRES QUOTIDIENNES.

Quand nous avons à traiter une fièvre quotidienne, nous nous ser- 1
vons, les premiers jours, du vinaigre miellé et des substances douées de propriétés diurétiques convenables. En résumé, le régime devra ap- 2
partenir au genre incisif. A la période d'état, on traite l'estomac, et 3
surtout son orifice; ensuite on provoque des vomissements à l'aide du raifort et des aliments, et on a recours aux laxatifs qui évacuent la pituite.

16. DES FIÈVRES CONTINUES.

A chaque espèce de fièvre intermittente, correspond une fièvre con- 1

4. καὶ ἐρ. BP. — Ch. 15; l. 5. δέ] τε BFP. — 7. Κατά A. — 10. κεχρῆσθαι A. — Ch. 16; l. 11. Οἱ om. BFP. — Ib. ὁμ. πυρ. καλοῦνται ἑκ. BFP.

τριταίῳ μὲν ἀκριβεῖ ὁ ἀκριβὴς καῦσος, ἀμφημερινῷ δὲ ὁ κατὰ ἑκάστην ἡμέραν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος· οὕτω δὲ καὶ τεταρταίῳ ὁ διὰ τετάρτης· ὅ τε γὰρ ἀκριβὴς καῦσος τἄλλα πάντα φυλάττων ἀκριβοῦς τριταίου γνωρίσματα μόνῳ τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν, μήτε εἰς ἀπυρεξίαν παύεσθαι διενήνοχεν, ὅ τε κατὰ ἑκάστην ἡμέραν παροξυνόμενος ὁμοίως πάντα ἔχει τὰ γνωρίσματα τοῖς ἀκριβέσιν ἀμφημερινοῖς, τῷ μὴ παύεσθαι δὲ εἰς ἀπυρε-
2 ξίαν διαφέρει τοῦ ὁμογενοῦς ἀμφημερινοῦ. Κατὰ ταὐτὰ δὲ καὶ ὁ διὰ τετάρτης μὲν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος ὁμο-
3 γενής ἐστι τῷ τεταρταίῳ. Συνεχὴς μὲν οὖν ἐστι πυρετὸς ὁ εἰς ἀπυρεξίαν πρὶν τελέως λυθῆναι μὴ παυόμενος· ὅταν δὲ μηδὲ παρακμή τις φαίνηται, τοῦ γένους μέν ἐστι καὶ οὗτος τῶν καυσωδῶν, ὀξύτητι δὲ αὐτῶν διενήνοχεν.

tinue appartenant au même genre; ainsi la fièvre ardente proprement dite est l'équivalent de la fièvre tierce proprement dite; à la fièvre quotidienne correspond celle qui a chaque jour une exacerbation, mais qui ne présente pas une intermission; de même la fièvre qui a une exacerbation tous les quatre (*trois*) jours est l'équivalent de la fièvre quarte; en effet, la fièvre ardente proprement dite diffère seulement de la fièvre tierce proprement dite en ce que son invasion n'est pas accompagnée de frisson et qu'elle n'a pas d'intermission; du reste, l'une garde tous les signes distinctifs de l'autre; la fièvre qui présente une exacerbation chaque jour diffère également de la fièvre quotidienne appartenant au même genre, en ce qu'elle n'a pas d'intermission; sans cela elle a tous
2 les signes distinctifs des fièvres quotidiennes proprement dites. De même encore, la fièvre qui a une exacerbation tous les quatre (*trois*) jours, mais qui n'a pas d'intermission, appartient au même genre que
3 la fièvre quarte. La fièvre continue est donc une fièvre sans intermission, avant qu'elle soit complétement dissipée; lorsqu'on n'observe pas même de déclin, cette fièvre appartient au genre des fièvres ardentes, et n'en diffère que sous le rapport de l'acuité.

3. τεταρταῖος Codd. — 8. ὁμογ. ἀμφημ. ὁμογενής ἐστιν αὐτοῖς· κατὰ ταῦτα BFP. — 10. πυρετὸς ὁ ἐντὸς ∠δ' ὡρῶν εἰς ἀπυρ. Λ.

ιζ'. Θεραπεία συνεχῶν πυρετῶν.

Τῶν συνεχῶν πυρετῶν ἴασίς ἐστι φλεβοτομία ἄχρι λιποθυμίας· 1
μὴ φλεβοτομηθέντες δὲ οἱ τοιούτῳ πυρετῷ πυρέττοντες εἰς ἔσχατον
ἥκουσι κίνδυνον. Εἰ δὲ διά τι κωλυθείημεν κενῶσαι διὰ φλεβοτόμου,
τοῖς ἄλλοις δεῖ χρῆσθαι βοηθήμασι τοῖς ἐκφράττουσι καὶ τὸ πλῆθος 2
5 κενοῦσι καὶ πραΰνουσι τὸ ζέον τῶν πυρετῶν. Ὅταν δέ ποτε ἐπὶ 3
αὐτῶν ἴδῃς τὰ τῆς πέψεως τῶν χυμῶν σημεῖα, καὶ μήτε ἐν κυρίῳ
μορίῳ φλεγμονώδης ὄγκος ἢ οἰδηματώδης ἢ σκιῤῥώδης εἴη, μήτε τι
μόριον ψυχρὸν ὡς εἰς αὐτὸ κατασκῆψαι τὴν βλάβην, θαῤῥῶν δίδου
τὸ ψυχρὸν, καὶ μάλιστα εἰ ψυχροπότης ὁ κάμνων εἴη.

ιη'. Καύσων διάγνωσις.

10 Τοῖς καύσοις παρακολουθεῖ συμπτώματα γλῶσσα μὲν ξηρὰ καὶ 1

17. TRAITEMENT DES FIÈVRES CONTINUES.

La saignée poussée jusqu'à la défaillance est le moyen de guérir les 1
fièvres continues; si les malades attaqués de ces fièvres ne sont pas
saignés, ils courent le plus grand danger. S'il y a quelque obstacle qui 2
nous empêche de recourir à la lancette, on use des autres moyens de
traitement qui désobstruent et évacuent les humeurs surabondantes et
qui adoucissent les propriétés bouillonnantes des fièvres. Si parfois 3
vous observez les signes de la coction des humeurs, si aucune partie
principale n'est le siége d'une tumeur inflammatoire, œdémateuse ou
squirreuse, et s'il n'existe pas de partie tellement froide, que l'influence
nuisible doive tomber sur elle, donnez sans crainte de l'eau froide, sur-
tout quand le malade a l'habitude de cette boisson.

18. DIAGNOSTIC DES FIÈVRES ARDENTES.

Les fièvres ardentes présentent les symptômes suivants : une langue 1

Ch. 17; l. 1. Τῶν δὲ συνόχων A. — 3. φλεβοτομίας BP. — 6. ἐν om. BFP. — 8. διδόναι BFP. — Ch. 18; l. 10. σημεῖα P text. B.

τραχεῖα καὶ μέλαινα, δῆξις δὲ τῆς γαστρὸς καὶ ὑποχωρήματα ὠχρὰ, καὶ δίψα σφοδρὰ καὶ ἀγρυπνία· ποτὲ δὲ καὶ παραφροσύνη.

ιθ'. Καύσων θεραπεία.

1 Τῶν δύο τούτων ἀναγκαῖόν ἐστιν ἐπὶ τῶν καύσων τὸ ἕτερον γενέσθαι, εἰ μέλλοι λυθήσεσθαι τελέως, ἢ ἐκκριθῆναι τοὺς χολώδεις
2 χυμοὺς ἢ σβεσθῆναι. Ἐκκρίνονται μὲν οὖν ἢ διὰ ἱδρώτων, ἢ διὰ ἐμέτων, ἢ διὰ τῆς κάτω γαστρός· σβέννυνται δὲ διὰ [τῆς] ψυχροῦ πό-
3 σεως, ᾗ διαπαντὸς ἐθεραπεύσαμεν ἡμεῖς τοὺς καυσουμένους. Διαιτᾶν δὲ τοὺς καυσουμένους οὔτε ἐπὶ ὕδατος μόνου προσῆκεν, οὔτε ἐπὶ μελικράτου μόνου, ἀλλὰ ὑδαρὲς μελίκρατον ἕφθὸν διδόναι· δεῖ γὰρ
4 τοὺς οὕτω νοσοῦντας ἐπὶ μόνων τῶν πομάτων διαιτᾶσθαι. Λουτρὸν δὲ τοῖς καυσωδῶς νοσοῦσιν ἐκείνοις ἁρμόσει μόνοις ὅσοι χωρὶς ὄγκου φλεγμονώδους ἢ ἐρυσιπελατώδους· ἐὰν δὲ καὶ πέψεως ἔχωσι γνω-

sèche, rugueuse et noire, des picotements à l'estomac, des selles peu colorées, une soif intense, l'absence de sommeil, et quelquefois aussi du délire.

19. TRAITEMENT DES FIÈVRES ARDENTES.

1 Il y a deux éventualités, par l'une desquelles les malades affectés de fièvre ardente devront nécessairement passer pour que leur maladie puïsse se dissiper complétement : les humeurs bilieuses devront être
2 évacuées ou éteintes. Or on évacue ces humeurs, ou par les sueurs, ou par les vomissements, ou par le bas-ventre, et on les éteint en donnant de l'eau froide à boire; nous avons toujours traité de cette dernière ma-
3 nière les gens pris de fièvre ardente. On ne prescrira à ces malades ni le régime de l'eau seule, ni celui de l'eau miellée seule, mais on leur donnera de l'eau miellée étendue et qu'on fera bouillir; car ils doivent être
4 mis au régime des boissons seules. Parmi les malades affectés de fièvre ardente, ceux qui n'ont pas de tumeur inflammatoire ou érésipélateuse sont les seuls auxquels on puisse donner un bain; ce traitement convient encore beaucoup mieux, si l'on observe aussi les signes distinctifs

Ch. 19; l. 6. σβέννυνται BFP. — Ib. [τῆς] om. Codd. — 7. καύσους BP.

ρίσματα, πολὺ μᾶλλον αὐτοῖς ἁρμόσει, τοῖς δὲ διὰ ἁλυκὸν χυμὸν καυσωδῶς νοσοῦσιν οὐχ ἁρμόσει. Τούτους δὲ καὶ χυλῷ πλισάνης τρέφειν προσήκει. 5

κ'. Ἐπὶ ἐρυσιπελατώδει διαθέσει πυρετοῦ θεραπεία.

Ἐν πυρετοῖς ἐπὶ ἐρυσιπελατώδει διαθέσει συνισταμένοις ἀπέχεσθαι μὲν χρὴ βαλανείου τὸ πάμπαν· ὕδατι δὲ ψυχρῷ κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοσήματος χρηστέον ἀγωνιστικῶς, τουτέστι ψυχροτάτῳ· ἐν ἀρχῇ δὲ οὐ χρηστέον, ἀλλὰ ἔξωθεν ἐπιτιθέναι χρὴ τὰ ψύχοντα, καὶ εἰ μηδὲν ἀνύει, καὶ εἴσω τοῦ σώματος ἀναγκάζειν λαμβάνειν. Μάλιστα δὲ αὐτῶν ἁρμόττουσιν αἱ ὑγραὶ θριδακίναι. Ἔξωθεν δὲ καὶ αὐτὸς μὲν ὁ τῆς θριδακίνης χυλὸς ἐπιτήδειος, ἀλλὰ καὶ ἀειζώου, ὅσα τε ἄλλα ψύχοντα. Κάλλιστον δὲ ᾧ μάλιστα χρώμεθα· τὸ γὰρ ὑγρὸν ἐκθλίψαντες τῶν ψυχόντων τινὸς ἐμβάλλομεν ὅλμῳ μετὰ

de la coction; au contraire, il ne conviendra pas à ceux dont la fièvre tient à une humeur salée. Ces derniers doivent aussi être nourris avec la crème d'orge mondée.

20. TRAITEMENT DE LA FIÈVRE QUI TIENT À UNE AFFECTION ÉRÉSIPÉLATEUSE.

Dans les fièvres produites par une affection érésipélateuse, proscrivez complétement les bains; au point culminant de la maladie, on a recours au traitement héroïque par l'eau froide, c'est-à-dire au traitement par l'eau extrêmement froide; dans le commencement, au contraire, on n'use pas de ce traitement, mais on applique les substances réfrigérantes à l'extérieur, et, en cas d'insuccès, on force les malades à en prendre aussi à l'intérieur. La laitue humide est le réfrigérant qui convient le mieux dans ces cas. Le suc de laitue peut aussi convenablement être employé à l'extérieur, mais, pour cet usage, celui de joubarbe et tous les autres réfrigérants sont également applicables. Le médicament suivant, et dont nous nous servons principalement, est le meilleur de ce genre : on exprime le suc de quelque substance réfrigérante et on le met

CH. 20; l. 5. τὸ πάμπαν Paul.; πάμπαν A; τὸ σύμπαν BFP. — 6. ἀγωνιστικῷ Codd. — 7. στύφοντα P text. B. — 9. αὐτοῖς A.

ἀνδράχνης, εἶτα κόψαντες ἐκπιέζομεν, ἐνσήσαντες δὲ τὸ ἀγγεῖον ὕδατι ψυχρῷ μίγνυμεν ἐπὶ τῆς χρήσεως ὀλίγον ἀλφίτου λεπτοῦ, καὶ ἀναδεύσαντες ὀθόνιον δίπτυχον ἐπιτείνομεν ἔξωθεν αὐτὸ κατὰ τῶν ὑποχονδρίων, οὐκ ἐῶντες χρονίζειν, ἀλλὰ ἕτερον ψυχρὸν ἐπιτιθέντες.
5 Μίγνυμεν δὲ ἐνίοτε καὶ ἔλαιον ὀμφάκινον ἢ ῥόδινον. 5

κα'. Περὶ τῶν ἑκτικῶν πυρετῶν.

1 Ὁ ἑκτικὸς πυρετὸς οὐκ ἐν τοῖς ὑγροῖς καὶ τῷ πνεύματι συνίσταται
2 μόνῳ, ἀλλὰ ἤδη κἀν τοῖς στερεοῖς. Ἀνώδυνος δέ ἐστι καὶ νομίζουσιν οἱ πυρέττοντες μηδὲ πυρέττειν ὅλως· οὐδὲ γὰρ αἰσθάνονται τῆς θερμασίας, ἁπάντων αὐτοῖς ὁμοίως ἐκτεθερμασμένων τῶν μορίων.
3 Διττὸν δέ ἐστιν εἶδος τῶν ἑκτικῶν πυρετῶν· οἱ μὲν γὰρ ἐπὶ τοῖς 10 καυσώδεσι πυρετοῖς ὡς τὰ πολλὰ γίνονται, ἤτοι μηκυνθεῖσιν εἰς τοσοῦτον ὡς ἐκδαπανῆσαι τῷ χρόνῳ τὴν ἰκμάδα τοῦ τῆς καρδίας

dans un mortier avec du pourpier; ensuite on pile, on exprime, on place le vase dans l'eau froide, et, quand on veut s'en servir, on ajoute au médicament un peu d'alphiton fin, on y trempe un linge plié en deux et on l'étend à l'extérieur sur les hypocondres; seulement on ne l'y laisse pas longtemps, mais on le remplace par un second qu'on applique
5 à froid. Quelquefois nous mettons aussi de l'huile d'olives vertes ou de l'huile aux roses dans ce médicament.

21. DES FIÈVRES HECTIQUES.

1 La fièvre hectique n'a pas son origine dans les liquides et les gaz
2 seuls, mais aussi dans les parties solides. Cette fièvre est exempte de douleur, et ceux qui en sont affectés croient qu'ils n'ont pas de fièvre du tout; car ils n'en sentent même pas la chaleur, attendu que toutes
3 leurs parties sont également échauffées. Il y a deux espèces de fièvre hectique; la première est, le plus souvent, la conséquence de fièvres voisines de la fièvre ardente, quand ces fièvres se sont tellement prolongées que, par l'effet du temps, le liquide qui imprègne la substance du cœur a fini par être consumé, ou que la fièvre hectique survient,

1. ἐκπιεζοῦμεν BFP. — 5. καί om. BFP. — Ch. 21; l. 6. Ὁ om. A. — 7. τέ A; om. BP. — 8. μή BFP. — 9. ἐκθερμανθέντων A. — 10. τοῖς om. AF.

σώματος, ἢ καὶ μενούσης ἔτι συχνῆς. Οἱ δὲ ἔτι μενούσης τῆς ὑγρό- 4
τητος γινόμενοι τὸ σῶμα τῆς καρδίας καταλαμβάνοντες ἐντεῦθεν
ἀνάπλονται. Ἡ μὲν δὴ μία γένεσις αὐτῶν εἴρηται· ἡ κατάλοιπος δέ 5
ἐσλιν ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσι τὴν πρώτην γένεσιν ὁμοίαν
5 ποιησάμενοι τοῖς ἐφημέροις ἐπὶ λύπῃ καὶ θυμῷ καὶ κόπῳ πλείονι
μετὰ ἐγκαύσεως ἅμα γενομένῳ. Τούτους μὲν οὐ χαλεπόν ἐσλιν ἰάσα- 6
σθαι· τοὺς δὲ ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικομένους οὐδὲ δυνατόν
ἐσλιν ἰᾶσθαι. Ὁ μὲν δὴ συνεμπίπλων τῷ μαρασμῷ πυρετὸς ἑκτικὸς 7
ἑτοιμότατός ἐσλι γνωσθῆναι· ὀφθαλμούς τε γὰρ κοίλους ἀμέτρως
10 θεάσῃ, καὶ λήμας κατὰ αὐτοὺς ἐμφαινομένας ξηρὰς καί τινα αὐχ-
μώδη διάθεσιν. Ἀπόλωλε δὲ καὶ τῆς χρόας αὐτὸ τὸ ζωτικὸν ἄνθος, 8
καὶ τὸ μέτωπον ξηρὸν καὶ περιτεταμένον. Καὶ μέντοι καὶ μύουσιν ὡς 9
τὰ πολλὰ καθάπερ ὑπνώτλοντες· ἔσλι δὲ οὐχ ὕπνος τὸ πάθος, ἀλλὰ
ἐγρηγόρσεως ἀδυναμία. Καὶ κρόταφοι συμπεπλωκότες εἰσίν· καὶ τί 10

quand il reste encore une grande quantité de ce liquide. Les fièvres 4
hectiques qui surviennent malgré la persistance de ce liquide attaquent
la substance du cœur et y trouvent la source de leur chaleur. Voilà une 5
des sources de la fièvre hectique; dans le second cas, l'invasion est
immédiate, et la fièvre prend sa première origine de la même manière
que les fièvres éphémères, à la suite d'une affliction, d'une colère, d'une
fatigue trop forte accompagnée d'un échauffement. Il n'est pas difficile 6
de guérir les fièvres de cette espèce, mais cela est impossible quand elles
sont déjà arrivées au marasme. La fièvre hectique qui accompagne l'inva- 7
sion du marasme est très-facile à reconnaître : en effet, les yeux sont dé-
mesurément creux, ils sont enduits de chassie sèche, et eux-mêmes pré-
sentent un certain état de sécheresse. En outre, l'éclat vital du teint a 8
disparu, le front est sec et sa peau tendue dans tous les sens. De plus, 9
les malades ferment habituellement les yeux, comme s'ils avaient envie
de dormir; mais ce qu'ils ont, ce n'est pas du sommeil, mais l'impossi-
bilité de veiller. Les tempes sont affaissées; en effet le corps n'est plus 10

3. ἢ om. Codd. — 6. ἐσλιν om. A. — 7. ἀφικνουμένους Codd. — Ib. οὐ δυνατόν BFP; ἀδύνατον A. — 8. ἰάσασθαι BFP. — Ib. δή]οῦν B. — 10. ἐμφερομένας Codd. — 11. καί om. F. — Ib. αὐτῶν Codd. — 11 et 12. καί om. A.

11 γὰρ ἄλλο ἢ ὀστᾶ καὶ δέρμα μόνον εἰσίν; Καὶ εἰ γυμνώσας ἐπισκέπτοιο τὰ κατὰ τὴν γαστέρα, δόξει σοι μήτε τῶν ἐντέρων, μήτε τῶν σπλάγχνων μηδὲν ἀποσώζεσθαι, καὶ τὸ ὑποχόνδριον δὲ ἀνεσπά-
12 σθαι σφοδρῶς. Καὶ τὸ δέρμα δὲ αὐτοῖς ἐσχάτως καρφαλέον ἐστίν.
13 Ὁ σφυγμὸς ἰσχυὸς καὶ σκληρὸς καὶ πυκνός, ἥ τε θερμασία κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν ἀμαυρά, μετὰ ὀλίγον δὲ τό τε δριμὺ
14 καὶ διαβρωτικὸν ἐνδείκνυται. Μέχρι μὲν οὖν τοῦ σώζεσθαί τι τῆς ὑγρασίας, ἑκτικὸς μόνον ὁ πυρετός ἐστιν· ὅταν δὲ εἰς κίνδυνον ἥκῃ τοῦ μηκέτι εἶναι τῆς τοιαύτης ὑγρότητος μηδέν, ἀκριβὴς ἤδη μαρασμὸς συνίσταται.

κβ'. Ἑκτικῶν πυρετῶν θεραπεία.

1 Οἱ ἑκτικὸν πυρετὸν νοσοῦντες εὐθὺς ἐξ ἀρχῆς τρέφεσθαι δέονται διὰ τὸ δακνῶδες τῶν χυμῶν· μέγιστον δὲ αὐτοῖς ἴαμα ἡ ὑγραίνουσα
2 δίαιτα. Χρὴ οὖν ὅτι μάλιστα διά τε πτισάνης χυλοῦ καὶ τῶν διὰ

11 que de la peau et des os. Si vous découvrez le malade pour examiner la région du ventre, il vous semblera qu'il ne lui reste plus ni intestins ni
12 viscères, et que les hypocondres sont fortement rétractés. La peau est
13 arrivée au dernier degré d'aridité. Le pouls est grêle, dur et fréquent; la chaleur semble faible au premier attouchement, mais peu après elle
14 montre ses propriétés âcres et corrosives. Aussi longtemps qu'il reste encore une partie de l'humidité, il s'agit seulement d'une fièvre hectique; mais, quand il est à craindre qu'il n'existe plus rien de cette humidité, le marasme proprement dit s'est déjà développé.

22. TRAITEMENT DES FIÈVRES HECTIQUES.

1 Les malades affectés de fièvre hectique doivent être nourris dès le début à cause des propriétés mordicantes de leurs humeurs; le régime
2 humectant est le principal moyen de les guérir. Il faut donc les nourrir avant tout avec de la crème d'orge mondée ou des bouillies préparées

2. μήτε τ. ἐντ. om. A. — Ib. μηδὲν] τινά A. — 6. ἀμυδρά BP. — 6-7. τὸ δρ. καὶ τὸ δ. A. — 7. τι] τὰ δέ A. — CH. 22; l. 11. ἑκτικῷ πυρετῷ BFP. — Ib. προτρέφ. A — 12. αὐτοῖς om. BFP. — 13. τῶν διά om. Codd.

χόνδρου ῥοφημάτων θρέψαντα καὶ ἄρτου τι προσεπιδιδόντα θεραπεῦσαι πόσει ψυχροῦ τὸν κάμνοντα μεμετρημένως, οὐκ ἀγωνιστικῶς, ὅταν μήτε φλεγμονή τις αὐτῷ συνῇ, μήτε σῆψις χυμῶν. Καὶ εἰ μεγάλην ἔσεσθαι στοχάζοιο τὴν βλάβην, ἐπέχειν μὲν δεῖ τὴν δόσιν τοῦ ψυχροῦ, τοῖς δὲ ἔξωθεν ἐπιτιθεμένοις ψυκτηρίοις ἰάμασι χρῆσθαι. Καὶ βαλανεῖα δὲ τοῖς οὕτω κάμνουσιν ἐπιτήδεια κατὰ πάντα καιρόν. 3 4

κγ'. Περὶ ἡμιτριταίων.

Τοῦ μὲν τριταίου μετὰ ῥίγους εἰσβάλλοντος, τοῦ δὲ ἀμφημερινοῦ χωρὶς ῥίγους, ὁ μικτὸς ἐξ ἀμφοῖν φρίκην ἐπιφέρει, ῥίγους μὲν ἔλαττόν τι πρᾶγμα, μεῖζον δὲ περιψύξεως, ὅπερ κεραννυμένων γίνεται τῶν ἄκρων. Οὐκοῦν οὐδὲ ἄπο τρόπου τοὔνομα τῷ τοιούτῳ πυρετῷ τὸν ἡμιτριταῖον ἔθεντο. Διττὸς δὲ ὁ τρόπος τῆς γενέσεως αὐτῷ, 1 2 3

avec l'alica, en donnant aussi un peu de pain après; ensuite on soumet le malade, non au traitement héroïque par l'eau froide, mais à un usage modéré de cette boisson, à moins que la fièvre ne soit compliquée d'une inflammation ou de putridité des humeurs. Si vous supposez qu'il doit, de ce traitement, résulter un grand mal, supprimez l'usage intérieur de l'eau froide et ayez recours aux remèdes réfrigérants appliqués à l'extérieur. Les bains sont profitables aussi, à quelque époque de la maladie que ce soit. 3 4

23. DES HÉMITRITÉES.

Comme l'invasion de la fièvre tierce est accompagnée d'un frisson, tandis que celle de la fièvre quarte a lieu sans ce symptôme, la fièvre composée de ces deux-là amène une horripilation qui constitue quelque chose de plus faible qu'un frisson, et de plus fort qu'un refroidissement superficiel, et qui est le produit du mélange des deux extrêmes. Ce n'est donc pas sans raison non plus qu'on a donné à une telle fièvre le nom d'*hémitritée* (demi-tierce). La fièvre hémitritée peut se former de 1 2 3

1. τι om. A. — Ib. προσεπιδόντα A. — 1-2. θεραπεύειν A. — 3. εἰ om. BFP. — 4. τήν om. BFP. — Ib. ἐπισχεῖν A. — Ib. δεῖ Paul.; δή Codd. — Ib. πόσιν ABP. — 6. οὕτως ἔχουσιν A. — Ch. 23; l. 9. μείζονα BFP. — Ib. καὶ ὥσπερ A. — 11. ἐπέθεντο F; ἐπέθετο BP. — Ib. αὐτῶν Codd.

ἤτοι συνελθόντων εἰς ἕνα καιρὸν τῶν δύο παροξυσμῶν, ἢ εὐθέως ἐξ
4 ἀρχῆς ἀνακεκραμένων ἀλλήλοις ἀμφοτέρων. Ὅταν μὲν οὖν ὁ τριταῖος
ἐπικρατῇ, φρικωδέστερος ὁ πυρετὸς γίνεται, καί τι καὶ ῥίγους
5 προσλαμβάνει κατὰ τὴν ἐπισημασίαν. Εὐθὺς δὲ ὁ τοιοῦτος θερμό-
τερός ἐστι καὶ καυσωδέστερος καί τινα χολῆς ἔμετον, ἢ διαχώρησιν, 5
ἢ ἰκμάδα φέρει· θατέρου δὲ τοῦ φλεγματώδους πλεονεκτοῦντος
ἐπικρατοῦσι μὲν αἱ ψύξεις τῶν ἄκρων, ὀλίγαι δέ εἰσιν αἱ φρῖκαι·
6 οὐ μὴν οὐδὲ διψώδεις εἰσὶν, οὐδὲ καυσώδεις. Ἐπειδὰν δὲ ἴσοι κατὰ
τὸ μέγεθος ὑπάρχωσιν ὅ τε τριταῖος διαλείπων καὶ ὁ ἀμφημερινὸς
7 συνεχὴς, ἡ μὲν εἰσβολὴ τοῦ παροξυσμοῦ μετὰ φρίκης γίνεται. Καὶ 10
ἡνίκα μὲν ἂν ὁ ἐκ τοῦ φλεγματώδους ἐπικρατήσῃ χυμοῦ, συστολαὶ
γίνονται καὶ φρῖκαι· εἰ δὲ ὁ θερμότερος ἐπικρατήσειεν, ἀθρόως
8 ἐκθερμαίνονται. Τοιοῦτος μέν τίς ἐστιν ὁ ἀκριβὴς ἡμιτριταῖος ἐξ
ἰσοσθενοῦς κράσεως δυοῖν πυρετοῖν γινόμενος, τριταίου διαλείποντος

deux manières : ou les deux accès peuvent se rencontrer à la même
4 heure, ou les deux fièvres peuvent se mêler dès le début. Quand la
fièvre tierce a le dessus, l'hémitritée est caractérisée par un plus grand
nombre d'horripilations que dans le cas contraire, et il y a même un
5 peu de frisson à l'invasion. Cette fièvre est nécessairement aussi plus
chaude et se rapproche davantage de la fièvre ardente; elle amène
quelque vomissement, quelques selles, ou quelque transpiration de na-
ture bilieuse; quand l'autre fièvre, c'est-à-dire la fièvre pituiteuse, a le
dessus, le refroidissement des extrémités prédomine, et il y a peu d'hor-
ripilations; les malades n'ont pas de soif non plus et ne ressemblent pas
6 à ceux qui ont une fièvre ardente. Quand la fièvre tierce intermittente
et la fièvre quotidienne continue ont une intensité égale, l'invasion de
7 l'accès est accompagnée d'horripilation. Quand la fièvre qui est le pro-
duit d'une humeur pituiteuse a le dessus, il y a des contractions et des
horripilations; si, au contraire, la fièvre la plus chaude prédomine, les
8 malades deviennent subitement chauds. Telle, à peu près, est la vraie
fièvre hémitritée, qui est le résultat du mélange à quantités égales de
deux fièvres, la fièvre tierce intermittente et la fièvre quotidienne con-

9. τό om. A. — Ib. παραλείπων BFP. — 11. ἐκ τοῦ om. P. — Ib. φλεγματικοῦ F. — Ib. χυμοῦ om. Codd. — 12. συστολαὶ..... ἐπικρατ. om. BP.

καὶ ἀμφημερινοῦ συνεχοῦς· ὁ δὲ οὐκ ἀκριβὴς ἤτοι τὸν χολώδη χυμὸν πλείονα κέκτηται, ἢ τὸν φλεγματώδη.

κδ'. Περὶ τῶν πανδήμων νοσημάτων.

Πανδήμους καὶ κοίνας νόσους τὰς πολλοῖς ἅμα συμπιπτούσας 1
ὀνομάζουσιν, ὧν ὥσπερ ἡ γένεσις, οὕτω καὶ ἡ αἰτία κοινή. Κοινά τε 2
5 οὖν ἐδέσματα πονηρὰ τίκτουσι νοσήματα κοινά, καὶ ὕδατος μοχθηροῦ πόσις, ταλαιπωρίαι τε ἄμετροι, καὶ πόνοι συνήθεις ἐλλειφθέντες, ἔνδειαί τε καὶ πλησμοναί, λιμοῦ κατασχόντος ἢ εὐθηνίας γενομένης. Καὶ χωρίων δὲ φύσις κοινὰ νοσήματα πολλάκις ἐπήνεγκεν, 3
ἐνίοτε μὲν ἑλωδῶν, ἐνίοτε δὲ ἐχόντων βάραθρον παρακείμενον ἀνα-
10 θυμίασιν δηλητηριώδη καὶ πονηρὰν ἀναπέμπον. Ταῦτα μὲν οὖν οὐ 4
συνεχῶς εἴωθε συμπίπτειν· ὁ δὲ περιέχων ἡμᾶς ἀὴρ συνεχῶς ἡμῶν

tinue; la fausse fièvre hémitritée est caractérisée par un excès soit de l'humeur bilieuse, soit de la pituiteuse.

24. DES MALADIES PANDÉMIQUES.

On nomme *maladies pandémiques* ou *communes* celles qui frappent un 1
grand nombre d'hommes à la fois; la cause de ces maladies est la même
pour tous, aussi bien que leur développement. Donc les maladies com- 2
munes sont causées par l'usage commun à tout le monde d'aliments
mauvais ou d'une eau mauvaise, par un excès de fatigue ou par l'omis-
sion de travaux habituels, quand ces influences présentent les mêmes
conditions, par une gloutonnerie ou par une misère générales, qui ont
lieu quand règnent soit la famine, soit une grande abondance. La na- 3
ture du sol donne lieu souvent aussi à des maladies communes; quel-
quefois parce qu'il est marécageux, d'autres fois quand il existe dans le
voisinage quelque caverne qui émet des exhalaisons pernicieuses ou nui-
sibles. Le plus souvent ces influences ne se font pas sentir sans inter- 4
ruption, mais l'air qui nous environne modifie continuellement nos

CH. 24; l. 3. νόσους τοῖς πολλοῖς F; νόσους τῶν πολλῶν BP. — 6-7. ἐκλειφ. A. — 9. ἑλώδους BFP. — Ib. ἔχοντος F; ἔχοντα BP. — Ib. περικείμενον BFP. — 10. ἀναπέμπον Paul.; ἀναπέμποντος F; ἀναπέμποντα ABP. — Ib. οὖν om. B. — Ib. οὐ *ad Eun.*; om. Codd.

τρέπει τὰς κράσεις, ἤτοι θερμότερος ἀμέτρως, ἢ ψυχρότερος, ἢ
ξηρότερος, ἢ ὑγρότερος γινόμενος· τοῖς μὲν γὰρ ἄλλοις αἰτίοις οὔτε
πάντες ἅμα περιπίπτομεν, οὔτε διὰ ὅλης ἡμέρας ὁμιλοῦμεν, ὁ δὲ
περιέχων ἡμᾶς ἀὴρ ἔξωθέν τε περικέχυται πᾶσι, καὶ ἕλκεται διὰ
5 τῆς εἰσπνοῆς. Ἀναγκαῖον οὖν συνδιατίθεσθαι ταῖς κατὰ τὴν κρᾶσιν 5
6 ἐξαλλαγαῖς αὐτοῦ τὰ τῶν ζῴων σώματα. Ταῦτα οὖν ὁ γινώσκων οὐ
προγνώσεται μόνον τὰς γενησομένας νόσους ἐν ἑκάστῃ τῶν κατα-
στάσεων, ἀλλὰ καὶ κωλύσει γενέσθαι, ταῖς τοῦ περιέχοντος ἀμέτροις
7 κράσεσι τὴν ἐναντίαν ἐπιτεχνώμενος δίαιταν. Ὅσα μὲν οὖν ἐγγὺς
ἤδη τοῦ νοσεῖν ἐστι σώματα νόσον τινὰ διὰ τὴν οἰκείαν δυσκρασίαν, 10
ταῦτα ὑπὸ τῆς ὁμοίας τοῦ περιέχοντος ἡμᾶς κράσεως ἐξελέγχεται·
τὰ δὲ ἐναντίως κεκραμένα τῷ περιέχοντι πρὸς τῷ μηδὲν ἀδικεῖσθαι
γίνεται βελτίω, τὴν ἀμετρίαν τῆς κράσεως τῆς ἐναντίας ἀμετρίας
κολαζούσης, καὶ ὁ γινώσκων τοῦτο τὴν ὑγείαν φυλάξει τοῖς σώμασι

tempéraments, quand sa chaleur ou le froid de sa température, sa sécheresse ou son humidité, augmentent outre mesure : en effet, nous ne nous exposons pas tous à la fois aux autres influences, et nous ne sommes pas en contact avec elles pendant toute la durée du jour, mais l'air qui nous environne est répandu autour de nous tous, et nous l'attirons par
5 l'inspiration. Notre corps participe donc nécessairement aux changements
6 du tempérament de l'air. Celui qui sait cela non-seulement pourra annoncer d'avance les maladies qui surviendront à propos de chaque condition particulière de l'atmosphère, mais il empêchera aussi ces maladies de survenir, en imaginant un régime qui soit le contraire du tempéra-
7 ment exagéré de l'air. Le corps qui est déjà sur le point d'être pris de quelque maladie, par les vices de son propre tempérament, révèle la mauvaise condition où il se trouve sous l'influence d'un tempérament analogue de l'air qui nous environne; ceux, au contraire, dont le tempérament est le contre-pied de celui de l'atmosphère, non-seulement n'en éprouvent aucun tort, mais en éprouvent de l'amélioration, vu que l'excès de leur tempérament est corrigé par l'excès contraire de celui de l'air; le médecin qui sait cela conservera la santé des hommes en les expo-

2. γενόμενος. A. — 4. πᾶσιν ἕλκε- 10. ἤδη A marg. *ad Eun.*; om. A text.
ταί τε διά A. — 5. τε οὖν BFP. — BFP.

τἀναντία προσάγων, ποτὲ μὲν ἀναψύξεσι χρώμενος, εἰ οὕτω τύχοι, ποτὲ δὲ θερμάσμασιν, ὕδατος μὲν ἐπαγωγαῖς ἀναψύχων καὶ ἀργίαις καὶ τροφῶν ἐνδείαις, καὶ πόσεως πλεονασμοῖς, πῃ δὲ σκέπῃ θερμαίνων, πῃ δὲ πόνοις καὶ σιτίῳ πλείονι, καὶ ποτῷ ἐλάσσονι. Καὶ 8
5 πυρὰν δέ τις ἀνακαίων πολλὴν δύναιτο ἂν μεταβάλλειν ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν τὸν ἀέρα τέως ὑγρὸν ὄντα καὶ ψυχρὸν, καθάπερ ποιῆσαί φασιν Ἄκρωνα τὸν ἀκραγαντῖνον.

κε'. Περὶ λοιμοῦ. Ἐκ τῶν Ῥούφου.

Πάντα ἂν γένοιτο ἐν λοιμῷ τὰ δεινότατα, καὶ οὐδὲν ἀποκεκρι- 1
μένον, ὥσπερ κατὰ ἕκασΊον νόσημα· καὶ γὰρ παραφροσύναι γέ-
10 νοιντο ἂν, καὶ χολῆς ἔμετοι, καὶ ὑποχονδρίων ἐντάσεις καὶ πόνοι

sant à des influences contraires; parfois il aura recours à des agents refroidissants, si le hasard le veut ainsi; d'autres fois à des agents qui produisent de la chaleur; il refroidira soit en amenant des cours d'eau, soit par l'abstinence du travail, par la réduction de la quantité des aliments ou par l'augmentation de celle des boissons; il agira en sens contraire, tantôt en mettant les gens à l'abri, tantôt en les faisant travailler, en augmentant la quantité des aliments et en diminuant celle des boissons. On pourrait aussi augmenter la chaleur et la sécheresse 8
de l'air, dans le cas où il aurait été humide et froid jusque-là, en allumant un grand bûcher : on prétend qu'Acron d'Agrigente a agi ainsi.

25. DE LA PESTE. — TIRÉ DE RUFUS.

Tous les accidents les plus terribles peuvent avoir lieu dans la peste, 1
et il n'y a rien de spécial comme dans chaque autre maladie : en effet, il peut survenir du délire, des vomissements bilieux, de la tension ou des douleurs aux hypocondres, des sueurs abondantes, du refroidisse-

1. ἀναψύξει A. — 3. πῃ δὲ ex em.; τῇ δέ BFP; τῇ τε A marg.; om. A text. — 4. πῇ δέ A; καί BFP. — Ib. καὶ ποτῷ *ad Eun.*; καί ποτε καί BFP; ποτὲ δὲ καί A. — 5. ἀνακαίων *ad Eun.* Paul.; ἀναγκαίων F 2ª m.; ἀναγκαῖον F 1ª m. ABP. — Ib. πολλὴν ex em.; πολλά Codd. — Ib. μεταβάλλειν *ad Eun.* Aët.; μεταβαλεῖν AFP; μεταβαλών B. — 6. τέως] τε καί BP. — Ib. καὶ ψυχρόν Aët.; om. Codd. — Ch. 25; l. 10. ἔμετος ABP.

καὶ ἱδρῶτες πολλοὶ, καὶ ψύξεις ἄκρων, καὶ διάῤῥοιαι χολώδεις, λεπταὶ, φυσώδεις, καὶ οὖρα ὑδατώδη, λεπτὰ, χολώδη, μέλανα, ὑποστάσεις κακὰς ἔχοντα, καὶ ἐναιωρήματα οἷα δὴ κάκιστα, ἀπὸ ῥινῶν στάξεις, καύματα ἐν θώρακι, γλῶσσαι καταπεφρυγμέναι,* διψώδεις, ἀσηροὶ, ἄγρυπνοι*, σπασμοὶ βίαιοι καὶ ἄλλα πολλὰ πονηρά. 5
2 * Καὶ ἑλκούμενα γένοιντο δὲ ἂν ἐν λοιμῷ *. [καὶ τῶν δεινῶν τι οὐ δει-
3 νὸν, καὶ τῶν οὐ δεινῶν δεινόν — *Glossema* (?).] Εὖ δέ τις συνίδοι [ἂν] μέλλοντα ἥξειν λοιμὸν προσέχων ταῖς τε ὥραις πονηραῖς οὔσαις καὶ τοῖς ἐπιτηδεύμασιν εἰς ὑγείαν οὐ συμφέρουσι, ζῴοις τε ἄλλοις
4 προαπολλυμένοις. Ὅταν ταῦτα ἐνθυμηθῇς, προσέτι κἀκεῖνο ἐνθυμοῦ, 10 ποταπὴ μὲν ἡ παροῦσα ὥρα, ποταπὸν δὲ τὸ σύμπαν ἔτος· ἐντεῦθεν γὰρ τὰς διαίτας εὑρήσεις ποιῆσαι κάλλιστα, οἷον δὴ τῆς μὲν ὥρας, εἴπερ ἦν ὀρθῶς γινομένη, ξηρᾶς ὑπαρχούσης, ἀλλὰ νῦν ὑγρᾶς γεγε-

ment des extrémités, des flux de ventre bilieux, ténus, et accompagnés de vents, des urines aqueuses, ténues, bilieuses, noires, ayant des sédiments mauvais et les flocons les plus mauvais qui puissent exister, des hémorragies nasales, des ardeurs à la poitrine, du desséchement de la langue, qui semble torréfiée, de la soif, du dégoût, de l'insomnie, des convulsions violentes, et un grand nombre d'autres funestes
2 accidents. Il peut aussi se former des plaies dans la peste ; [il peut se faire également qu'un symptôme qui paraît formidable ne l'est pas, ou
3 qu'un autre qui ne l'est pas semble l'être]. On pourra prévoir une peste qui s'approche en faisant attention aux mauvaises conditions que présentent les saisons, aux manières de vivre peu profitables pour la
4 santé, et à la mort des animaux qui précède son invasion. Quand vous avez fait attention à ces choses-là, vous vous attacherez, en outre, à examiner quelle est la nature de la saison actuelle, et quelle est celle de l'année tout entière; car, c'est en partant de ces données que vous trouverez moyen d'établir très-bien le régime : par exemple, si la saison devait être sèche, pour que tout se passât dans l'ordre; et si maintenant

1. ἀκρέων BFP. — 2. δυσώδεις A. — 4-7. διψώδεις..... συνίδοι ἄν] voy. les notes. — 7. Εἰ Codd. — Ib. συνήδει PBF. — Ib. [ἂν] ex em.; om. Codd. — 12. ποιεῖσθαι BFP. — 13. γινομένης BFP. — Ib. ἀλλὰ μὴν BFP; νῦν A. — 13-p. 302, l. 1. τε γεγενημένης F; τε γενομένης BP.

νημένης, ἀνάγκη ταῖς διαίταις ἐπιξηραίνειν, ἵνα τὸ ὑπερβάλλον ὑγρὸν ἀναλίσκηται. Ἐπιμελητέον δὲ καὶ γαστρός· οἷς δὲ ἂν ἡ ἄνω 5 κοιλία φλέγμα ἔχῃ, ἐμέτοις κενοῦν· οἷς δὲ ἂν τὸ αἷμα ὑπερβάλλῃ, φλέβα τέμνειν. Ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν οὔρων κάθαρσις, καὶ ὅσαι 6 ἄλλαι, καὶ ἡ κατὰ πᾶν τὸ σῶμα. Εἰ δὲ καυσούμενος ὁ κάμνων εἴη, 7 καὶ ἡ φλὸξ ἄχρι στήθους ἀνίοι, οὐκ ἂν εἴη ἄπο τρόπου ψυκτήριά τε τοῖς στήθεσι προσάγειν καὶ τὸ πόμα ψυχρὸν προσφέρειν, μὴ κατὰ μικρὰ προσφέροντα· ἀνακαίει γὰρ πλέον· ἀλλὰ ἀθρόον ὥστε σβέσαι τὴν φλόγα. Εἰ δὲ ὁ καῦσος ἔχοι τὰ ἔνδον, [τὰ] ἄκρα δὲ ψυχθείη, καὶ 8 τὸ δέρμα ἐπιπολῆς ψυχρὸν, καὶ τὸ ὑποχόνδριον συντείνοιτο, καὶ ἡ γαστὴρ τὰς συντήξεις, τὰς μὲν ἄνω πέμποι, τὰς δὲ αὖ κάτω, ἀγρυπνία τε ἐνείη καὶ παραφροσύνη, καὶ γλώσσης τραχύτητες, τούτοις θερμασμάτων δεῖ, ὥστε ἑλκυσθῆναι τὸ θερμὸν πάντῃ τοῦ

elle est humide, il est nécessaire que le régime ait une action desséchante, afin d'épuiser l'excès d'humidité. On doit aussi prendre soin du 5 ventre, et, chez les malades dont le ventre supérieur contient de la pituite, on évacuera cette humeur par des vomissements; chez ceux où il y a surabondance de sang, on saignera. La purgation par les urines est 6 également bonne, ainsi que toutes les autres, et aussi celle qui se fait par tout le corps. Si le malade a une fièvre ardente, et si la flamme remonte 7 jusqu'à la poitrine, il ne sera pas hors de propos d'y appliquer des topiques réfrigérants et de donner de l'eau froide; seulement, on ne la donnera pas par petites quantités, car, de cette manière, elle augmente l'ardeur, mais en abondance et d'un seul coup, de manière à éteindre la flamme. Si la fièvre ardente frappe les parties intérieures, si les extré- 8 mités sont froides, ainsi que la surface de la peau, si les hypocondres sont tendus, si le ventre chasse des matières colliquatives, en partie par le haut et en partie par le bas, s'il y a de l'insomnie, du délire, si la langue est rugueuse, les malades ont besoin de topiques réchauffants pour attirer la chaleur vers toutes les parties du corps, et de tout autre

1. ταῖς] ταύτας BFP. — Ib. διαίτας BP. — 6. ἀνίοι ex em.; ἀνίη F; ἀνήει BP; om. A. — Ib. τε om. ABP. — 7. τῷ στήθει A. — Ib. τό om. A. — Ib. προσφέρειν om. A. — 8. προσφέροντα ex em.; προσφέρων BFP; προσφέρειν A. — Ib. πλέον om. A. — 9. [τά] om. Codd. — 10. τό] τι BFP. — Ib. ἐπιπολύ A. — Ib. τό om. BFP. — 12. ἐνείη Paul.; ἂν εἴη Codd. — Ib. τραχύτης A.

σώματος, καὶ εἰ δή τινι ἄλλῳ τρόπῳ οἷόν τε ἀνάγειν τὸ θερμὸν κάτωθεν πρὸς τὰ ἔξω.

κς'. Περὶ τῶν ἐπὶ πλήθει χυμῶν ὠμῶν συγκοπτομένων.
Ἐκ τῶν Γαληνοῦ.

1 Ἄρχονταί τινες πυρέτειν πάμπολύ τι πλῆθος ὠμῶν χυμῶν
2 ἠθροικότες ἅμα τῷ κεκακῶσθαι τὸ στόμα τῆς γαστρός. Ἐμπεφύσηταί τε τούτοις τὸ ὑποχόνδριον, ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν 5
τὸ στόμα τῆς γαστρός ἐστι, καὶ ἡ χροιὰ τοῖς μὲν ἐπὶ τὸ λευκότερόν τε καὶ οἰδαλεώτερον ἐκτρέπεται, ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον.
3 Οὐδενὶ τῶν τοιούτων αἵματος ἀφαίρεσις ἄνευ μεγίστης εἴωθε γίνεσθαι βλάβης, καίτοι δέονταί γε κενώσεως, ἀλλὰ οὔτε φλεβοτομίαν, οὔτε κάθαρσιν φέρουσιν, οἵ γε καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. 10
4 Θεραπεύειν οὖν αὐτοὺς χρὴ διὰ τρίψεως, ἄρχεσθαι δὲ εὐθέως ἐν

traitement, s'il en existe, qui pourra ramener la chaleur du fond du corps vers les parties extérieures.

26. DE CEUX QUI ONT DES DÉFAILLANCES CAUSÉES PAR L'ABONDANCE DES HUMEURS CRUES. — TIRÉ DE GALIEN.

1 Quelques gens commencent à être pris de fièvre quand ils sont remplis d'une très-grande quantité d'humeurs crues, en même temps que
2 l'orifice de l'estomac est dans de mauvaises conditions. Alors l'hypocondre est gonflé, l'orifice de l'estomac est plus volumineux que dans l'état naturel, et la couleur prend chez les uns une teinte blanchâtre et plus ou moins semblable à celle des hydropiques, chez d'autres, une
3 teinte noirâtre. Ordinairement on ne saurait faire une évacuation sanguine chez aucun de ces malades sans leur causer le plus grand tort; et cependant ils ont besoin d'une évacuation, mais ils ne supportent ni une saignée ni une purgation, attendu qu'ils tombent subitement en
4 défaillance, même sans subir ce traitement. On doit donc les traiter par les frictions, traitement qu'on inaugure dès le début de la maladie; on

1. οἷόν τε om. A. — Ch. 26; l. 6. σῶμα A. — 7. τε om. A. — Ib. τοῖς δέ A. — 8. Οὐδενός BP; Οὐδ' ἑνός F. — 9. γε om. Codd. — 10. οἱ δέ BFP.

ἀρχῇ τῆς νόσου προσήκει, τὸ μὲν πρῶτον ἀπὸ τῶν σκελῶν ἄνωθεν κάτω διὰ σινδόνων μετρίως τραχυτέρων, ἐφεξῆς δὲ καὶ ὅλας τὰς χεῖρας ἄνωθεν κάτω κατὰ τὸν αὐτὸν τρόπον τρίβειν. Ἐπειδὰν δὲ 5 ἱκανῶς τὰ κῶλα φαίνηται θερμὰ, καὶ φόβος ᾖ κοπώδους συναισθήσεως, ἐλαίῳ χαλαστικῷ χρηστέον· ἀπέχεσθαι δὲ τῶν στυφόντων· χειμῶνος δὲ ὄντος καὶ διαφορητικῷ χρηστέον, οἷόν ἐστι τὸ σικυώνιον ἔλαιον καὶ τὸ χαμαιμήλινον. Τρίψαντας δὲ ἐπὶ πλεῖστον τὰ κῶλα 6 μετὰ ταῦτα χρὴ τὸ μὲν ἔλαιον ἀπομάττειν, ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην καὶ ταύτην ἀνατρίβειν ὁμοίως, εἶτα αὖθις ἐπὶ τὰ σκέλη μετιέναι, καὶ ἐκ τούτων αὖθις ἐπὶ τὰς χεῖρας, εἶτα ἐπὶ τὴν ῥάχιν, ὅλης τῆς ἡμέρας τοῦτο πράττοντας. Ἐπιτηδειότατον τούτοις ἐστὶ τὸ 7 μελίκρατον, ἐνεψηθέντος ὑσσώπου, καὶ χρὴ μήτε σιτίον αὐτοῖς, μήτε ῥόφημα, μήτε ὕδωρ διδόναι, μήτε ἐπιτρέπειν ὅλως πιεῖν δαψιλὲς, ἀλλὰ ἀρκεῖσθαι τῷ μελικράτῳ μόνῳ κατὰ τὰς τρεῖς τὰς πρώ-

frotte d'abord les jambes de haut en bas avec des linges de coton un peu plus rugueux que de coutume, et ensuite de la même manière les bras tout entiers, également de haut en bas. Quand les membres pa- 5 raissent suffisamment chauds, et qu'il est à craindre que, par sympathie, il ne se soit développé une sensation de fatigue, on a recours à quelque huile relâchante, mais on s'abstient des huiles astringentes, et, en hiver, on se sert aussi d'une huile qui ait la vertu de dissiper, comme l'huile de Sicyone ou l'huile à la camomille. Quand on a frotté les mem- 6 bres pendant très-longtemps, on essuie l'huile, et on passe à l'épine du dos, qu'on frotte de la même manière dans toute son étendue, puis on revient de nouveau aux jambes, puis aux bras, ensuite à l'épine du dos, et on continue ce traitement pendant toute la journée. L'eau miellée 7 convient très-bien à ces malades, pourvu qu'on y fasse bouillir de l'*hysope;* on ne leur donne ni aliments, ni bouillies, ni eau; on ne leur permet pas du tout de boire beaucoup, mais, les trois premiers jours, on se con-

2. καί om. A. — 3. κατὰ..... τρίβειν om. Codd. — 5-6. ἀπέχεσθαι... . χρηστέον om. BFP. — 9. ταῦτα BFP. — 11. Τούτοις ἐπιτήδειον A. — Ib. τό om. Codd. — 12. ἐνεψηθέντα BFP; συνεψηθέντος A. — Ib. ὑσσώπῳ BFP. — 13. πιεῖν om. BFP. — 14. τάς post τρεῖς om. Codd.

8 τας ἡμέρας, ἐκ διαδοχῆς τρίβοντας. Εἰ δὲ τόνου μετρίως ἔχοι ὁ σφυγμὸς, καὶ μὴ καλῶς τὰ κατὰ γαστέρα διεξίοι, κλύζε θαῤῥῶν· εἰ δὲ πλείων τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττῶν ἐπὶ τὴν γαστέρα γίνοιτο, τὴν μὲν πρώτην ἐπὶ πλέον ἕψειν τὸ μελίκρατον· ἧττον γὰρ ὑπάγει· φερομένης δὲ ἐπὶ πλέον, μηδὲ οὕτω μὲν ἱστάναι, διδόναι 5 δὲ ἀντὶ τοῦ μελικράτου πτισάνης χυλόν· εἰ δὲ ἔτι μένοι φερόμενα,
9 τῷ ἐκ χόνδρου ῥοφήματι τρέφειν. Ἐὰν δὲ διὰ ἀῤῥωστίαν ἐκ τοῦ σφυγμοῦ καταμάθωμεν καταπεπτωκυῖαν τὴν δύναμιν, ἄρτον ἐξ οἴνου διδόναι κεκραμένου προσήκει, μήτε γαστρὸς, μήτε ἥπατος φλεγμαινόντων, ὡς εἴ γε φλεγμαίνοιεν, ὠμῶν χυμῶν πεπληρωμένου τοῦ 10
10 σώματος ἀνέλπιστός ἐστιν ὁ κάμνων. Ἐὰν δὲ αἴσθῃ ποτὲ παχεῖς εἶναι ἱκανῶς τοὺς χυμοὺς, ὀξύμελι δίδου διὰ παντὸς ἀντὶ τοῦ μελι-
11 κράτου. Εἰ μὲν δὴ θέρος εἴη, καὶ ψυχροπότης ὁ κάμνων, ψυχρὸν

8 tente de l'eau miellée seule, en les frottant par intervalles. Si le pouls est modérément tendu et si les excrétions alvines ne passent pas bien, on donne sans crainte un lavement; si les résidus tendent à se porter en plus grande quantité qu'il ne le faut vers le canal intestinal, on soumet, le premier jour, l'eau miellée à une cuisson plus forte; car, ainsi préparée, elle est moins laxative; le flux de ventre est-il trop fort, n'essayez même pas de l'arrêter, mais donnez de la crème d'orge mondée au lieu d'eau miellée; si [après cela] les matières continuent encore à couler, on nourrit les malades à l'aide d'une bouillie faite avec l'alica.
9 Quand la faiblesse du pouls révèle l'anéantissement des forces, on donne du pain dans du vin coupé d'eau, pourvu que ni l'estomac ni le foie ne soient enflammés, car, s'il existe une inflammation de ces organes, pendant que le corps est rempli d'humeurs crues, le malade est dans
10 un état désespéré. Lorsque vous vous apercevez que parfois les humeurs sont assez épaisses, donnez toujours du vinaigre miellé au lieu d'eau miel-
11 lée. En été, et si le malade a l'habitude de boire de l'eau froide, donnez

1-2. ὁ σφυγμός Gal. Aët.; om. Codd. — 2. μή om. A. — Ib. διεξύει F 1ª m.; διεξήει F 2ª m. BP. — Ib. κλύζειν θαροῦντα A. — 3. τῶν περιττωμάτων A. — 6. τοῦ om. A. — Ib. ἔτι μένοι Versio antiqua (*adhuc manet*); ἐπιμένοι Codd. gr. — 11. ἔσται ABP. — Ib. αἴσθῃ Paul.; αἴσθαι A; ἔστι BFP. — 11-12. ταχεῖς εἶναι τοὺς σφυγμούς ὀξύμελι BFP.

τούτῳ διδόναι καὶ τὸ ὀξύμελι, χειμῶνος δὲ ὄντος θερμόν. Ἐναντιώ- 12
τατα τούτοις ἐστὶ βαλανεῖα. Εἰ δὲ συγκοπτομένων ἤδη κληθείης, 13
ἀφλεγμάντων ὧν εἶπον μορίων ὄντων, διδόναι μὲν ἄρτου μὴ πολὺ
διὰ οἴνου, εὐθέως δὲ ἐπὶ τὴν τρίψιν ἰέναι καὶ χρῆσθαι κατὰ τὸν εἰ-
5 ρημένον τρόπον. Ἐπὶ ὧν δὲ διὰ ξανθὴν χολὴν ἀδικήσασαν τὸ στόμα 14
τῆς γαστρὸς ἡ συγκοπὴ γίνεται, ψυχρὸν χρὴ προσφέρειν τὸ ποτόν,
παραλαμβάνοντα τὸν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ κιρρόν.

κζ'. Περὶ τῶν ἐπὶ λεπτοῖς χυμοῖς συγκοπτομένων.

Τοὺς δὲ ἐπὶ λεπτοῖς χυμοῖς συγκοπτομένους θεραπευτέον ἐναν- 1
τίως τοῖς προειρημένοις, τρέφοντας κατὰ βραχὺ συνεχῶς. Καὶ 2
10 τούτους δὲ ἀνιάτως ἔχειν νομιστέον, ὅταν ἧπαρ αὐτῶν ἢ κοιλία
φλεγμαίνῃ, καμνούσης ἤδη τῆς δυνάμεως. Ἐπὶ τῶν τοιούτων διαθέ- 3

aussi le vinaigre miellé à froid; si c'est en hiver, vous le donnerez à
chaud. Les bains sont tout à fait contraires dans cette affection. Si vous 12-13
êtes appelé quand les malades sont déjà tombés en défaillance, et si les
parties dont nous avons parlé plus haut sont exemptes d'inflammation,
prescrivez une petite quantité de pain dans du vin et passez tout de suite
à la friction, que vous pratiquerez comme il a été dit plus haut. Chez 14
les malades dont la défaillance tient à ce que la bile jaune fait du tort
à l'orifice de l'estomac, administrez des boissons froides qui consiste-
ront dans du vin paillet, vieux et ténu.

27. DES MALADES DONT LA DÉFAILLANCE TIENT À LA TÉNUITÉ DES HUMEURS.

Les malades dont la défaillance tient à la ténuité des humeurs doivent 1
être soumis à un traitement qui est le contre-pied de celui des précé-
dents : on leur donnera donc souvent à manger par petites quantités.
Tenez aussi ces malades pour incurables quand ils ont le foie ou l'es- 2
tomac enflammés et que leurs forces sont déjà compromises. Dans de 3

1. τούτοις BFP. — Ib. καί om. BFP. — 2. τούτῳ ἐστὶ τὰ βαλανεῖα A. — Ib. ἤδη] ἔτι A. — 3. εἴπομεν A. — Ib. ὄντων om. BFP. — Ib. ἄρτον ABP. — Ib. πολύν A. — 6. δεῖ A. — 7. περιλαμβάνειν..... προσφέροντας A. — CH. 27; l. 10. νομιστέον om. BFP. — 11. τούτων τῶν A.

4 σεων ἡ νεκρώδης ἐν τῷ προσώπῳ κατάσ|ασις ἐν τάχει γίνεται. Τὸ μὲν δὴ τρέφειν ἀναγκαῖον· ἀναγκαῖον δὲ καὶ τὸ πυκνοῦν τὴν ἐπιφάνειαν,
5 ὥσπερ τῶν προτέρων ἀραιοῦν. Καὶ ψυχρὸν τὸν ἀέρα ποιητέον, καὶ ἀλειπ|έον αὐτοὺς τοῖς σ|ύφουσι, καὶ τροφὰς δοτέον οὐ πάνυ διαῤ-
6 ῥεούσας. Δοτέον οὖν ἄρτον τε καὶ τὰ διὰ χόνδρου ῥοφήματα, καὶ 5
ὀπώρας αὐσ|ηρὰς καὶ δυσφθάρτους, αὐτάς τε κατὰ ἑαυτὰς καὶ μετὰ
7 ἄρτου. Δοτέον δὲ τούτοις καὶ ᾠά, καὶ μάλισ|α τὰς λεκίθους αὐτῶν·
8 δοτέον δὲ καὶ ἐγκεφάλους ὑείους. Ἀναγκαῖος δὲ τούτοις ὁ ὑδατώδης οἶνος εὐθὺς ἐξ ἀρχῆς ἐπὶ τοῖς σιτίοις λαμβανόμενος.

κη'. Περὶ τῶν ἄλλων προφάσεων, ἐπὶ αἷς συγκοπαὶ γίνονται.

1 Εἰσὶ δὲ καὶ ἄλλαι προφάσεις, ἐπὶ αἷς συγκόπ|ονται, τέσσαρες, 10
ἄλγημα σφοδρὸν, ἀγρυπνία, κένωσις ἄμετρος· ἐπὶ δὲ τῶν παραπαιόντων καὶ ἡ κίνησις ἔσ|ιν ὅτε· πέμπ|ην δὲ, εἰ βούλει, προσ|ίθει

telles conditions, l'apparence cadavéreuse de la face survient rapidement.
4 Il est donc nécessaire de nourrir ces malades; mais il l'est tout aussi bien de resserrer la surface de leur corps, comme on devait la raréfier
5 chez les précédents. On leur procurera aussi de l'air froid, on les oindra avec des ingrédients astringents, et on leur donnera des aliments qui ne
6 provoquent pas trop de diarrhée. On leur donnera donc du pain, des bouillies préparées avec l'alica et des fruits âpres et qui se corrompent
7 difficilement, soit seuls, soit avec du pain. On leur donnera encore des œufs, et surtout des jaunes d'œuf; on leur fera aussi manger de la cer-
8 velle de porc. Le vin aqueux est nécessaire à ces malades dès le début, et ils le prendront après le repas.

28. DES AUTRES CAUSES QUI AMÈNENT DES DÉFAILLANCES.

1 Il y a encore quatre autres causes qui peuvent amener des défaillances : une douleur forte, l'insomnie, une évacuation démesurée, et quelquefois aussi le mouvement chez les malades qui ont du délire; vous pouvez ajouter, si vous voulez, comme cinquième cause, le mauvais tempéra-

1. εἰ νεκρ. εἴη A. — Ib. ἐν τ. γίν. om. A. — 5. τά om. F. — Ib. τοῦ χ. A. — 8. δέ ante τούτ. Gal. Aët.; om. Codd. — Ib. ὁ om. BFP. — Ch. 28; l. 10. συγκοπαὶ γίνονται BP. — 11. καὶ κένωσις BFP. — 11-12. ἐπὶ... ὅτε om. BFP. — 11. δέ om. A. — 12. τετάρτην F; τέταρτον BP.

τὴν δυσκρασίαν τῶν ἀρχῶν. Τάχιστα μὲν οὖν ἀπώλειαι γίνονται 2
τῆς καρδίας παθούσης, ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου, βραδὺ δὲ τοῦ
ἥπατος.

κθ'. Περὶ ὀδύνης.

Ἡ μὲν οὖν ναρκώδης ὀδύνη διὰ ψυχρὰν γίνεται διάθεσιν· ὁ δὲ 1
σφυγματώδης πόνος ἴδιός ἐστι μεγάλης φλεγμονῆς. Ἐὰν δὲ ὡς ὑπὸ 2
σκόλοπος ἐμπεπαρμένου, ἢ ὡς ὑπὸ τρυπάνου τιτρᾶσθαι νομίζῃ, πα-
χέος ἐντέρου τὸ εἶδος τῆς ὀδύνης ἐστίν. Ὁ δὲ νυγματώδης συνίσταται 3
περὶ τὰς ὑμένας. Ὁ δὲ διαΐσσων πόνος συμβαίνει ταῖς σφοδροτά- 4
ταις οὐχ ἑτεροκρανίαις μόνον, ἀλλὰ καὶ ταῖς κεφαλαίαις· ἔστι δὲ
διαΐσσων ὅταν ὥσπερ ἀπὸ ῥίζης ἀρχόμενος τοῦ πρωτοπαθοῦντος
μορίου φέρηται ταχέως εἰς τὰ περικείμενα. Διατείνοντες δέ εἰσιν 5
ἑκατέρωσε τῶν νεύρων οἱ πόνοι, διότι καὶ τείνεται πρὸς ἄμφω τὰ

ment des parties principales. On meurt le plus rapidement par une affec- 2
tion du cœur, ensuite par une affection du cerveau; mais on meurt lentement quand le foie est affecté.

29. DE LA DOULEUR.

La douleur sourde est causée par une affection froide, et la douleur 1
pulsative est le signe caractéristique d'une inflammation grave. Si le ma- 2
lade croit qu'il est blessé comme par une cheville fixée dans son corps ou par un vilebrequin, ce genre de douleur a son siége dans le gros intestin. La douleur pulsative prend sa source dans les membranes. La 3-4
douleur sautillante ne survient pas seulement dans les migraines les plus violentes, mais aussi dans les autres maux de tête chroniques; or la douleur sautillante consiste en ce que la sensation douloureuse commençant à la partie qui a été affectée la première, comme à une racine, se propage rapidement aux parties environnantes. Les douleurs des *nerfs* 5
s'étendent dans les deux sens, parce que les nerfs sont aussi attirés

1. ἀπώλεια γίνεται A. — 2. βραχύ ABP. — Ch. 29; l. 4. διάθ.] δυσκρασίαν A. — Ἐὰν δὲ ὑπό BP; ἐὰν δέ om. A. — 6. τιτρώσκεσθαι A. — 11. παρακείμ. BFP. — 12. διότι] ὥστε A. — Ib. καί om. BFP.

6 πέρατα. Ἥκιστα δὲ εἰς πλάτος ἐκτεταμένους ἔχει τοὺς πόνους τὰ
7 νεῦρα. Τονώδεις τε καὶ ναρκώδεις ἐπιφέρει τοὺς πόνους ὁ ὑπὸ τῷ
δέρματι τεταγμένος ὑμήν· οἱ δὲ μεταξὺ τῆς σαρκὸς οἷον διασπῶντας·
εἰσὶ γὰρ πολλοὶ καὶ ἀνωμάλως ἐμφυόμενοί τε καὶ περιλαμβάνοντες
8 αὐτήν. Οἱ δὲ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων βύθιοί τέ εἰσιν, 5
9 αὐτῶν τε τῶν ὀστῶν ἐπάγουσι φαντασίαν ὡς ὀδυνωμένων. Ὅταν
οὖν μηδὲν ἔξωθεν τῆς ὀδύνης αἴτιον φαίνηται γινόμενον, ἐπίσκεψαι
τὴν προηγησαμένην δίαιταν, εἴ ἐστιν ἀργοτέρα παρὰ τὸ ἔθος, ἢ
σιτίοις ἐχρήσατο πλείοσιν ὁ ἄνθρωπος, ἢ πολυτρόφοις, ἢ συνήθης
ἔκκρισις ἐπεσχέθη· εἰ γάρ τι τούτων, ἢ καὶ πάντα φαίνοιτο, πλῆθος 10
αἴτιόν ἐστι τῆς ὀδύνης, καὶ ὅτι τάχιστα κένωσον τὸν ἄνθρωπον·
οὕτω γὰρ ἐξέσται σοι καὶ μετὰ πάσης ἀσφαλείας τοῖς ἀποκρουο-
10 μένοις τὰ ῥεύματα κατὰ τῶν ὀδυνωμένων χρῆσθαι μερῶν. Εἰ μὲν

6 vers leurs deux extrémités. Les douleurs des nerfs s'étendent fort peu
7 dans le sens de la largeur. La membrane qui est placée sous la peau
donne lieu à des douleurs tensives et sourdes, et celles qui sont entre-
lacées entre la chair, à des douleurs pour ainsi dire déchirantes; car
elles sont nombreuses, s'implantent sur elle et l'environnent d'une ma-
8 nière inégale. Les douleurs des membranes qui entourent les os sont
profondes et font croire aux malades que les os eux-mêmes sont dou-
9 loureux. Si, à l'extérieur, vous ne trouvez aucune cause apparente de
la douleur, vous examinerez quelle était auparavant la manière de vivre
du malade, si, contre son habitude, il s'est trop adonné à l'oisiveté, s'il
a pris trop d'aliments, ou des aliments très-nourrissants, s'il y a une
excrétion habituelle qui a été retenue; car, si une de ces circonstances,
ou toutes à la fois se révèlent, la surabondance des humeurs est la
cause de la douleur, et on doit, aussi vite que possible, procurer une
évacuation au malade : en effet, de cette manière, vous pourrez en toute
sécurité appliquer sur les parties douloureuses des remèdes qui réper-
10 cutent les fluxions. Quand c'est une surabondance de sang qui cause la

2. ἐπί BP. — 3. τεταμένος A. — Ib. διασπωμένους A; διασπῶντές εἰσιν BFP. — 5. δὲ περικείμενοι τ. ὀ. ὑμένες A. — 7. τῆς om. A. — Ib. ἐπιφαίνηται BP. — 8. εἴ ἐστιν] εἰ εἴη A; εἰ γὰρ εἴη BFP. — 9. πλείοσι et ἢ ante πολυτρ. om. A. — 10. τὸ πλῆθος A. — 12. καί om. ABP.

οὖν αἵματος πλῆθος εἴη τὸ διατεῖνον, φλέβα τμητέον αὐτίκα τὴν μεγάλην τὴν ἐγγὺς τοῦ πάσχοντος μέρους· κακοχυμίας δὲ μόνης ἐνοχλούσης, καθαρτέον· συνελθόντων δὲ ἀμφοῖν, ἀμφοτέραις χρήσῃ ταῖς κενώσεσι, φλεβοτομήσας πρότερον. Εἰ δὲ τούτων γενομένων 11
5 ἔτι μένοι τὸ ἄλγημα, δῆλον μὲν δήπου κατὰ τὸ πεπονθὸς μόριον ἐσφηνῶσθαι τὸ λυποῦν· εὔδηλος δὲ ἡ θεραπεία τοῖς διαφορητικοῖς ἐσομένη φαρμάκοις. Ὡσαύτως δὲ καὶ τὰς διὰ φυσῶδες πνεῦμα γι- 12
νομένας ὀδύνας ἰασόμεθα προσλιπαροῦντες ἐπὶ αὐτῶν μᾶλλον τοῖς λεπτύνουσιν ἐδέσμασί τε καὶ πόμασιν ἐνέμασί τε καὶ καταπλάσμασι
10 καὶ καταιονήσεσί τε καὶ πυριάσεσιν, ἀραιοῦντές τε τὸ περιέχον αὐτὸ σῶμα. Εἰ δὲ ὄγκος βαρύνων ἢ θλῶν ὀδύνην ἐργάζοιτο, τὸν 13
ὄγκον ἰατέον· εἰ δὲ δακνῶδες ὑγρὸν, ἐναντιώτατα τούτοις ἐστὶ τὰ λεπτύνοντα καὶ θερμαίνοντα. Ἄνηθον οὖν ἐναφηψημένον ἐλαίῳ 14

douleur tensive, vous ferez immédiatement une saignée à la grande veine la plus rapprochée de la partie souffrante; quand c'est uniquement le mauvais état des humeurs qui incommode, vous purgerez; si ces deux états existent simultanément, vous aurez recours aux deux espèces d'évacuation, en commençant toutefois par la saignée. La douleur 11
persiste-t-elle après cela, il est clair que la cause de la douleur est enclavée dans la partie affectée; il est clair aussi que le traitement de cette douleur consistera dans l'emploi des médicaments qui dissipent. De 12
même nous guérirons les douleurs causées par le souffle flatulent en insistant davantage sur les aliments, les boissons, les lavements, les cataplasmes, les affusions et les fomentations atténuantes, et en raréfiant la partie qui entoure ce souffle. Si une tumeur produit de la douleur 13
par son poids ou par une pression, guérissez la tumeur; dans le cas où la douleur est causée par l'humeur mordante, les atténuants et les échauffants sont très-contraires. L'aneth bouilli dans de l'huile apaise 14

1. τήν ante μεγ. ex em.; om. Codd. — 2. μορίου A. — 3. ἀμφοῖν] ἀμφοτέρων A. — 4. πρότ.] ἅπαξ A. — 5. ἔτι μένοι Gal.; ἐπιμένοι BFP; ἐπιμένει A. — Ib. δῆλόν που A. — 6. δὲ καὶ ἡ ABP. — 7. ἑπομένη A. — 7-8. γενομ. A. — 8. αὐτῷ F. — 9. τε post ἐδ. om. BFP. — 10. καὶ ταῖς αἴον. A. — Ib. πυρίαις A. — Ib. ἀραιοῦν F. — Ib. τε om. ABP. — 11. δέ Gal. Aët.; δὲ καί Codd. — 12. ἐναντιώτατον ABP. — 12-13. τούτοις..... ἐλαίῳ om. BP.

ἀνώδυνον καὶ ὑπνοποιὸν ὑπάρχει, καὶ μᾶλλον τὸ χλωρὸν τοῦ ξηροῦ.

λ'. Περὶ συντήξεως. Ἐκ τῶν Φιλαγρίου.

1 Ὅταν ἐκκρίνηταί τι διὰ γαστρὸς οὐκ ἐκ τῶν ἐδηδεσμένων καὶ πεπωμένων, ἀλλὰ ἐκ τοῦ σώματος εἰς αὐτὴν καταῤῥέοντος τοῦ χυμοῦ, παραπλησίου μὲν ὄντος τῇ συνεχῶς ἐμουμένῃ τε καὶ διαχωρουμένῃ 5 ξανθῇ χολῇ, διαφέροντος δὲ αὐτῆς τῇ τε δυσωδίᾳ καὶ τῷ πυῤῥότερον φαίνεσθαι τὸ διαχώρημα καὶ πάχος ἔχειν γλοιῶδες, ἐνίοτε δὲ καὶ ἐλαιῶδες, τότε πιμελὴ καὶ σὰρξ νεοπαγὴς ὑπὸ πυρετοῦ διακαοῦς ἀναλύεται καὶ τήκεται· χρονίζοντος δὲ τοῦ πάθους καὶ αὐτῶν ἀποτή-
2 κεταί τι τῶν στερεῶν. Ἐπὶ τούτου τοῦ πονηροτάτου πυρετοῦ ψυχροῦ 10 πόσις ἐστὶν ἀπὸ πηγῆς ψυχροτάτης ἵαμα· τοιαῦτα δὲ εἶναι χρὴ καὶ τὰ καταπλάσματα καὶ ἐπιθέματα ψύχοντα [τὰ] κατὰ τοῦ θώρακος

la douleur et donne du sommeil, et l'aneth vert encore plus que l'aneth desséché.

30. DE LA COLLIQUATION. — TIRÉ DE PHILAGRIUS.

1 On doit reconnaître que la graisse et la chair récemment coagulées se dissolvent et se fondent par l'effet d'une fièvre brûlante, lorsqu'on évacue par les selles quelque chose qui ne provient pas des aliments et des boissons, mais d'une humeur qui afflue du corps vers le canal intestinal, qui ressemble à la bile jaune qu'on évacue habituellement par les vomissements ou les selles, mais qui en diffère cependant par sa mauvaise odeur, parce que les selles sont plus rousses et ont l'épaisseur de la crasse des baignoires, et quelquefois aussi celle de l'huile; si la maladie se prolonge, il se fond aussi quelque chose des parties solides.
2 Le moyen de guérir cette fièvre éminemment pernicieuse consiste à faire boire de l'eau tirée d'une source extrêmement froide; les cataplasmes et les topiques qu'on applique sur la poitrine et les hypo-

CH. 30; tit. Ἐκ τ. Φιλαγρ. Aët.; om. Codd. — 3-4. πεπωμένων ex em.; πεπινομένων (sic) Paul.; πεπεμμένων Codd. — 4. τοῦ ante χυμοῦ om. AF; ὑγροῦ A. — 5. τε om. A. — 9-10. χρονίζ..... ἀποτήκ. Versio antiq. Aët. Paul.; om. Codd. — 11. ἵαμα om. BFP. — 1b. καί om. BFP. — 12. [τά] post ψύχοντα ex em.; om. Codd. — 1b. τοῦ om. AF.

ἐπιτιθέμενα καὶ τῶν ὑποχονδρίων, καὶ αἱ ἐμψύχουσαι τροφαὶ αἱ διδόμεναι.

λα'. Περὶ ἀγρυπνούντων ἐν πυρετοῖς. Ἐκ τῶν Γαληνοῦ.

Ὑπερβαλλόντως δὲ ἀγρυπνούντων, σκέλη καὶ χεῖρας δεσμεῖν ἐν 1
ἐκείνῳ τῷ χρόνῳ κατὰ ὃν ἐπὶ τὸν ὕπνον εἰώθεσαν τρέπεσθαι κελεύο-
5 μεν καὶ ἐγρηγορέναι, διοίγειν τέ ποτε, εἰ μύσειεν, ἀναγκάζομεν τὰ
βλέφαρα, μέχρις ἂν ἱκανῶς κάμωσιν, εἶτα ἐξαίφνης λύομεν τοὺς
δεσμοὺς καὶ τὸν λύχνον αἴρομεν, ἡσυχίαν δὲ πολλὴν εἶναι κελεύομεν.

λβ'. Περὶ ἀγρυπνούντων. Ἐκ τῶν Ἡροδότου.

Ἰσχυρῶς δὲ ἐγκειμένης ἀγρυπνίας ἐν ἀνέσει τοῦ παροξυσμοῦ, 1
προσκλυσθέον τὸ πρόσωπον ἀφεψήματι κωδυῶν μελαινῶν, καὶ ὀσ-
10 φραντέον μήκωνος λευκῆς κέλυφος φώξαντα καὶ τρίψαντα· καὶ μαν-

condres doivent être également froids; les aliments qu'on administre seront refrigérants et froids.

31. DE L'INSOMNIE QUI A LIEU DANS LES FIÈVRES. — TIRÉ DE GALIEN.

Si les malades souffrent d'une insomnie excessive, on leur prescrit de 1
se faire lier les jambes et les bras à l'heure où ils avaient l'habitude de se préparer à dormir, et de veiller; on les force d'ouvrir de temps en temps les paupières, s'ils les ferment, jusqu'à ce qu'ils soient suffisamment fatigués; ensuite on défait tout d'un coup les bandes, on enlève la lampe, et on prescrit un profond silence.

32. DE L'INSOMNIE. — TIRÉ D'HÉRODOTE.

S'il existe une insomnie très-prononcée au déclin de l'accès, on lave 1
la face avec une décoction de pavots noirs, et on fait flairer aux malades des pelures de pavot blanc torréfiées et triturées; ou bien triturez de la

1. αἱ om. F. — Ib. ψύχ. BP. — Ib. αἱ ex em.; om. Codd. — Ch. 31; l. 4-5. κελ. ἐγρ. F; καὶ κελ. ἐγρ. A. — 6. ἱκ. κάμωσιν ex em.; ἱκανῶσιν BFP; κάμωσιν A. Cf. Gal. — 7. εἰς ἡσ. τε A. — Ib. ἰέναι Codd. — Ch. 32; l. 8. Ἰσχυρῶς ἐγκειμένης BFP. — 10. φώκελ. ἐγρ. F; καὶ κελ. ἐγρ. A. — Ib. τρίψαντα Paul.; φώξας A marg. F; φρύξας A text. BP. — Ib. τρίψαντα Paul.; τρίψας Codd.

δραγόρου ῥίζης λεάνας ἴσον μετὰ οἴνου καὶ ῥοδίνου μάλαγμα ποίησον.
2 Καταπλασθέον δὲ τὸ μέτωπον ἐρπύλῳ μετὰ μελιλώτου ἐν γλυκεῖ
3 ἡψημένῃ· τούτῳ δὲ καὶ ἐν τοῖς παροξυσμοῖς χρηστέον. Ἢ λείας τὰς
κωδύας ἀναλαμβάνοντες ἄρτῳ μετὰ ῥοδίνου ἢ κηρωτῆς καταπλάσ-
4 σομεν. Καὶ ἡ τροφὴ δὲ περιεργοτέρα πως ἔστω· συνεμβαλλέσθω 5
γὰρ τοῖς ῥοφήμασι κωδύας λευκῆς σπέρματος ὅσον κοχλιάρια τρία·
τοῖς δὲ λαχάνοις συνοδευέσθω μήκωνος μελαίνης, εἰ μὲν εἴη, φύλλα
χλωρὰ ὅσον τοῖς τρισὶ δακτύλοις λαβεῖν· εἰ δὲ μή, τρεῖς ἢ τέσσαρες
5 κωδύαι ξηραί· συνεψηθεῖσαι δὲ ἐξαιρείσθωσαν. Εἰ μηδὲ οὕτω κατε-
νεχθεῖεν, περιχριέσθωσαν ὀπῷ μήκωνος, ἢ μανδραγόρου χυλῷ. 10

λγ'. Περὶ καταφορᾶς. Ἐκ τῶν Ἡροδότου.

1 Ἀποσπογγίζειν δεῖ τὸ πρόσωπον ὀξυκράτῳ γαλακτώδει, καὶ

racine de mandragore avec des quantités égales de vin et d'huile aux
2 roses et faites-en un malagme. On applique sur le front un cataplasme
de serpolet cuit dans du vin d'un goût sucré, conjointement avec du
3 mélilot; il faut également employer ce cataplasme pendant les accès. On
peut encore incorporer des têtes de pavot triturées dans du pain, et en
4 faire un cataplasme avec de l'huile aux roses ou du cérat. On doit en
quelque sorte mettre aussi plus de recherche dans les aliments : ainsi
on mêlera aux bouillies trois cuillerées de graine de tête de pavot blanc;
aux légumes on ajoutera, si on en a à sa disposition, des feuilles vertes
de pavot noir, et on en prendra autant qu'on en peut saisir avec les trois
doigts; si on n'en a pas, on les remplacera par trois ou quatre têtes de
pavots secs, qu'on ôtera après les avoir fait bouillir avec les légumes.
5 Si cela ne suffit pas pour endormir les malades, on les oindra avec du
suc de pavot ou une décoction de mandragore.

33. DU CATAPHORA. — TIRÉ D'HÉRODOTE.

1 On essuie la face avec une éponge trempée dans du vinaigre coupé
d'eau et qui ait la température du lait récemment trait, et on serre vi-

1. ποιήσας BFP. — 2. πρόσωπον A. — 3. ἑψημένης F; ἑψομένης BP; ἐναφεψομένῳ A. — Ib. τοῖς om. BFP. — 4. ἀναλαμβάνων..... κατάπλασσε A. — 5. αὐτοῖς πως BP. — Ib. συνεμβ. ex em.; συμβαλλέσθω. ABP; συμβαλέσθω F. — 6. γάρ δέ BP. — 7. συνηδυνέσθω BFP. — 9. μή ABP.

διακρατεῖν εὐτόνως τὰ ἄκρα. Ὀσφραντὰ δὲ προσαγέσθω τὰ τμητικὴν 2
ἔχοντα δύναμιν, καὶ ἐν ταῖς ἀνέσεσι σικυαζέσθωσαν ἐνεργῶς κατὰ
μεταφρένου καὶ ῥάχεως. Ἐπιμενούσης δὲ τῆς νόσου καὶ πλαρμικὰ 3
ἐν ἀνέσει τῶν παροξυσμῶν προσαγέσθω. Ἔσλω δὲ καὶ ἡ τῶν σι- 4
5 τίων ὕλη τμητικὴ καὶ διαιρετική.

λδ'. Περὶ κυνώδους ὀρέξεως.

Τοῖς τὴν καλουμένην ὄρεξιν κυνώδη νοσοῦσιν οἶνον χρὴ διδόναι 1
δαψιλῆ τῶν ἱκανῶς θερμαινόντων ὡς μέγα ἴαμα· τοιοῦτοι δέ εἰσιν
οἱ κιρροὶ τὴν χρόαν ἢ ἐρυθροὶ χωρὶς τοῦ σλύφειν. Χρὴ δὲ αὐτοῖς, 2
ὅταν ἐπὶ τὸ ἄρισλον ἀφίκωνται, πρῶτον μὲν διδόναι τὰ λιπαρὰ,
10 καὶ τὰ ἄλλα δὲ πάντα διὰ ἐλαίου πολλοῦ σκευάζοντα, μηδὲν αὐσλη-
ρὸν ἢ σλρυφνὸν ἔχοντι· μετὰ δὲ ταῦτα τῶν εἰρημένων οἴνων, κἂν
μηδέπω διψῶσι, κελεύω προσφέρεσθαι· πλέονι γὰρ χρόνῳ πραττ-
όντων οὕτω παύεται.

goureusement les extrémités. On donne à flairer aux malades des subs- 2
tances douées de propriétés incisives, et, pendant le relâchement, on
fera une application vigoureuse de ventouses sur l'épine et la partie
moyenne du dos. Si l'affection persiste, on a recours aux sternutatoires 3
au déclin des accès. Les aliments devront avoir les propriétés d'inciser 4
et de diviser.

34. DE LA FAIM CANINE.

A ceux qui ont la maladie dite *faim canine*, on donne comme un re- 1
mède souverain une grande quantité de vin suffisamment échauffant;
or les vins de couleur rouge ou paillet, et qui ne sont pas astringents,
appartiennent à cette classe. Au moment du déjeuner, on sert d'abord 2
des aliments gras, et on assaisonne tous les autres aliments [non gras]
avec beaucoup d'huile, laquelle ne doit avoir rien d'âpre ni d'astringent;
après cela je prescris un des vins dont je viens de parler, lors même qu'il
n'y aurait pas encore de soif; ce traitement, continué pendant assez
longtemps, guérit.

3. καί ante πτ.] ἔτι BP. — 4. παροξ.] πυρετῶν BP. — Ib. προσαγέσθω Aët. Paul.; προσαγέσθωσαν Codd. — CH. 34; l. 10. πολλοῦ om. A; παλαιοῦ BFP. — 11. σλύφον BFP; σλύφοντα A. — Ib. ἔχοντα Codd. — Ib. τὸν εἰρημένον οἶνον BFP. — 12. πλείονα..... χρόνον BP.

λε'. Περὶ ἀνορεξίας.

1 Εἰ μὲν διὰ μοχθηροὺς χυμοὺς ἡ ἀνορεξία γίνοιτο, δοτέον αὐτοῖς ἐκεῖνα τῶν ἐδεσμάτων τε καὶ ϖομάτων ἃ τοὺς τοιούτους χυμοὺς ἤτοι γε ἀποῤῥύψαντα διὰ ἐμέτων ἢ διὰ τῆς κάτω κοιλίας ἐκκρίνειν 2 ϖέφυκεν, ἢ ἐπικεράσαντα βελτίους ἐργάζεσθαι. Εἰ δὲ διὰ ἀῤῥωσϑίαν δυνάμεως ἀνορεκτοῦσιν, ἐπειδὴ ϖᾶσα δύναμις ἀῤῥωσϑεῖ διὰ δυσκρασίαν τῶν μορίων, χρὴ τὸ τῆς δυσκρασίας εἶδος διὰ τῶν ἐναντίων ἰᾶσθαι.

λϛ'. Περὶ βουλίμου.

1 Τοὺς βουλιμιῶντας ἐν ταῖς ὁδοῖς ἢ ἄλλως ϖως ἀνακτησόμεθα τοῖς τε ἄλλοις ὀσφραντοῖς καὶ ὑείοις κρέασι ὀπϑοῖς ἢ ἑφθοῖς, καὶ καθόλου ϖᾶσι τοῖς ὀσμὴν κνισώδη ἔχουσι, τά τε ἄκρα αὐτῶν διακρατοῦντες καὶ ἐγείροντες αὐτοὺς, τάς τε σιαγόνας νύσσοντες, καὶ

35. DE L'INAPPÉTENCE.

1 Quand l'inappétence tient à de mauvaises humeurs, on donnera des aliments et des boissons de nature soit à déterger ces humeurs et à les évacuer par les vomissements ou les selles, soit à les tempérer et à les 2 rendre meilleures. L'inappétence tient-elle au mauvais état des forces, il faut, puisque toute faiblesse dépend du mauvais tempérament des parties, guérir l'espèce de mauvais tempérament dont il s'agit par les contraires.

36. DE LA BOULIMIE.

1 Les gens qu'on trouve le long de la route affectés de boulimie, ou qui en sont pris de quelque autre façon, doivent être restaurés non-seulement par les substances odoriférantes, mais aussi par l'odeur de viande de porc rôtie ou bouillie, et, en général, par celle de toutes les substances qui ont une odeur de graisse brûlée; on leur serrera les extrémités, on les éveillera, on leur piquera les mâchoires et on leur tirera les che-

Ch. 35; l. 1. γένοιτο BP. — 3. ἀποῤῥίψοντα F. — 4. Εἰ δὲ Aët. Paul.; Τούς Codd. — 5. ἀνορεκτοῦσιν Paul.; ἀνορέκτους Codd. — Ch. 36; l. 9. ὀσφραίνοντες A. — Ib. ἢ] καί BFP. — Ib. ἑφθοῖς] ἐριφείοις BFP.

τρίχας ἢ ὦτα ἀνατείνοντες. Ἀνακτηθεῖσι δὲ ἄρτον ἐν κράματι ἢ ἄλλο 2
τι τῶν εὐαναδότων δίδου.

λζ'. Περὶ δίψους ἀμέτρου.

Τὴν μὲν πάνυ μικρὰν δίψαν γίνεσθαι νομιστέον διὰ ξηρότητα 1
τῶν μορίων ἢ θερμότητα διὰ ὧν φέρεται τὸ ὑγρὸν ἐκ τοῦ στόματος
5 εἰς τὴν κοιλίαν, καὶ ἅμα τῆς μὲν ξηρότητός ἐστιν ὕπνος, τῆς δὲ
θερμότητος ἡ ἐγρήγορσις. Ἔνιοι μέντοι διψώδεις ἐξ ὕπνου γίνονται 2
διὰ τὴν τῶν ἐδηδεσμένων θερμότητα, καὶ ἅμα τούτων ἐστὶ τὸ ψυ-
χρὸν πόμα. Μοχθηρῶν δὲ ἐπιθυμοῦσι πομάτων, ὥσπερ καὶ σιτίων 3
ἀνάλογον, τῇ κρατούσῃ κακοχυμίᾳ δίψεσιν ἀπαύστοις καταληφθέντες
10 ἐξ ὧνπερ καὶ ἀποθανόντας οἶδά ποτε τούς τε φαγόντας ἐχίδνας
διψάδας, καὶ τοὺς ἐξ οἴνου παλαιοῦ μεθυσθέντας, καὶ τοὺς ἐν τῷ

veux ou les oreilles. Quand ils sont revenus à eux-mêmes, on leur 2
donnera, dans du vin coupé d'eau, du pain ou quelque autre aliment qui se distribue facilement dans le corps.

37. DE LA SOIF DÉMESURÉE.

On doit penser que la soif, si elle est très-légère, tient à la séche- 1
resse ou à la chaleur des parties à travers lesquelles le liquide va de la bouche à l'estomac; or le sommeil est le moyen de guérir la sécheresse, et la veille celui de guérir la chaleur. Il y a cependant des gens 2
auxquels le sommeil donne de la soif à cause de la chaleur des aliments qu'ils prennent; on les guérit par des boissons froides. Les gens affligés 3
de soif inextinguible désirent prendre de mauvaises boissons aussi bien que de mauvais aliments, dont la nature varie suivant l'espèce de mauvaise humeur qui prédomine chez eux; je me rappelle en avoir vu mourir quelques-uns, par exemple ceux qui avaient mangé des vipères-dipsades, ceux qui s'étaient enivrés de vin vieux, et certains marins qui

CH. 37; l. 6. ἢ om. A. — Ib. ὕπνου] οἴνου Codd. — 8. πομάτων] ποιοτήτων A. — 9. ἀνάλογως F. — Ib. δίψεσι δέ ἀπαύστοις Codd. Cf. Gal. — 10. ἀπέθανον οἶδα δέ ποτε BFP. — Ib. τούς τε om. BFP. — Ib. φαγόντες F. — 11. τοὺς ἐξ om. BFP. — Ib. μεθυσθέντες BFP.

πλοίῳ τοῦ ὕδατος ἐπιλιπόντος, ὅσοι τῆς θαλάσσης ἐτόλμησαν πιεῖν ἀπέθανον.

λη'. Περὶ δίψης. Ἐκ τῶν Φιλουμένου.

1 Παρηγορεῖν πέφυκε τὸ ἐν πυρετῷ δίψος ἐμβροχὴ τῆς κεφαλῆς
2 ψυχροτάτου ἐλαίου, ἢ ῥοδίνου μετὰ κατακρουνισμοῦ γινομένη. Κάλλιστα δὲ ποιεῖ πρὸς δίψος τὸ τῆς μελαίνης θρίδακος σπέρμα διαμασηθὲν, καὶ ἡ γλυκύῤῥιζα λεγομένη, καὶ τὸ τοῦ σικύου σπέρμα διακρατηθὲν ἐν τῷ στόματι.

λθ'. Ἄδιψον καταπότιον. Ἐκ τῶν Διοσκορίδους.

1 Σικύου ἡμέρου σπέρματος ∠η', τραγακάνθης ∠δ'· διάλυε τὴν τραγάκανθαν ᾠῶν ὠμῶν προσφάτων τῷ λευκῷ, καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τρίψας τοῖς λοιποῖς, καὶ μίξας ἀνάπλαττε καταπότια, καὶ

manquaient d'eau; parmi ces derniers, ceux qui osèrent boire de l'eau de mer moururent.

38. DE LA SOIF. — TIRÉ DE PHILUMÈNE.

1 Une embrocation de la tête avec de l'huile très-froide ou de l'huile aux roses peut guérir la soif qui accompagne la fièvre, pourvu qu'on
2 l'administre en faisant tomber le liquide d'une certaine hauteur. C'est encore un très-bon remède contre la soif que de mâcher de la graine de laitue noire ou de tenir dans la bouche soit de la racine qu'on appelle *douce* (réglisse), soit de la graine de concombre.

39. PILULE CONTRE LA SOIF. — TIRÉ DE DIOSCORIDE.

Graine de concombre cultivée, huit drachmes, gomme adragant, quatre drachmes; dissolvez la gomme dans du blanc d'œufs crus et frais, et ajoutez-la aux autres ingrédients quand elle est dissoute; faites-en des pilules après avoir opéré le mélange, desséchez-les à l'ombre et

1. ἐπελειπόντος ὧν A 1ª m.; ἐπιλείποντος ὧν BFP. — CH. 38; l. 3. πυρετοῖς ABP. — 7. διαμασσηθέν A text.; διαμασηθὲν καὶ κρατηθέν BP.

ξήραινε ἐν σκιᾷ, καὶ δίδου ἓν ὑπὸ τὴν γλῶτταν κατέχειν, καὶ τὸ διαλυόμενον ὑγρὸν καταπίνειν. Δίδου δὲ καὶ ἀπόβρεγμα καταῤῥοφεῖν 2
ἢ μήλων κυδωνίων, ἢ ἀπίων, ἢ μεσπίλων, ἢ ἑλίκων ἀμπέλου, ἢ ῥοᾶς χυλὸν, ἢ ὄμφακος χυλόν.

μ'. Περὶ ναυτίας.

5 Ὅταν χωρὶς τοῦ προσενεχθῆναί τι ναυτιώδης ὁ κάμνων γένηται, 1
πρόδηλον οἶμαι λογίσασθαι μοχθηροὺς χυμοὺς ἀνιᾷν τὴν γαστέρα.
Τινὲς δὲ σπαράττονται μὲν, ἐμοῦσι δὲ οὐδὲν, ἐν αὐτοῖς τοῖς χιτῶσιν 2
ἀναπεπωμένου τοῦ χυμοῦ. Φλεγματώδεις μὲν οὖν ὄντας τοὺς χυ- 3
μοὺς πέττειν χρὴ ἐν ἡσυχίᾳ φυλάττοντας τὸν ἄνθρωπον καὶ ἀσιτίᾳ
10 καὶ ὕπνοις· τοὺς δὲ λεπτοτέρους ἔμετος ἐκβάλλει, ποτὲ μὲν ἐπὶ τῷ τῆς πτισάνης χυλῷ γενόμενος ἢ μελικράτῳ· ὅσοι δὲ γλίσχροι τέ εἰσι καὶ παχεῖς τῶν λεπτυνόντων χρῄζουσιν.

donnez-en une qu'on tient sous la langue, de façon à avaler le liquide qui provient de sa dissolution. Donnez aussi à boire une macération de 2
coings, de poires, de nèfles, de vrilles de vigne, ou du suc de grenades ou de raisins verts.

40. DE LA NAUSÉE.

Quand le malade éprouve de la nausée sans qu'il ait rien pris, on 1
peut en conclure évidemment, je pense, que des humeurs mauvaises font une impression pénible sur l'estomac. Quelques-uns de ces malades 2
ont des tiraillements, mais ne vomissent rien : c'est lorsque l'humeur a été résorbée par les tuniques mêmes de l'estomac. Si les humeurs 3
sont pituiteuses, on les amènera à maturité; à cet effet on prescrira au malade le repos, l'abstinence et le sommeil; le vomissement expulse les humeurs les plus ténues, et on le provoquera soit avec de la crème d'orge mondée, soit avec de l'eau miellée; enfin, toutes les humeurs visqueuses et épaisses exigent des remèdes atténuants.

3-4. ἢ ἑλίκων..... χυλόν om. A. — 1. 6. λογίζεσθαι BP. — 8. οὖν Paul.; 4. χυλοῦ..... χυλοῦ Codd. — CH. 40; om. Codd.

μα'. Πῶς χολημεσίαν θεραπευτέον. Ἐκ τῶν Φιλουμένου.

1 *Τοῖς χολημετοῦσι κατάπλασμα προσενεκτέον διὰ φοινίκων, ἢ σιδίων, ἢ κηκῖδος ἡψημένων ἐν οἴνῳ ἢ ὀξυκράτῳ καὶ συλλελειωμένων ἄρτῳ· καὶ ἀκακία δὲ καὶ ὑποκισθὶς καὶ βαλαύσθιον καὶ ῥοῦς*
2 *συμπλεκέσθω τῷ καταπλάσματι. Καὶ σικύα δὲ προσβαλλομένη με-*
3 *γάλως ὠφελεῖ μετὰ φλογὸς πολλῆς. Τὴν δὲ τροφὴν πολλάκις κατὰ* 5
4 *βραχὺ δώσομεν. Ἐπὶ δὲ τῶν χολὴν μέλαιναν ἐμούντων καὶ φυσωμένων τὸν σθόμαχον σπόγγους ὄξει δριμυτάτῳ θερμῷ βεβρεγμένους ἐντίθει, ἢ κισσοῦ φύλλοις ἑφθοῖς ἐν οἴνῳ κατάπλασσε.*

μβ'. Περὶ λυγμοῦ. Ἐκ τῶν Γαληνοῦ.

1 *Ὁ λυγμὸς γίνεται διὰ πλήρωσιν ἢ κένωσιν, ἢ δριμέων χυμῶν δακνόντων τὸν σθόμαχον, ὧν ἐμεθέντων παύεται· πολλοὶ δὲ καὶ τὸ* 10
διὰ τριῶν πεπέρεων λαβόντες, ἐὰν εὐθέως ἐπιπίωσιν οἶνον, λύζουσιν.

41. COMMENT ON DOIT TRAITER LE VOMISSEMENT DE BILE. — TIRÉ DE PHILUMÈNE.

1 Aux malades qui vomissent de la bile on appliquera un cataplasme fait de dattes, d'écorces de grenade ou de noix de galle cuites dans du vin ou dans du vinaigre coupé d'eau, et triturées ensemble avec du pain; on ajoutera au cataplasme du suc d'acacia, de l'hypocistis, des fleurs
2 de grenadier sauvage ou du sumac. C'est encore un moyen excellent
3 que l'application d'une ventouse avec une forte flamme. On donnera
4 souvent à manger et peu à la fois. Chez les malades qui vomissent de la bile noire et qui ont l'orifice de l'estomac gonflé par les gaz, on appliquera des éponges trempées dans du vinaigre chaud et très-fort, ou un cataplasme de feuilles de lierre bouillies dans du vin.

42. DU HOQUET. — TIRÉ DE GALIEN.

1 Le hoquet est causé par la réplétion, la vacuité, ou par des humeurs qui causent des picotements à l'orifice de l'estomac; dans ce dernier cas, le hoquet cesse quand on rejette ces humeurs par le vomissement; beaucoup de gens sont pris de hoquet quand ils avalent une certaine quantité du *médicament aux trois espèces de poivre* et qu'ils boivent du

Ὅτι δὲ καὶ διαφθείραντες τροφήν τινες λύζουσι, τῶν γινωσκομέ- 2
νων ἐστίν· καὶ ῥιγώσαντες δὲ πολλοὶ λύζουσιν. Ἔμετον μὲν οὖν 3
εὑρήσομεν αὔταρκες ἅμα τῶν διὰ πλῆθος ἢ δῆξιν λυζόντων, θερ-
μασίαν δὲ τῶν διὰ ψῦξιν. Ὅταν δὲ ὑπὸ πληρώσεως ὑγρῶν γένηται 4
5 λυγμὸς, βιαίας δεῖται κενώσεως· τοῦτο δὲ πταρμὸς ἐργάζεται· τοὺς
δὲ ἐπὶ κενώσει λυγμοὺς οὐκ ἰᾶται πταρμός. Διδόναι δὲ τοῖς λύζουσι 5
πήγανον μετὰ οἴνου, ἢ ζιγγίβερι, ἢ καλαμίνθην, ἢ νάρδον κελτικήν.

μγ'. Πῶς ἐπιμελητέον γλώσσης τραχύτητος.

Ὑγραίνειν δεῖ τὴν τραχύτητα τῆς γλώσσης ποιοῦντας διακρατεῖν 1
λινοσπέρμου ἀφέψημα τοὺς κάμνοντας ἐν τῷ στόματι· βέλτιον δὲ
10 ἐνεργεῖ μυξίον τῷ λινοσπέρμῳ ἐγκαθηψημένον. Καὶ τὸν δάκτυλον δὲ 2

vin immédiatement après. C'est un fait généralement connu qu'il y a 2
des gens qui ont le hoquet quand leurs aliments se corrompent [dans
l'estomac]; d'autres présentent le même symptôme quand ils ont eu un
frisson. Nous reconnaîtrons que le vomissement est un moyen suffisant 3
pour guérir le hoquet causé par la réplétion ou par des humeurs mor-
dicantes, et que la chaleur a les mêmes avantages, quand il s'agit d'un
hoquet causé par le refroidissement. Quand le hoquet tient à une sura- 4
bondance de liquides, on a besoin d'une évacuation violente; or cet
effet est produit par l'éternument; mais l'éternument ne guérit pas le
hoquet qui tient à la vacuité. On donnera aussi à ceux qui ont le hoquet 5
de la rue, du gingembre, de la *calaminthe*, ou du nard celtique dans
du vin.

43. COMMENT ON DOIT TRAITER LA RUGOSITÉ DE LA LANGUE.

On humectera les aspérités de la langue en ordonnant aux malades 1
de tenir dans la bouche une décoction de graine de lin; cette décoction
agit encore mieux si on y fait bouillir une *myxe*. Les malades peuvent 2

1-2. τῶν..... λύζουσιν om. BP. — 2. πολλάκις F. — Ib. μὲν οὖν Aët. Paul.; οὖν BFP; ὧν A. — 5. δὲ ὁ πτ. BFP. — CH. 43; l. 10. μυξίον Paul.; μύσκλον BFP; μόκλον A. — Ib. τῷ δακτύλῳ BFP.

ἐκ τούτου τοῦ χυλοῦ προβρέξαντες καὶ τὴν γλῶσσαν ἀνατρίψαντες ἀποκλυζέσθωσαν ὕδατι καθαρῷ, ἢ σπόγγῳ περιμασσέσθωσαν, εἶτα
3 ῥοδίνῳ ἐπαλειφέσθωσαν. Καὶ αὐτὸ δὲ τὸ ῥόδινον μέλιτι συμμιγὲν
4 σπουδαίως ἐνεργεῖ, καὶ ὁ τῆς ἀνδράχνης χυλὸς κρατηθείς. Καὶ ῥοῦς ὁ ἐπὶ τὰ ὄψα μελικράτῳ μιγεὶς καλῶς ποιεῖ, καὶ δαμασκηνοῦ καὶ μυξίου τὰ ὀσθᾶ διακρατούμενα, καὶ θριδακίνης καυλίον.

μδ'. Θεραπεία τῆς περὶ τὸ ἱερὸν ὀσθοῦν νεκρώσεως.
Ἐκ τῶν Φιλουμένου.

1 Ἡνίκα μὲν ἄρχεται ἐνερευθὴς ὁ τόπος γίνεσθαι, κύκλον ἐξ ἐρίου ποιήσαντες εὐμεγέθη ὑποθήσομεν τῷ τόπῳ, μετὰ ταῦτα ῥοδίνην ἢ μυρσινίνην κηρωτὴν ποιήσαντες ἔχουσαν λιθάργυρον ἢ ψιμμίθιον
2 ἐπιθήσομεν. Φλεγμονῆς δὲ γενομένης ἄρτῳ καταπλασθέον μετὰ

tremper aussi le doigt dans cette décoction et se frictionner la langue; ils se gargarisent ensuite avec de l'eau pure ou se frottent [la langue] avec une éponge [trempée dans ce liquide]; après cela, ils oignent [la
3 bouche] avec de l'huile aux roses. On réussit encore en faisant tenir dans la bouche soit de l'huile aux roses, à laquelle on a ajouté du miel, soit
4 du suc de pourpier. Ce sont aussi des remèdes qui agissent bien, quand on les fait tenir dans la bouche, que le sumac dont on assaisonne les mets, mêlé à de l'eau miellée, des noyaux de prune ou de *myxe*, ou une tige de laitue.

44. TRAITEMENT DE LA MORTIFICATION QUI A LIEU DANS LA RÉGION DU SACRUM. — TIRÉ DE PHILUMÈNE.

1 Quand cette région commence à devenir rouge, on taille une rondelle de laine suffisamment grande qu'on place sous l'endroit lésé, et sur laquelle on applique ensuite du cérat qu'on a préparé d'avance avec de l'huile aux roses ou aux feuilles de myrte et auquel on ajoute de la litharge ou
2 de la céruse. S'il y a de l'inflammation, on a recours à un cataplasme de pain, dans lequel on met de la morelle, de la bistorte, du plantain ou

2-3. εἶτα ῥοδ. ἐπαλ. om. BFP. — 5. om. A. — Ch. 44; tit. Ἐκ τῶν Φιλ. συμμιγεὶς A. — 5-6. καὶ μυσκλίου BFP; Αἔτ.; om. Codd.

σΙρύχνου, ἢ πολυγόνου, ἢ ἀρνογλώσσου, ἢ ἁπαλῆς κράμβης. Εἰ δὲ 3
νομώδης ἕλκωσις εἴη, φακῇ καταπλασσέσθω μετὰ σιδίων.

με'. Περὶ λιποθυμίας τῆς ἐπὶ κενώσει. Ἐκ τῶν Γαληνοῦ.

Τοῖς διὰ κένωσιν λιποθυμοῦσιν ὕδωρ τε ψυχρὸν προσραίνειν καὶ 1
τοὺς μυκτῆρας ἐπιλαμβάνειν καὶ ἀνατρίβειν τὸ σΙόμα τῆς γασΙρὸς,
5 καὶ κελεύειν ἐμεῖν, ἀλλὰ καὶ χεῖρας καὶ σκέλη διαδεῖν· εἶναι δὲ δεῖ
τοὺς δεσμοὺς πλείονας καὶ σφοδροτέρους· ἄνω μὲν ἐπὶ τοῖς κάτω,
κάτω δὲ ἐπὶ τοῖς ἄνω. Ἰᾶται δὲ καὶ οἶνος ψυχρῷ κεκραμένος τὰς ἐπὶ 2
ταῖς ἀθρόαις κενώσεσιν ἐκλύσεις, εἰ μηδὲν κωλύει. Λουτρὰ δὲ τοῖς 3
μὲν ἐπὶ τὴν γασΙέρα ῥεύμασιν ἐπιτηδειότατα· τὰς δὲ αἱμορραγίας
10 δεινῶς παροξύνει. Καὶ ὅσοι διὰ πλῆθος ἱδρώτων λιποθυμοῦσι, καὶ 4
τούτοις ἐναντιώτατα· καὶ γὰρ σΙύφειν καὶ ψύχειν αὐτῶν τὸ δέρμα
δεῖ, οὐ χαλᾷν. Καὶ τὸν οἶνον μάλισΙα τούτοις ψυχρὸν διδόναι. 5

[des feuilles] de chou tendre. S'il existe une ulcération envahissante, 3
on applique un cataplasme de lentilles, auquel on ajoute des écorces de grenade.

45. DE LA DÉFAILLANCE AMENÉE PAR LA VACUITÉ. — TIRÉ DE GALIEN.

Chez ceux qui ont une défaillance causée par la vacuité, on arrose 1
[la face] d'eau froide, on pince le nez, on frotte l'orifice de l'estomac; on lie aussi les bras et les jambes; seulement les bandes doivent être assez nombreuses et assez fortes; pour les membres inférieurs, on les fait marcher de bas en haut, et, pour les membres supérieurs, de haut en bas. Le vin coupé d'eau froide guérit aussi les faiblesses qui tiennent à 2
des évacuations abondantes et subites, si aucun obstacle ne s'oppose à l'emploi de ce moyen. Les bains agissent très-bien contre les fluxions 3
qui se rendent au ventre; mais ils aggravent les hémorragies d'une manière effrayante. Ils sont aussi tout à fait contraires à ceux qui ont 4
une défaillance causée par des sueurs profuses; car on doit resserrer et refroidir la peau de ces malades et non la relâcher. On donne aussi sur- 5
tout du vin froid aux malades de cette catégorie.

Ch. 45; l. 3. τε om. Codd. — 6. πλείονας μὲν καὶ σφοδροτέρους BFP. — 9. μὲν κατὰ γασΙέρα A. — 10. παροτρύνει BP. — Ib. λιποθυμοῦσι om. Codd. — 12. δεῖ om. BFP. — Ib. τόν om. A.

μς'. Περὶ τῶν ἐπὶ πλήθει λιποθυμούντων.

1 *Τῶν ἐπὶ πλήθει δὲ λιποθυμούντων ἀνατρίβειν τὰ κῶλα χρὴ καὶ θερμαίνειν καὶ διαδεῖν, οἴνου δὲ καὶ τροφῆς ἀπέχειν καὶ λουτρῶν,*
2 *εἰ πυρέτοιεν. Ἀρκεῖ δὲ αὐτοῖς μελικράτου τε διδόναι πόμα ἢ θύμον, ἢ ὀρίγανον, ἢ γλήχωνα, ἢ ὕσσωπον ἔχοντος ἐναφηψημένον· ἐπιτήδειον δὲ καὶ ὀξύμελι.* 5

μζ'. Θεραπεία ἐπὶ ὧν στάξις παρηκολούθησεν. Ἐκ τῶν Φιλουμένου.

1 *Ἐπειδὴ δὲ ἡ μὲν στάξις δηλοῖ πλῆθος ἐν ὅλῳ τῷ σώματι ἢ ἐν τῇ κεφαλῇ, κατὰ ἔκθλιψιν γινομένη ἢ διὰ πύκνωσιν· ἡ δὲ πλείων ἔκκρισις ἱκανή ἐστι καὶ χαλάσαι καὶ μειῶσαι τὸ πλῆθος, κατὰ λόγον δέ ἐστι ποιεῖσθαι αὐτὴν ἐκεῖθεν ὅθεν ἡ φύσις ὥρμησεν*

46. DE LA DÉFAILLANCE CAUSÉE PAR LA PLÉNITUDE.

1 Chez les malades dont la défaillance tient à la plénitude, on frotte, on réchauffe et on lie les membres; et, s'ils ont la fièvre, on leur or-
2 donne de s'abstenir de vin, d'aliments et de bains. Il suffit de leur donner à boire de l'eau miellée, dans laquelle on fait bouillir du *thym*, de l'origan, du pouliot, ou de l'*hysope;* le vinaigre miellé leur convient bien aussi.

47. TRAITEMENT DES MALADES CHEZ LESQUELS LE SANG S'EST ÉCOULÉ GOUTTE À GOUTTE PAR LE NEZ. — TIRÉ DE PHILUMÈNE.

1 L'écoulement de sang par le nez qui se fait goutte à goutte, et qui a lieu par expression ou pour cause de densité, indique une plénitude qui existe soit dans tout le corps, soit dans la tête; or un écoulement quelque peu abondant suffit pour relâcher et alléger la plénitude; et, comme il est raisonnable de penser que l'écoulement se fera d'une manière plus convenable s'il part du même point d'où la nature avait déjà commencé à le provoquer, j'ai osé, en me fondant sur ces motifs et en

Ch. 46; l. 1. Τῶν... λιποθ. om. BP; Τούτων A. — Ch. 47; tit. Ἐκ τῶν Φιλ. Aët.; om. Codd. — 7. ἢ Aët. Paul.; om. Codd.

οἰκειότερον ἢ διὰ ἑτέρων, ταῦτα ἐννοήσας ἐτόλμησα ἐπὶ τῶν τεταρταίων ἀποσταξεων διὰ σποιβῆς, ὡς ἔθος, τρῶσαι τὰ ἐν τοῖς μυξωτῆρσιν ἀγγεῖα. Δεῖ δὲ μὴ ἀρκεῖσθαι ὀλίγῃ ῥύσει, ἀλλὰ πρὸς δύναμιν 2
ἀφαιρεῖν.

tenant compte de ces considérations, dans de tels écoulements, qui revenaient tous les quatre (*trois*) jours, piquer les vaisseaux qui se trouvent dans les narines à l'aide d'une tige de pimprenelle épineuse, comme c'est l'usage. Il ne faut pas se contenter d'un écoulement peu abondant, mais 2
proportionner l'écoulement à l'état des forces.

1. *οἰκειότερον* ex em.; *οἰκ. ἐστιν* Codd.

ΛΟΓΟΣ Ζ'.

α'. Περὶ τῶν ἁπλῶν ἑλκῶν.

1 Ἐπειδὴ τὸ ἁπλοῦν ἕλκος διαίρεσίς ἐσ[τι μόνον, εἴ τις συναγάγοι τὰ διαιρεθέντα δεσμὸν ἐν κύκλῳ περιθεὶς, συμφυήσεται τὰ διε-
2 σ[τῶτα μόρια χωρὶς ἑτέρας τινὸς πραγματείας. Δεῖ δὲ ὅταν μὲν κατὰ ἕν τι τῶν χειλῶν ἐκτετραμμένον ᾖ τὸ ἕλκος εἰς τὸ πλάγιον, ἐκεῖθεν τὴν ἀρχὴν ποιεῖσθαι τῆς ἐπιδέσεως καὶ περιτρέπειν εἰς τἀναν- 5
τία· ἐπὶ ἀμφότερα δὲ οὔσης τῆς ἐκτροπῆς τὴν ἀπὸ δυοῖν ἀρχῶν παραλαμβάνειν ἐπίδεσιν καὶ προσάγειν οὕτω τὰ χείλη· μηδενὸς γὰρ τῶν χειλῶν μεταξὺ παρεμπεσόντος, οἷον τριχὸς, ἢ ψάμμου, ἢ ἐλαίου, ἢ ῥύπου, ἤ τινος τοιούτου, πάντως συμφυήσεται τὸ ἕλκος.
3 Μεγάλου δὲ ὄντος τοῦ ἕλκους, ὡς μὴ δύνασθαι τὰ κεχωρισμένα διὰ 10

LIVRE VII.

1. DES PLAIES SIMPLES.

1 La plaie simple n'étant rien qu'une division, il n'y a qu'à rapprocher les parties divisées, en les entourant circulairement d'un bandage, pour que les chairs qui s'étaient écartées l'une de l'autre se recollent sans
2 qu'on soit obligé de rien faire de plus. Lorsqu'un des bords de la plaie est renversé vers le côté, on commence la déligation par ce point-là, et on ramène cette partie, en roulant, au côté opposé; s'il y a un renversement de chaque côté, on emploie une bande à deux globes, et on rapproche ainsi les bords : en effet, si rien n'est tombé entre les bords de la plaie, comme, par exemple, un poil, un grain de sable, de la crasse ou
3 autre chose pareille, la plaie se recolle de toute nécessité. Si la plaie est grande, de façon que les parties séparées ne peuvent être rapprochées sur

Ch. 1; l. 3. ἑτέρας om. BFP.

ὅλου συναχθῆναι, ἢ ἰχῶρός τινος ἀθροισθέντος, ἢ ὀδύνης οὔσης, κολληθῆναι τὸ τοιοῦτον ἕλκος οὐχ οἷόν τε διὰ μόνης τῆς συναγωγῆς, καὶ χρεία ξηραίνοντος φαρμάκου τόν τε ἠθροισμένον ἐκδαπανῶντος ἰχῶρα καὶ κωλύοντος ἐπιῤῥεῖν ἕτερον. Ὑγρῶν μὲν οὖν κάλλιστον 4
5 οἶνος· ποιεῖ δὲ καὶ τὸ ὀξύκρατον καὶ μελίκρατον· τῶν δὲ ἄλλων κολλᾷ τραύματα δρυὸς φύλλα καταπλασσόμενα, καὶ ἰτέας, καὶ κράμβης, μηλέας τε ὁ καρπὸς καὶ τὰ φύλλα καὶ ὁ χυλὸς καὶ ὁ φλοιὸς τῆς αὐστηροτέρας καὶ ὀξυτέρας, ἀρνόγλωσσον, πάπυρος ὀξυκράτῳ ἢ οἴνῳ βραχεῖσα ἐν κύκλῳ περιειλουμένη. Τὰ δὲ πρόσφατα κολλᾷ 5
10 πίτυος καὶ πεύκης τὰ φύλλα, πτελέας τὰ φύλλα καὶ ὁ φλοιὸς πρόσφατος ὡς ἐπίδεσμος περιειλούμενος, σπόγγος καινὸς μετὰ ὕδατος, ἢ ὀξυκράτου ἢ οἴνου, τυρὸς πρόσφατος προλειωθείς· ἔξωθεν δὲ ἐπιτιθέναι δεῖ φύλλα λαπάθου, ἢ ἀμπέλου, ἢ τεύτλου, ἢ θριδακίνης· ὁ δὲ ὀξυγαλάκτινος τυρὸς καὶ τὰ μείζονα τραύματα ὁμοίως

tous les points, parce qu'il existe une accumulation de liquide séreux, ou qu'il y a de la douleur, la plaie ne saurait être recollée par le rapprochement seul, et on a besoin d'un médicament desséchant qui consume le liquide séreux accumulé et qui empêche l'afflux d'un autre liquide analogue. Le meilleur des liquides pour produire cet effet est le 4
vin; le vinaigre coupé d'eau et l'eau miellée agissent bien aussi; quant aux autres remèdes qui recollent les plaies, ce sont les feuilles de chêne, de saule ou de choux, employées sous forme de cataplasme, les fruits, les feuilles, le suc et l'écorce d'un pommier dont les fruits sont assez âpres et assez aigres, le plantain, le papyrus trempé dans du vinaigre coupé d'eau ou du vin et roulé circulairement autour de la partie. Les 5
feuilles du pin ordinaire ou du pin à torches, les feuilles de l'orme et l'écorce du même arbre enroulée autour de la partie comme un bandage, une éponge neuve imbibée d'eau, d'eau vinaigrée ou de vin, du fromage frais, qu'on aura préalablement trituré, recollent les plaies récentes; à l'extérieur, on appliquera des feuilles de patience, de vigne, de bette ou de laitue; le fromage au lait aigre recolle les plaies d'une

3. ἐκδαπανῶντα BP. — 7. καὶ ὁ φλ. om. BP. — 10. πτελ. τὰ φύλλα om. BFP. — 11. ὡς ἐπίδεσμα BP; ὡς δεσμός A, idque post περιειλ. — 12. πύρος Codd. — 14-p. 327, l. 1, ὁμοίως..... τραύματα om. BFP.

6 ἐπιτεθείς. Κολλῶσι καὶ ἄπιοι· τὰ δὲ μείζονα τραύματα ἀχράδες, καὶ ἀνασΊέλλουσι τὸ ῥεῦμα· ἵππουρις καταπλατΊομένη, κἂν νεῦρα διατετμημένα τύχῃ· ἴσατις ἡ ἥμερος ἐπὶ τῶν σκληρῶν σωμάτων κἂν ἐν ταῖς τῶν μυῶν ᾖ κεφαλαῖς· κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλασΊοὶ καὶ τὰ νέα τῶν σφαιρίων καὶ μαλακὰ ἐπὶ τῶν σκληρῶν 5
7 σωμάτων. Κοχλίου σὰρξ λειωθεῖσα κολλᾷ τραύματα μετὰ νεύρου τρώσεως καὶ θλάσεως γεγονότα ἐπὶ σκληρῶν σωμάτων· μιγνύναι δὲ χρὴ αὐτῇ λελειωμένῃ ἄχνην ἀλεύρου λαμβάνοντα ἀπὸ τοίχου πλησιάζοντος μύλῃ· σμύρνα σὺν ὕδατι καταχρισθεῖσα ἢ λιβανωτός.
8 Γῆς ἔντερα καὶ νεύρων διακοπὰς κολλᾷ· πενταφύλλου φύλλα μετὰ 10
9 μέλιτος· σκόροδα καέντα καταπλασσόμενα. Πρὸς δὲ τὰ πρεσβυτικὰ ἕλκη ἀναγαλλὶς ποιεῖ μετὰ κηρωτῆς, κριθαὶ καυθεῖσαι, καὶ ψιμμί-
10 θιον σὺν κηρωτῇ μυρσινίνῃ τριπλασίονι. Πρὸς δὲ τὰ ἐν κεφαλῇ σμύρναν ξηρὰν ἐπίπασσε καὶ μὴ βρέχε· ταχέως γὰρ συνάγει, ἢ

6 étendue assez considérable, si on l'applique de la même manière. Les poires recollent aussi; les poires sauvages recollent même de larges plaies et repoussent la fluxion; la prêle, appliquée sous forme de cataplasme, produit le même effet, lors même que les *nerfs* sont coupés; la guède cultivée jouit des mêmes propriétés, même s'il s'agit de la division des têtes des muscles; les feuilles, les jeunes pousses et les boules jeunes et tendres du cyprès recollent aussi les plaies chez les sujets dont
7 la chair est dure. Des escargots triturés recollent les plaies compliquées de blessures ou de contusion d'un *nerf* chez les individus qui ont la chair dure; mais on doit mêler à ces escargots, pendant qu'on les triture, de la poussière de farine qu'on prendra sur un mur placé près d'un moulin; la myrrhe ou l'encens, délayés dans l'eau et employés comme liniment,
8 recollent aussi les plaies. Les vers de terre recollent aussi les *nerfs* divisés; les feuilles de quintefeuille avec du miel et l'ail brûlé employé sous
9 forme de cataplasme ont la même vertu. Les médicaments qui agissent contre les ulcères des vieillards sont le mouron combiné au miel, l'orge brûlée et la céruse employée avec une quantité triple de cérat à l'huile
10 aux feuilles de myrte. Pour guérir les plaies de la tête, saupoudrez-les de myrrhe sèche, mais n'humectez pas; ce médicament rapproche ra-

2. τὰ ῥεύματα A. — 6-7. Κοχλίου..... σωμάτ. *Ad Eun.*; om. Codd.

ἀλόην ξηρανθεῖσαν, ἢ ἀριστολοχίαν τρίψας μετὰ ὕδατος· τοῦτο δὲ καὶ ὀστᾶ ἀνάγει. Ἡ λιβανωτὸν καὶ σμύρναν ἴσα τρίψας καὶ μετὰ 11
μέλιτος καὶ οἴνου συνεψήσας ἕως πάχος σχῇ σύμμετρον, εἰς μότον χρίων ἐπιτίθει. Πρὸς δὲ τὰ τραύματα τὰ περιωδυνοῦντα καὶ φλεγ- 12
5 μαίνοντα ῥοὰν γλυκεῖαν ἑψήσας ἐν οἴνῳ καὶ τρίψας κατάπλασσε. Θαυμαστὸν τοῦτο καὶ πολύχρηστον· πρός τε γὰρ τὰ ἐν κεφαλῇ 13
ἕλκη ποιεῖ, καὶ πρὸς τὰ ἐν αἰδοίοις, καὶ πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι περιωδυνοῦντα, καὶ πρὸς ὀφθαλμοὺς φλεγμαίνοντας.

β'. Περὶ τῶν κοίλων ἑλκῶν.

Τὸ κοῖλον ἕλκος ὑγρόν ἐστι καὶ ῥυπαρόν· δεῖται οὖν τῶν μετρίως 1
10 ξηραινόντων καὶ ῥυπτόντων· τοιαῦτα δέ ἐστι λιβανωτός τε καὶ κρίθινον ἄλευρον καὶ κυάμινον καὶ ὀρόβινον καὶ ἶρις καὶ ἀριστολοχία καὶ καδμεία καὶ πάναξ καὶ πομφόλυξ. Ὅταν δὲ μηδὲν ὠφελήσῃ τὸ 2

pidement; usez de la même manière de l'aloès sec, ou de l'aristoloche triturée avec de l'eau; ce dernier remède amène aussi les os vers la surface. Triturez quantités égales de myrrhe et d'encens, faites-les 11
bouillir avec du miel et du vin jusqu'à consistance convenable, enduisez-en de la charpie et appliquez sur la plaie. Employez contre les plaies 12
compliquées de douleurs vives et d'inflammation un cataplasme de grenades au goût sucré que vous ferez bouillir dans du vin; puis triturez le tout. C'est un remède merveilleux et qui sert en beaucoup de circons- 13
tances : en effet, il agit contre les plaies de la tête, contre celles des parties génitales et contre celles de tout le corps, quand elles causent une vive douleur, ainsi que contre les inflammations des yeux.

2. DES ULCÈRES CREUX.

L'ulcère creux est humide et sale : il a donc besoin de médicaments 1
modérément desséchants et détersifs; tels sont l'encens, la farine d'orge, de fèves ou d'ers, l'iris, l'aristoloche, la tutie, la panacée d'Hercule et les fleurs de zinc. Quand le médicament incarnatif qu'on a appliqué n'a 2

6. ἐν τῇ κεφ. ABP. — Ch. 2; l. 11. ἄλευρον] ἔλαιον BP. — 12. δέ om. BFP.

προσαγόμενον σαρκωτικὸν φάρμακον, οὕτω πως ἐπὶ ἄλλο μεταβαίνειν· εἰ μὲν πλείων ὁ ῥύπος εἴη καὶ ὑγρότερον τὸ ἕλκος, εἰδέναι προσήκει ὡς ἐνδεέστερον ἐξήρανε τὸ φάρμακον, καὶ ἐπιτείνειν αὐτὸ μέλιτος μίξει· εἰ δὲ καθαρὸν καὶ ἄνικμον εὑρεθείη, πλέον ἢ ἐχρῆν
3 ἐξήρανεν· ἐλαίου τε οὖν αὐτὸ καὶ κηρωτῆς ἀνιέναι μίξει. Συμβαίνει 5
δὲ ἐνίοτε τοῦ φαρμάκου τυγχάνοντος ἰσχυροτέρου συντήκεσθαί τι τῆς σαρκὸς ὡς ῥυπαρὸν καὶ ὑγρὸν φαίνεσθαι τὸ ἕλκος παραπλησίως τοῖς ἐνδεέστερον ξηρανθεῖσιν, ἀλλά τοι κοιλότερον μὲν ἐπὶ τῶν ἰσχυρῶν τε καὶ συντηκόντων γίνεται καὶ ὀχθῶδες τοῖς χείλεσιν, ἐρυθρότερόν τε καὶ φλεγμονὴν ἔχον· πολλάκις δὲ καὶ δάκνεται 10
σαφῶς ὁ πάσχων· τὸ δὲ ἕτερον τὸ ὑπὸ τῶν ἔλαττον ξηραινόντων
4 οὐδὲν ἔχει τούτων παρακολουθοῦν. Σαπρότης τοίνυν ξύλων, καὶ μάλιστα ὅσα μετέχει μετρίας στύψεώς τε καὶ ῥύψεως, ὥσπερ καὶ ἡ πτελέα, καθαίρει καὶ ἀναπληροῖ τὰ ὑγρὰ τῶν ἑλκῶν· ἀνεμῶναι

produit aucun effet, passez à un autre; si la quantité de la crasse de l'ulcère augmente, et s'il est devenu plus humide qu'auparavant, le médicament a produit un desséchement insuffisant; alors on lui donnera plus d'efficacité en y ajoutant du miel; si on trouve l'ulcère pur et sans humidité, le médicament a desséché plus qu'il ne le fallait : alors on
3 l'affaiblira en y ajoutant de l'huile ou du cérat. Il arrive quelquefois que, si le médicament est trop fort, une partie de la chair se fond, ce qui donne à l'ulcère une apparence d'impureté et d'humidité analogue à celle que présentent les plaies insuffisamment desséchées; sous l'action des médicaments forts et fondants, l'ulcère devient plus creux et plus rouge qu'auparavant, ses bords sont taillés à pic et il s'y développe de l'inflammation; souvent le malade éprouve manifestement aussi une sensation de mordication; l'autre plaie, au contraire, qui était traitée par des médicaments insuffisamment desséchants, ne présente aucun des symp-
4 tômes que nous venons d'énumérer. La poussière de bois vermoulu, surtout si cette poussière provient d'une espèce de bois douée de propriétés astringentes et détersives modérées, comme est le bois d'orme, purifie et remplit les ulcères humides; il en est de même des diverses espèces d'a-

5. τε οὖν] τε BFP. — 8. τοῦτο Codd. — 8-9. ἀλλὰ τοῦτο κοιλότερόν τε καὶ (om. A) συντηκόμενον Codd. — 11. τό ante ὑπό Aët.; om. Codd. — 14. ὑγρά e conj.; καθαρά Codd. An κάθυγρα?

προσλιθέμεναι. Πίτυος φλοιὸν ἀποξύσας καὶ τρίψας μετὰ κηρωτῆς 5
τοὺς μότους ἐγχρίων ἐπὶ τῶν κοίλων ἑλκῶν, καὶ μάλιστα τῶν
προσφάτων, ἐπιτίθει· πληροῖ γὰρ αὐτά. Καθαίρει δὲ τὰ ῥυπαρὰ 6
πράσιον μετὰ μέλιτος, ἀριστολοχία σὺν μέλιτι, ἐλαῖαι κολυμβάδες
5 καταπλασθεῖσαι.

γ'. Περὶ τῶν οὐλῆς δεομένων ἑλκῶν.

Ξηραίνοντες καὶ στύφοντες τὴν σάρκα τῶν οὐλῆς δεομένων ἑλκῶν 1
εἰς τοσοῦτον ὥστε μὴ μόνον διαφορῆσαι τὸ παρὰ φύσιν περιττὸν,
ἀλλὰ καὶ τοῦ κατὰ φύσιν ἅψασθαι, τὸ ἐπιπολῆς τοῦ ἕλκους παρα-
πλήσιον δέρματι κατασκευάσομεν καὶ εἰς οὐλὴν ἄξομεν τὸ ἕλκος·
10 ἐπιτήδειον δὲ εἰς τοῦτο κηκὶς ὀμφακῖτις καὶ τὰ τῆς ῥοιᾶς λέμματα
μετρίως ξηραίνοντα. Καὶ ὅσα δὲ χωρὶς τοῦ στύφειν ἀδήκτως ξηραί- 2
νει, καὶ ταῦτα εἰς οὐλὴν ἄγει, οἷον σμύρνα, λιθάργυρος, καὶ εἰ

némone appliquées sur les ulcères. Sur les ulcères creux, et surtout 5
quand ils sont récents, mettez de l'écorce de pin que vous aurez raclée
et triturée, pour en enduire ensuite de la charpie, après y avoir ajouté
du cérat : en effet, ce médicament remplit les ulcères. Le marrube et 6
l'aristoloche combinés au miel et un cataplasme d'olives marinées pu-
rifient les plaies impures.

3. DES PLAIES QUI ONT BESOIN D'ÊTRE CICATRISÉES.

Pour les plaies qui ont besoin d'être cicatrisées, une action resser- 1
rante et desséchante assez forte non-seulement pour dissiper les super-
fluités contre nature qu'elles contiennent, mais aussi pour attaquer les
parties qui se trouvent dans leur état naturel, rend la surface des chairs
semblable à la peau et les cicatrise; les noix de galle vertes et les pelures
de grenades sont propres à produire cet effet, parce que ces médica-
ments dessèchent modérément. De même toutes les substances qui des- 2
sèchent sans resserrer et sans donner lieu à des picotements cicatrisent;
telles sont la myrrhe, la litharge et les écailles d'huître, pourvu qu'elles

3. καὶ καθαίρει BFP. — Ib. δέ om. καί om. BFP. — 9. κατασκευάσωμεν BP. — 4. ἐλαίαι BP. — Cu. 3; l. 8. BP; καταπαρασκευάσομεν A 1ª m.

καυθείη, ὄστρεον· ἐπιπαττόμενον γὰρ ξηρὸν καὶ τοῦτο πολλάκις ἐπούλωσεν· πίτυος φλοιὸς σὺν κηρωτῇ μυρσινίνῃ, κισσοῦ ἄνθος
3 μετὰ κηρωτῆς, κρίνου ῥίζα σὺν ῥοδίνῳ. Τὰ δὲ παλαιὰ ἐπουλοῖ ἰξὸς σὺν λιβάνῳ, ἰὸς μετὰ διφρυγοῦς ἴσου καὶ μετὰ κηρωτῆς μυρσινίνης. 5

δ'. Περὶ τῶν ὑπερσαρκούντων ἑλκῶν.

1 Ἡ τῶν ὑπεραυξηθεισῶν σαρκῶν ἐπὶ τῶν ἑλκῶν καθαίρεσις ὑπὸ τῶν ἰσχυρῶς ξηραινόντων γίνεται φαρμάκων, οἷόν ἐστιν ἀσσίας
2 πέτρας ἄνθος. Καὶ τὰ ὀστρεώδη πάντα καυθέντα μετρίως καθαιρεῖ τὰ ὑπερσαρκοῦντα καὶ προστέλλει, καὶ οἱ ἐχῖνοι δὲ ὁμοίως ἀμφότεροι καυθέντες σὺν τῷ σώματι παντὶ, καὶ διφρυγὲς καταπασσόμενον. 10
3 Καὶ χαλκοῦ δὲ ἄνθος καὶ λεπίδα κατάπασσε.

soient brûlées; en effet, cette dernière substance produit souvent un effet cicatrisant, saupoudrée sur les ulcères, à sec; l'écorce de pin ou les fleurs de lierre avec du cérat à l'huile aux feuilles de myrte, et la racine
3 de lis avec l'huile aux roses ont la même action. Les plaies anciennes sont cicatrisées par de la glu combinée à l'encens et par des quantités égales de vert de gris et de deutoxyde de cuivre, auxquelles on ajoute du cérat à l'huile aux feuilles de myrte.

4. DES PLAIES À CHAIR LUXURIANTE.

1 Les médicaments fortement desséchants détruisent les chairs qui pullulent démesurément sur les plaies; telle est l'efflorescence de la pierre
2 d'Assos. Les écailles de toutes les espèces de testacés exercent aussi une action modérément destructive et dépressive sur les chairs exubérantes; la cendre de hérissons (*oursons* et *hérissons* proprement dits) brûlés en entier, unie à du deutoxyde de cuivre et saupoudrée sur les plaies, a la
3 même propriété. Saupoudrez-les aussi de fleurs ou de battitures de cuivre.

1. ὀστρακον BP. — Ib. γάρ om. BFP. — 4. μετά om. F. — Ch. 4; l. 6. Ἡ om. ABP. — Ib. παραυξηθεισῶν Codd. — 7. ἀσσίας ex em.; ἀσίας Codd. — 8. καθαιρεῖ om. BP. — 9. τὰ ὑπερσαρκοῦντα καὶ προστέλλει om. BP. — Ib. δέ om. BP. — 10 et 11 καταπασσ. Paul.; καταπλασσ. Codd.

ε'. Πρὸς ἕλκη ἐπιπόλαια καὶ παρατρίμματα καὶ ἀποσύρματα καὶ πρεσβυτικὰ καὶ ἀπαλόχρωτας.

Λιθαργύρου χρυσίτιδος ∠ν', κηροῦ ∠κ', ῥητίνης ξηρᾶς πευκίνης 1
∠ιβ', ἐλαίου κοτύλη α'· τὴν λιθάργυρον καὶ τὸ ἔλαιον ἑψήσας,
μετὰ δὲ ταῦτα τὸν κηρὸν καὶ τὴν ῥητίνην ἐπεμβαλὼν, ὅταν ἐμπλα-
σθοῦ πάχος λάβῃ, καθελὼν ἀπὸ τοῦ πυρὸς καὶ βαλὼν εἰς θυίαν
5 μαλάξας χρῶ. Τὸ δὲ ἀποσυρὲν δέρμα οὐ χρὴ τῶν ἑλκῶν ἀποτέμνειν, 2
ἀλλὰ ἐπάγειν αὐτὸ καὶ ἔξωθεν ἐπιτιθέναι τι τῶν ἐπιτηδείων φαρ-
μάκων· κολλᾶται γὰρ οὕτω πολλάκις τὸ ἀποσυρὲν δέρμα, κἂν με-
λανθῆναι φθάσῃ· γυμνωθείσης δὲ τῆς σαρκὸς τοῦ δέρματος, δύσκο-
λος ἡ ἐπούλωσις γίνεται δακνομένου καὶ ῥυπουμένου τοῦ ἕλκους.
10 Ἀφλέγμαντα δὲ τηρεῖ τὰ ἀποσύρματα ῥοῦς ἐρυθρὸς καταπλασσό- 3
μενος λεῖος σὺν μέλιτι, σχίνου κόμη καυθεῖσα καὶ σὺν μέλιτι ἐπι-
τεθεῖσα. Πρὸς δὲ τὰ ἐξ ὑποδημάτων παρατρίμματα πνεύμων ἄρνειός 4

5. DES ULCÈRES SUPERFICIELS, DES EXCORIATIONS, DES ARRACHEMENTS DE LA PEAU, DES ULCÈRES DES VIEILLARDS ET DES GENS À CHAIR MOLLE.

Litharge dorée cinquante drachmes, cire vingt drachmes, résine sèche 1
du pin à torches douze drachmes, huile un cotyle; faites bouillir la li-
tharge et l'huile, ajoutez ensuite la cire et la résine; quand le mélange
aura acquis la consistance d'un emplâtre, enlevez le poêlon du feu,
mettez le médicament dans un mortier, et employez-le après l'avoir pé-
tri. On ne doit pas couper la peau qui a été arrachée des plaies; au con- 2
traire, on la ramènera sur elles et on appliquera à l'extérieur quelque
médicament convenable : en effet, la peau arrachée se recolle souvent,
lors même qu'elle se serait déjà noircie; quand la chair a été dénudée
de sa peau, la cicatrisation se fait difficilement, attendu que la plaie de-
vient impure et qu'elle est le siége de picotements. Le sumac rouge 3
trituré avec du miel et employé sous forme de cataplasme tient à l'abri
de l'inflammation les plaies dont la peau a été arrachée; il en est de
même des feuilles de lentisque brûlées et appliquées avec du miel. Le 4
poumon d'agneau, de petit porc ou de chèvre, a de l'efficacité contre les

CH. 5; l. 3-4. ἐμπλάσθρου ABP. — 12. Πρός om. BP.

5 τε καὶ χοίρειος καὶ αἴγειος ποιεῖ. Τὸ ἀπὸ τῶν κατλυμάτων δέρμα καυθὲν φλεγμαίνοντα μὲν οὐκ ὠφελεῖ, παυσάμενα δὲ τῆς φλεγμονῆς ὀνίνησιν· ξηραντικὴ γάρ ἐστιν ἡ τοιαύτη τέφρα· κρόμμυον σὺν ὀρνι-
6-7 θείῳ στέατι λεῖον. Κηκῖδα καύσας καὶ τρίψας ἐπίπασσε. Ἀκακίαν ἐν ὄξει διεὶς ἐπίχριε. 5

ϛ'. Πρὸς τὰ πυρίκαυτα.

1 Τὰ δὲ πυρίκαυτα τῶν μετρίως ῥυπλόντων δεῖται φαρμάκων χωρὶς
2 τοῦ θερμαίνειν ἢ ψύχειν ἐπιφανῶς. Γῆ τοίνυν χία καὶ κιμωλία, καὶ πᾶσα δὲ κούφη γῆ καταχριομένη διὰ ὄξους μὴ πάνυ δριμέος ἢ ὕδατος μιγνυμένου, ποιοῦσι καλῶς καὶ κωλύουσι φλυκταινοῦσθαι, καὶ ᾠὸν ὅλον ὠμὸν παραχρῆμα ἐπιτιθέμενον ἀναλαμβανόμενον ἐρίῳ 10 μαλακῷ· καὶ γὰρ ἐμψύχει μετρίως καὶ ἀδήκτως ξηραίνει· ἢ μέλανι γραφικῷ περίχριε· ἢ λιβανωτὸν λευκὸν ὕδατι διεὶς κατάχριε· καὶ

5 excoriations produites par les chaussures. Le cuir de vieux souliers brûlé ne sert de rien contre les plaies enflammées, mais il est utile quand l'inflammation a cessé; en effet, cette espèce de cendre est desséchante; de l'oignon trituré avec de la graisse de poule produit le même effet.
6-7 Brûlez et triturez des noix de galle et saupoudrez-en les plaies. Délayez du suc d'acacia dans du vinaigre et employez-le comme liniment.

6. CONTRE LES BRÛLURES.

1 Les brûlures exigent l'emploi de médicaments modérément détersifs, mais qui n'exercent pas d'action échauffante ou refroidissante manifeste.
2 Par conséquent, la terre de Chios, celle de Cimole et toute espèce de terre légère, produisent un effet salutaire et empêchent les bulles de se former, si l'on en fait un liniment, en y ajoutant du vinaigre peu âcre ou étendu d'eau; il en est de même d'un œuf cru, qu'on applique immédiatement, en le plaçant sur de la laine douce; ce remède refroidit modérément et dessèche sans causer de picotements; vous pouvez aussi enduire les alentours de la brûlure d'encre à écrire; un cata-

2. θερμαίνοντα BP. — CH. 6; l. 11. καί ante ἀδήκτως om. ABP. — Ib. ἢ om. BFP. — 11-12. μέλαν γραφικόν A 1[a] m. BFP. — 12. ἢ... κατάχριε om. BFP.

φακὸν ἑψήσας καὶ λεάνας κατάπλασσε· ἄλευρον λεπτὸν ᾠοῖς ὠμοῖς μίξας ἐπιτίθει· ἐλαίας ἁλμάδας μετὰ ἀλφίτων λεάνας κατάπλασσε. Πρὸς δὲ τὰ ἤδη πεφλυκταινωμένα ῥοῦν καὶ ἄλφιτα τρίψας μετὰ 3
ὄξους κατάπλασσε· κονίαν ἄσβεστον κηρωτῇ μιγνὺς καὶ εἰς ὀθόνιον
5 ἐμπλάσσων ἐπιτίθει. Τὰ δὲ ἡλκωμένα πράσοις λείοις κατάπλασσε· 4
ἢ ἀνδράχνην τρίψας μετὰ ἀλφίτων κατάπλασσε· ἢ φακῷ ἑφθῷ λείῳ
μετὰ μέλιτος κατάπλασσε. Περιστερᾶς κόπρον εἰς ὀθόνην εἰλήσας 5
κατάκαυσον ἕως τέφρα γένηται, καὶ διεὶς ἐλαίῳ χρῶ. Θαυμαστὸν 6
φάρμακον πίτυος ἢ πεύκης φλοιὸς, ἢ ἀδίαντον ξηρὸν λεῖον, ἢ μυρ-
10 σίνης φύλλα κατακεκαυμένα λεῖα· ποιεῖ δὲ τούτων ἕκαστον καὶ μετὰ
κηρωτῆς συντιθέμενον. Πρὸς δὲ τὰ ἀπὸ ὕδατος κατακαύματα πρὶν 7
φλυκταίνας γενέσθαι ἐλαιῶν ἁλμάδων ὕδωρ συνεχῶς κατάντλει, ἢ καὶ
αὐτὰς τὰς ἁλμάδας τρίψας ἐπιτίθει· ἢ συπληρίαν σχιστὴν τρίψας

plasme de lentilles bouillies et triturées convient également; il en est de même de la farine fine délayée avec des œufs crus; faites encore un cataplasme d'olives marinées triturées avec de l'alphiton. Contre les brûlures 3
sur lesquelles il s'est déjà formé des phlyctènes, vous emploierez un cataplasme de sumac et d'alphiton triturés avec du vinaigre; ajoutez de la chaux vive à du cérat et appliquez ce mélange étendu sur un linge. Ap- 4
pliquez sur les brûlures ulcérées un cataplasme de poireaux triturés, ou de pourpier trituré avec de l'alphiton, ou de lentilles triturées avec du miel. Enroulez dans un linge des excréments de pigeon, brûlez-les jus- 5
qu'à ce qu'ils soient réduits en cendres, et employez-les délayés dans de l'huile. L'écorce du pin ordinaire ou du pin à torches, le capillaire des- 6
séché et trituré, les feuilles de myrte brûlées, sont des remèdes merveilleux; chacun de ces médicaments mis en réserve avec du miel agit de la même façon. Contre les brûlures produites par l'eau, on fera cons- 7
tamment, avant qu'il se soit formé des phlyctènes, des affusions avec l'eau d'olives marinées, ou bien on appliquera ces olives elles-mêmes, après les avoir triturées, ou encore on emploiera un liniment fait d'alun de

1-2. ἄλευρον..... κατάπλασσε om. BFP. — 4-7. εἰς..... κόπρον om. F. — 6-7. Ἢ ἀνδράχνην..... καταπλ. om. BP.; ἢ φακῷ..... κατάπλ. om. A text. — 11. τά om. BP. — 12. ἢ om. BFP.

μετὰ ὄξους ἐπίχριε· ἢ κόλλῃ ταυρείᾳ μετὰ ὕδατος δαψιλοῦς τετηκυίᾳ κατάχριε· ἤ, ὡς Ἀδαμάντιος ἐθεράπευε, βολβοὺς κρίνων μετὰ ῥοδίνου τρίψας καὶ ποιήσας γλοιῶδες κατάχριε.

ζ'. Πρὸς ἐξανθήματα.

1 Ἐξανθήματα γίνεται παχέων χυμῶν ἐν τῷ δέρματι σφηνωθέντων,
2 καὶ πλέον κατὰ τὴν ἐπιδερμίδα πυκνὴν οὖσαν. Χρὴ οὖν αὐτοὺς κε- 5
νοῦν διὰ τοῦ δέρματος, καὶ μὴ πόῤῥω περισπᾶν εἰς τὸ βάθος ἐπὶ
3 τῷ διὰ γαστρὸς ἢ ἐμέτων κενῶσαι. Καὶ μή τις ὑπολαμβάνῃ συμβου-
λεύειν με μηδέποτε καθαίρεσθαι τοὺς τοιούτους διὰ γαστρός· δεῖ γὰρ
ἐπὶ ὧν πλῆθος ὑπόκειται χυμῶν καθαίρειν· εἰ γάρ τις μὴ πράξας
τοῦτο πρότερον ἐπιχειροίη διαφορεῖν, ἐμφράξει μᾶλλον ἢ κενώσει 10
4 διὰ τοῦ δέρματος τοὺς χυμούς. Ἀλλὰ τήν γε θεραπείαν τῶν ἐμπε-
πλασμένων τῷ δέρματι χυμῶν διὰ τῶν πυριώντων τε καὶ θερμαι-

plume trituré avec du vinaigre; faites aussi un liniment avec de la colle de taureau fondue dans une grande quantité d'eau, ou, si vous voulez suivre le traitement préconisé par Adamantius, triturez des oignons de lis avec de l'huile aux roses, et faites-en un liniment, en lui donnant la consistance de la crasse des baignoires.

7. DES EFFLORESCENCES.

1 Les efflorescences se forment quand des humeurs épaisses sont en-
2 clavées dans la peau, et surtout dans l'épiderme, qui est compacte. On évacue ces humeurs à travers la peau et on ne leur fait pas subir une révulsion lointaine vers la profondeur du corps pour les évacuer par les
3 selles ou par les vomissements. Qu'on ne suppose pas cependant que je conseille de ne jamais purger par les selles les gens qui ont des efflorescences; car, chez les malades qui ont une surabondance d'humeurs, il faut purger; en effet, si on essaye, avant la purgation, de dissiper ces humeurs, on aggravera l'obstruction, loin de les évacuer par la peau.
4 Mais le traitement des humeurs enclavées dans la peau doit se faire à l'aide des substances qui fomentent et échauffent, surtout quand les

1-2. ἤ..... κατάχριε om. BP — 7. διὰ ἐμέ- των BP. — 8. τοὺς τοιούτους χύμους Cu. 7; l. 6. διασπᾶν BP. — BP. — 9. κατάκειται BP.

νόντων ποιητέον, καὶ μάλιστα ὅταν πλατέα τυγχάνῃ ὄντα τὰ ἐξανθήματα· τὰ γὰρ τοιαῦτα δηλοῖ τὸν χυμὸν οὐ θερμὸν καὶ λεπτὸν ὑπάρχειν, ἀλλὰ ἱκανῶς ψυχρὸν καὶ παχύν. Δάφνης οὖν φύλλων 5
ἁπαλῶν καὶ πηγάνου καὶ μάννης ἴσον ἑκάστου τρίψας καὶ διεὶς ἐν
5 ἐλαίῳ κατάχριε. Σταφίδα ἀγρίαν φώξας καὶ τρίψας καὶ λιβανωτὸν 6
μετὰ ἐλαίου διεὶς ἐπάλειφε· ἢ σεῦτλον ἁπαλὸν ἑψήσας καὶ τρίψας
κατάπλασσε· κηροῦ ∠η', θείου ἴσον, ἁλὸς ∠ς. Τὰ ξηρὰ τρίψας 7
καὶ ἐπιχέας ἐλαίου κοτύλης ἥμισυ, πάντα ὁμοῦ ἕψει, καὶ γενομένων
ἐμπλαστῶν χρῶ· προσεδρεύειν δὲ χρὴ τῇ ἑψήσει· ἀγαθὸν σφόδρα
10 τὸ φάρμακον.

η'. Περὶ κνησμῶν.

Κνησμοὺς κατασκευάζειν μὲν χρὴ ὅταν ἐκ τοῦ βάθους προκαλέσασθαι δέον ἢ χυμούς· κωλύειν δὲ ὅταν περὶ τὰ κνώμενα μόρια κίν- 1

efflorescences sont larges: cette forme indique que l'humeur n'est pas chaude et ténue, mais suffisamment froide et épaisse. Triturez quantités 5 égales de feuilles tendres de laurier, de rue et de la poussière d'encens, délayez le tout dans de l'huile et faites-en un liniment. Triturez 6 de la staphisaigre torréfiée, délayez de l'encens dans de l'huile et faites un liniment de ces deux substances; ou bien encore employez un cataplasme de feuilles de bette tendres, bouillies et triturées; cire et soufre, de chacun huit drachmes, sel six drachmes. Triturez les subs- 7 tances à sec, versez dessus un demi-cotyle d'huile, faites bouillir le tout ensemble et employez ce mélange quand il a acquis la consistance d'un emplâtre; il faut insister longtemps sur la cuisson; c'est un remède tout à fait bon.

8. DES DÉMANGEAISONS.

On provoque des démangeaisons lorsqu'il est nécessaire d'appeler des 1 humeurs de la profondeur du corps, et on les réprime lorsqu'il y a danger que les parties frappées de démangeaison ne deviennent le siége

1. ὄντα τά om. BFP. — 4. ἑκάστῳ BFP. — 5-6. καὶ λιβ... τρίψας om. BP. BFP. — 4-5. καὶ διεὶς... τρίψας om. — 6. ἄλειφε F. — Ib. ἢ Paul.; om. AF.

δυνος ἢ ψώρας ἢ λέπρας, ἤ τινα τῶν κακοήθων ἑλκῶν συσΊῆναι· κωλύσεις δὲ ἢ διὰ φαρμάκων ἀποκρουόμενος, ἢ διὰ τοῦ καρτερεῖν κνησΊιῶντα καὶ μὴ ψαύειν· παύεσθαι γὰρ πέφυκεν ἡ κνῆσις καὶ
2 οὕτως. Πρὸς δὲ τοὺς ψωρώδεις κνησμοὺς θαλάσσῃ θερμῇ, ἢ ὄξει θερμῷ λοῦε, ἢ σικύου ἀγρίου ἀφεψήματι ὁμοίως· ἢ ἀμπέλου πα- 5
λαιᾶς φλοιὸν φρύξον ἐπὶ ὀσΊράκου, καὶ τρίψας προεπαλείψας τε τὸν ψωριῶντα τόπον βουτύρῳ ἐπίπασσε τοῦτο καὶ κατάδει, χρῶ τε τῷ
3 φαρμάκῳ μέχρις ἂν ὑγιασθῇ. Τὸ δὲ ὄπιον μετὰ ὑγρᾶς κηρωτῆς συναλειφόμενον τοὺς κνησμοὺς καὶ τὰ ψυδράκια παρηγορεῖ.

θ'. Περὶ φλυκταινῶν.

1 Καὶ τὰς φλυκταίνας δὲ ὀξείᾳ βελόνῃ τιτρᾷν προσήκει κατὰ ὑπόρ- 10
ρυσιν, εἶτα ἐκθλίβειν πράως τὸ ὑγρὸν, ἐῶντα τὸ δέρμα προσκείμενον, κἂν πληρωθῇ μύσαντος τοῦ τρήματος ἡ φλύκταινα πάλιν, πάλιν

de la *psore*, de la *lèpre*, ou de quelque ulcère de mauvaise nature; or on les réprime soit en les répercutant avec des médicaments, soit en résistant à l'envie de se gratter et en ne touchant pas aux parties qui
2 démangent; car la démangeaison peut cesser aussi de cette façon. Contre les démangeaisons qui tiennent de la nature de la *psore*, on prescrit un bain d'eau de mer chaude, ou de vinaigre chaud, ou d'une décoction de concombre sauvage; grillez sur un morceau de poterie l'écorce d'un vieux cep de vigne et saupoudrez-en la partie affectée de *psore*, après l'avoir frictionnée et enduite de beurre; puis appliquez un bandage et
3 continuez ce traitement jusqu'à ce que la partie soit guérie. L'opium combiné au cérat liquide et employé comme liniment apaise les démangeaisons et dissipe les petites vésicules.

9. DES PHLYCTÈNES.

1 On perce les phlyctènes avec une aiguille aiguë, au point le plus déclive, puis on exprime doucement le liquide, en laissant la peau appliquée aux parties sous-jacentes; et, quand la bulle se remplit de nouveau, parce que le trou s'est bouché, on le perce et on exprime encore une

6. προεπαλείψας om. BP. — 7. δέ ABP. — 12. τρήματος] δέρματος A 1[3] m. — Ib. πάλιν, πάλιν e conj.; πάλιν ἐκ δευτέρου Gal.; πάλιν Codd.

αὐτὴν δεῖ τιτρᾶν ὁμοίως, καὶ ἐκθλίβειν καὶ φυλάττειν τὸ δέρμα προσπαλὲν ἄχρις ἂν ἐπουλωθῇ τὸ ὑπὸ αὐτῷ ἠλκωμένον. Πρὶν μὲν οὖν 2
ἐκραγῆναι τὰς φλύκτεις ἑφθῷ φακῷ λείῳ μετὰ ὕδατος κατάπλασσε· ἢ ῥοιᾶς ῥαβδία χλιαίνων ἐν τέφρᾳ θερμῇ προσλίθει καὶ κατόπτα
5 τοὺς τόπους. Ἐὰν δὲ ἐκραγῶσι καὶ ἕλκος γένηται, σπέαρ ὕειον τήξας 3
μετὰ φακῆς λείας εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει· ἢ κρίνου ῥίζας ἑψήσας ἐν ὕδατι καὶ τρίψας μετὰ κηρωτῆς ἐπιτίθει.

ι'. Περὶ ἀναῤῥηγνυμένων ἑλκῶν.

Τινὰ δὲ τῶν ἑλκῶν συνουλωμένα πολλάκις μετὰ χρόνον οὐ πολὺν 1
αὖθις φλεγμαίνει τε καὶ ἀναῤῥήγνυται· πεπονθότος γὰρ ὀστοῦ τινος
10 ἐνίοτε ἡ ἐπικειμένη σὰρξ ἐπουλοῦται μὲν ῥᾳδίως καὶ ὑγιὴς εἶναι δοκεῖ τελέως, πάλιν δὲ ἰχῶρος ἐπιῤῥυέντος κατὰ ὀλίγον ἐκ τοῦ

fois le liquide de la même manière; on laisse également la peau appliquée sur la surface ulcérée jusqu'à ce que celle-ci se soit cicatrisée. Avant la rupture des phlyctènes, appliquez un cataplasme de lentilles 2
cuites et triturées avec de l'eau; ou bien chauffez dans de la cendre chaude des bâtonnets de bois de grenadier, jusqu'à ce qu'ils soient devenus tièdes; puis appliquez-les et pratiquez ainsi sur les régions malades une cautérisation légère. Mais, dans le cas où les phlyctènes se sont rom- 3
pues et qu'il s'est formé une plaie, vous appliquerez un linge enduit de graisse de porc fondue unie à des lentilles cuites et triturées; vous pouvez encore faire bouillir dans l'eau des racines de lis, les triturer avec du cérat, et appliquer le mélange.

10. DES ULCÈRES QUI SE ROUVRENT.

Certaines plaies, après s'être cicatrisées souvent, s'enflamment et se 1
rouvrent de nouveau : en effet, quelquefois, lorsqu'un os est affecté, la chair qui le recouvre se cicatrise facilement et semble être parfaitement saine; mais, comme il s'établit de nouveau peu à peu un afflux d'ichor provenant de l'os corrompu qui est situé dans la profondeur des par-

1. δεῖ τιτρᾶν ad Eun.; διατιτράν Paul.; τίθει Codd. — 9. παθόντος γάρ F; διατιτρᾶν ABP. — 4. προσλίθει BFP.

φθειρομένου κατὰ τὸ βάθος ὀστοῦ φλεγμονή τε καὶ πύον ὑπογίνεται
2 τὴν οὐλὴν ἀναξαῖνον. Τίς οὖν ἡ θεραπεία τῶν τοιούτων ἑλκῶν;
3 ξήρανσις ἐπὶ τοσοῦτον ὡς ἀποστῆναι τὸ πεπονθὸς ὀστοῦν. Ῥαδίως
οὖν ἀναπλεύσει τὰ ἐγκαθήμενα τῶν ὀστῶν, εἰ μήκωνος ἀγρίας καὶ
συκῆς φύλλα λεῖα μετὰ πάλης ἀλφίτου καὶ οἴνου καταπλάσεις, ἢ 5
4 ὑοσκυάμου σπέρμα καὶ χάλκανθον ἴσα τρίψας ἐπιθήσεις. Πευκε-
δάνου ἡ ῥίζα λεπίδας ὀστῶν ἀφίστησιν ἐν τάχει.

ια'. Περὶ κακοήθων ἑλκῶν.

1 Τὰ δὲ κακοήθη καὶ δυσεπούλωτα καὶ χρόνια καὶ σηπεδονώδη τῶν
ἑλκῶν λημνία σφραγὶς ὠφελεῖ μεγάλως· ἡ δὲ χρῆσις γίνεται κατὰ
τὸ μέγεθος τῆς τοῦ ἕλκους κακίας· τὸ μὲν γὰρ δυσῶδες καὶ λίαν 10
πλαδαρὸν καὶ ῥυπαρὸν ἀνέχεται διὰ ὄξους δριμυτάτου τῆς λημνίας
2 ἀνιεμένης εἰς πηλώδη σύστασιν. Καὶ διὰ οἴνου δὲ, ἢ ὕδατος, ἢ ὀξυ-
μέλιτος, ἢ ὀξυκράτου, ἢ μελικράτου, ἢ ὅπως ἂν ἡ χρεία κελεύσῃ,

ties, il se forme insensiblement de l'inflammation et du pus qui déchire
2 la cicatrice. Quel est donc le traitement de pareils ulcères? C'est un des-
séchement poussé assez loin pour amener l'exfoliation de l'os malade.
3 Les os engagés dans les parties se porteront facilement à la surface, si
vous appliquez un cataplasme de feuilles de pavot sauvage et de figuier
combinées à la poussière d'alphiton et au vin, ou si vous appliquez un
topique de parties égales de graines de jusquiame et de vitriol bleu tri-
4 turés ensemble. La racine de fenouil de porc accélère l'exfoliation des
écailles osseuses.

11. DES ULCÈRES DE MAUVAISE NATURE.

1 La terre sigillaire de Lemnos est très-bonne pour les ulcères diffi-
ciles à cicatriser, chroniques et putrilagineux; on en modifie l'emploi
d'après le degré de malignité de l'ulcère : en effet on traite avec succès
un ulcère impur, de mauvaise odeur et fortement pénétré de liquides,
avec de la terre sigillaire délayée dans du vinaigre âcre, de manière à
2 lui donner la consistance de la boue. C'est aussi une méthode conve-
nable que de délayer cette terre dans du vin, de l'eau, du vinaigre
miellé, de l'eau vinaigrée, de l'eau miellée, ou d'autre façon, suivant

ἐπιτήδειόν ἐστιν. Εἴ τις θυίαν ἐκ μολίβδου σκευάσας μετὰ δοίδυκος 3
μολιβδίνου ῥόδινον ἐμβαλὼν ἢ ὀμφάκινον ἔλαιον, ἢ ἀειζώου χυλὸν,
ἢ κοτυληδόνος, ἢ θριδακίνης, ἢ ψυλλίου, ἢ ὄμφακος τρίβοι ὡς
ἀνεῖναι χυλόν τινα, ἄριστον ἕξει φάρμακον πρὸς τὰ καρκινώδη καὶ
5 κακοήθη τῶν ἑλκῶν, καὶ πρὸς τὰς ἐν αἰδοίοις καὶ ὄρχεσι καὶ μα-
στοῖς φλεγμονὰς, πρός τε τὰς ἐν ἕδρᾳ μετὰ ἑλκῶν ἢ στολίδων ἀνε-
ξασμένων. Κενταύριον τὸ μικρὸν καταπλασσόμενον πρόσφατον τὰ 4
παλαιὰ καὶ δυσεπούλωτα τῶν ἑλκῶν ἀπουλοῖ καὶ τὰ κακοήθη ἰᾶται.
Κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ τὰ σφαιρία τὰ νέα καὶ 5
10 ἁπαλὰ τὰς κατὰ βάθος ὑγρότητας ἐν ταῖς πλαδαραῖς καὶ σηπεδονώ-
δεσι διαθέσεσιν ἀλύπως τε ἅμα καὶ ἀσφαλῶς ἐκβόσκεται. Κυπέρου 6
ῥίζαι τὰ διὰ ὑγρότητα πολλὴν ἑλκύδρια δυσεπούλωτα θαυμαστῶς
ὠφελοῦσιν. Κολοκύνθης ξηρᾶς κεκαυμένης ἡ τέφρα τοῖς ὑγροῖς ἅμα 7
καὶ χωρὶς φλεγμονῆς σηπομένοις ἁρμότει, καὶ μάλιστα τοῖς ἐπὶ

que l'exigera chaque cas particulier. De l'huile aux roses ou de l'huile 3
d'olives vertes, ou du suc de joubarbe, de cotylédon, de laitue, de pulicaire ou de raisin vert, mis dans un mortier en plomb et triturés ensuite avec un pilon également en plomb, de manière que le plomb lâche une espèce de suc, constituent un excellent remède contre les ulcères carcinomateux, les ulcères de mauvaise nature, les inflammations du membre génital, des testicules, des mamelles et du siége, qui sont accompagnées d'ulcères ou de plis éraillés. Un cataplasme de petite 4
centaurée fraîche recouvre d'une cicatrice les vieux ulcères et les ulcères difficiles à cicatriser, et guérit les ulcères de mauvaise nature. Les feuilles, les jeunes pousses et les boules jeunes et tendres du cyprès 5
tarissent sûrement et sans causer d'incommodité les liquides qui se trouvent profondément situés dans les affections caractérisées par de la pourriture et un excès de liquide qui pénètre les parties. Les racines de 6
souchet produisent un effet admirable sur les petits ulcères qui se cicatrisent difficilement par suite d'un excès d'humidité. La cendre de 7
courges desséchées convient aux ulcères putrides qui sont à la fois humides et sans inflammation, surtout quand ces ulcères ont leur siége au

6. τάς *Coll. med.*; *ad Eun.*: τά Codd.

8 πόσθης αἰδοίου· ὁμοίως καὶ ἀνήθου ῥίζης. Ἀρνόγλωσσον πρὸς τὰ
9 κακοήθη καὶ πρὸς ῥεύματα καὶ σηπεδόνας ἁρμότει. Ἴσατις ἡ ἥμερος
πρὸς πᾶν ἕλκος κακόηθες δρασηρίως ἀνθίσταται, κἂν σήπηται,
κἂν διαβιβρώσκηται· εἰ δέ ποτε τῆς τοῦ κάμνοντος φύσεως ἰσχυρο-
τέρα φαίνοιτο, μιγνύναι χρὴ τοῖς φύλλοις αὐτῆς λειωθεῖσιν ἢ ἄρτον, 5
ἢ κρίθινον ἄλευρον, ἢ πύρινον, ἢ ἄλφιτα κατὰ τὴν ἐπικρατοῦσαν ἐν
10 ἑκάστῳ διάθεσιν. Ὀστράκοις χρώμεθα πρὸς τὰς ἐκ ῥευμάτων χρο-
νίας καὶ δυσσαρκώτους κοιλότητας ὅσαι συριγγώδεις εἰσὶ καὶ βα-
11 θεῖαι. Ἔρια κεκαυμένα τὰς πλαδαρὰς σάρκας ἐπὶ τῶν ἑλκῶν ἀποτήκει
12 τάχιστα. Πλατάνου φλοιὸς καυθεὶς καὶ ἐπιπαττόμενος τὰ διὰ ὑγρό- 10
13 τητα πολλὴν ἕλκη πλαδαρὰ καὶ ῥυπαρὰ ἰᾶται. Πευκεδάνου ῥίζα τοῖς
κακοήθεσιν ἕλκεσιν ἄριστόν ἐστι φάρμακον ἐπιπαττομένη ξηρά· αὕτη
14 γὰρ καὶ καθαίρει καὶ σαρκοῖ καὶ ἐπουλοῖ. Ἀλοὴ τὰ δυσεπούλωτα τῶν
ἑλκῶν ἰᾶται, καὶ μάλιστα τὰ κατὰ ἕδραν τε καὶ αἰδοῖον· ὠφελεῖ δὲ

8 prépuce; il en est de même de la cendre de racine d'aneth. Le plantain
est bon contre les ulcères de mauvaise nature, contre les fluxions et
9 contre les pourritures. La guède cultivée combat efficacement tous les
ulcères de mauvaise nature, que ces ulcères soient pourris ou corrodés;
si parfois ce médicament semble trop fort pour la constitution du ma-
lade, ajoutez aux feuilles triturées de la guède du pain, de la farine
d'orge ou de froment ou de l'alphiton, suivant l'état qui prédomine
10 dans chaque cas particulier. Nous employons des écailles contre les ca-
vités qui proviennent de fluxions, qui existent depuis longtemps, et où
il est difficile de produire des bourgeons charnus, lorsque ces cavités
11 sont fistuleuses et profondes. La laine brûlée consume très-rapidement
12 les chairs pétries d'humidité qu'on trouve sur les ulcères. L'écorce de
platane brûlée guérit les ulcères impurs et pétris de liquide par suite
13 d'un excès d'humidité, si on les en saupoudre. La poudre de racine de
fenouil de porc à l'état sec est un remède excellent contre les ulcères
de mauvaise nature : en effet, cette racine nettoie, fait pousser les bour-
14 geons charnus et cicatrise. L'aloès guérit les ulcères difficiles à cicatri-
ser, surtout ceux qu'on trouve au siége et sur le membre génital; dé-

1. αἰδοίων ABP. — 2. καὶ ῥεύμ. BP. — 14. τε om. A. — Ib. δέ om. A.

καὶ τὰς φλεγμονὰς αὐτῶν ὕδατι διεθεῖσα. Παλαιὰ δὲ ἕλκη ἰᾶται κηρὸς 15
ἐν ἡλίῳ μαλαχθεὶς καὶ χαλκοῦ λεπίδα πλείστην ἀναλαβὼν, ἢ χρυσο-
κόλλαν· δεῖ δὲ εἰς ὀθόνιον ἐμπλάσσοντά τιθέναι καὶ μὴ ἀφαιρεῖν
συνεχῶς τὸ σπληνίον. Πρὸς δὲ τὰ χειρώνεια ποιεῖ χαλκοῦ λεπί- 16
5 δος ∠ι', κηροῦ τὸ ἴσον, στυπτηρίας ∠β'. Τὸν κηρὸν θερμάνας καὶ 17
μαλάξας ἀνάλαβε τὰ ξηρὰ λεῖα, καὶ εἰς ὀθόνιον ἐμπλάσας ἐπιτίθει.
Πρὸς δὲ τὰ θηριώδη σίδιον λεῖον καύσας ἐπιτίθει· ἢ στυπτηρίαν 18
σχιστὴν κεκαυμένην λείαν ἐπιτίθει. — Πρὸς τὰ θηριώδη· Ὑσσώ- 19
που ∠δ', σταφίδος ἴσον, νίτρου ∠β'· προϋποχρίσας μέλιτι τὸ ἕλκος
10 ἐπίπαττε αὐτὰ λεῖα. Τὰ δὲ σηπεδονώδη καὶ νεμόμενα τῶν ἑλκῶν 20
ἰσχυροτάτων δεῖται φαρμάκων, οἷόν ἐστι χαλκῖτις καὶ ἀρσενικὸν
καὶ τίτανος· καίει γὰρ παραπλησίως τὰ τοιαῦτα πυρὶ, καὶ πολ-
λάκις, τούτων νικωμένων, καὶ αὐτῷ τῷ πυρὶ χρώμεθα. Πράσιον 21
ἑφθὸν ἐν οἴνῳ κατάπλασσε. Ὄροβον λεῖον μετὰ μέλιτος ἐπιτίθει. 22

layé dans de l'eau, ce médicament est bon aussi pour les inflammations des mêmes parties. Les vieux ulcères sont guéris par de la cire pétrie 15 au soleil, et dans laquelle on a incorporé une très-grande quantité de battitures de cuivre ou de malachite; on étend ce médicament sur un linge et on l'applique; n'enlevez pas fréquemment l'emplâtre. Le 16 médicament suivant agit contre les ulcères chironiens : battitures de cuivre, dix drachmes; cire, même quantité; alun, deux drachmes. On 17 chauffe et on pétrit la cire, on y incorpore les substances sèches triturées; on étend le médicament sur un linge, et on l'applique. Contre 18 les ulcères férins on applique de l'écorce de grenades triturée et brûlée, ou de l'alun de plume brûlé et trituré. — *Contre les ulcères férins :* 19 hysope, quatre drachmes, et même quantité, de raisin sec; soude brute, deux drachmes. Triturez cet ingrédient et saupoudrez-en l'ulcère, après l'avoir préalablement enduit de miel. Les ulcères putrilagineux et en- 20 vahissants exigent l'emploi de médicaments très-forts, comme le cuivre pyriteux, l'orpiment et la chaux : en effet, de pareils médicaments brûlent d'une manière analogue à celle du feu, et même, s'ils ne peuvent venir à bout de la maladie, nous avons souvent recours au feu lui-même. Employez un cataplasme de poireau cuit dans du vin. Appliquez 21-22

8. Π. τὰ θηρ. om. BFP.

23 Ἐλαίας ἀπαλοῖς φύλλοις ἑφθοῖς ἐν οἴνῳ λείοις ὡσαύτως χρῶ· καταν-
24 τλητέον δὲ θαλάσσῃ θερμῇ. Τοὺς δὲ σκώληκας τοὺς ἐν τοῖς σηπε-
δονώδεσιν ἕλκεσι χυλὸς καλαμίνθης ἀναιρεῖ.

ιβ'. Πρὸς ἄνθρακας.

1 Τοὺς δὲ ἄνθρακας μελαγχολικὸν τὸ αἷμα γενόμενον καὶ ἀναζέσαν,
ἐπιφλέξαν τε τὸ δέρμα ποιεῖ· διὸ καὶ σὺν ἐσχάρᾳ γίνονται, φλυ- 5
κταίνης προηγησαμένης τοῦ ἕλκους ὡς ἐπὶ τῶν πυρικαύτων, πυρε-
2 τόν τε ὀξύτατον καὶ κίνδυνον ἐπάγουσι ταχύν. Κνησαμένων δὲ ἐνίοτε
καὶ πλείους συνίστανται φλύκταιναι σμικραὶ καὶ πυκναὶ καὶ συνε-
χεῖς ὅμοιαι κέγχροις, αἵτινες ῥηγνύμεναι ποιοῦσιν ὁμοίως ἐσχαρῶδες
τὸ ἕλκος, τῇ χροιᾷ ποτὲ μὲν τεφρώδους γενομένης τῆς ἐσχάρας, 10
ποτὲ δὲ μελαίνης· ἡ δὲ ἄλλη σὰρξ κύκλῳ φλογώδης ἰσχυρῶς καὶ
μέλαινα τῇ χροιᾷ γίνεται, καὶ στίλβουσα παραπλησίως ἀσφάλτῳ

23 de l'ers trituré avec du miel. Employez de même des feuilles tendres d'olivier bouillies dans du vin et triturées; on fera une affusion d'eau
24 de mer chaude. Le suc de *calaminthe* tue les vers qu'on trouve dans les ulcères putrilagineux.

12. CONTRE LES ANTHRAX.

1 L'anthrax provient d'un sang qui est devenu atrabilaire, qui bouillonne et qui brûle la peau: pour cette raison, au début, il s'accompagne d'une escarre, et l'ulcère est précédé d'une bulle, comme dans les brûlures par le feu; ces tumeurs amènent une fièvre suraiguë et un
2 danger pressant. Quand les malades se grattent, il se forme quelquefois de petites bulles assez nombreuses et serrées, qui se touchent et qui ressemblent à des grains de millet; quand ces bulles se rompent, elles produisent également un ulcère couvert d'escarres, l'escarre étant quelquefois de couleur cendrée, et d'autres fois de couleur noire; le reste de la chair qui l'entoure est aussi le siége d'une inflammation très-vive et prend une couleur noire; elle resplendit comme le bitume et

Ch. 12; l. 4. Τοὺς ἄνθρ. BP. — 7. ἐπάγουσι ex em.; ἐπάγει A 2ª m. BFP; ἐπάγοντος A 1ª m.; ἐπιφέρουσι Gal. — 8. μικραί BP. — Ib. καί ante πυκναί om. A. — 10-11. γενομένης..... ἄλλη om. A text. BFP.

καὶ πίσσῃ· τοιαύτη δέ ἐστιν ἡ ἀκριβῶς μέλαινα χολή. Θεραπεύοντας 3
δὲ τὸ τοιοῦτον πάθος ἀπὸ φλεβοτομίας ἄρχεσθαι προσήκει καὶ κε-
νοῦν μέχρι λιποθυμίας. Καὶ μὴν καὶ ἀποσχάζειν μετὰ φλεβοτομίαν 4
οὐκ ἀνάρμοστον βαθυτέραις ταῖς ἀμυχαῖς χρωμένους διὰ τὸ τοῦ
5 χυμοῦ πάχος. Κατὰ δὲ τοῦ πεπονθότος τοῖς ἀποκρουομένοις μετρίως 5
καὶ διαφοροῦσι χρησόμεθα· τοιοῦτον δέ ἐστι τὸ διὰ ἀρνογλώσσου
καὶ φακῆς ἑφθῆς κατάπλασμα λαμβάνον ἄρτου κλιβανίτου τὸ ἁπαλὸν,
μήτε ἄγαν καθαροῦ, μήτε ῥυπαροῦ. Κατὰ αὐτοῦ δὲ τοῦ ἕλκους ἐπι- 6
θήσομεν τῶν σφοδρῶν τι φαρμάκων, οἷόν ἐστι τὸ Ἄνδρωνος, ἀνιέντες
10 σιραίῳ ἄχρι γλοιώδους συστάσεως. Παυσαμένης δὲ τῆς φλογώσεως 7
τοῖς ἄλλοις ἕλκεσιν ὁμοίως εἰς οὐλὴν ἄξομεν τὸ ἕλκος. Παλαιὰ κάρυα 8
τὰ ἐλαιώδη πρὸς ἄνθρακας ποιεῖ, καὶ κυπαρίσσου τὰ φύλλα καὶ οἱ
βλαστοὶ καὶ τὰ νέα καὶ ἁπαλὰ σφαιρία σὺν ἀλφίτοις, καὶ σταφὶς
ἐκγεγιγαρτισμένη καὶ λειωθεῖσα, καὶ ἰσχάδες ἑφθαὶ ἐν οἴνῳ κο-
πεῖσαι.

la poix; or telle est la bile noire proprement dite. On commencera le 3
traitement de cette maladie par la saignée, et on poussera l'évacuation
jusqu'à défaillance. Il n'est pas hors de propos non plus de faire des 4
scarifications après la saignée; mais les incisions seront plus profondes
que de coutume, à cause de l'épaisseur de l'humeur. Sur la partie af- 5
fectée, nous appliquerons des médicaments qui répercutent et qui dis-
sipent modérément : tels sont le cataplasme de plantain et de lentilles
cuites, qui doit contenir la partie tendre d'un pain cuit au petit four et
qui n'est ni trop pur ni trop impur. Sur l'ulcère lui-même, on met 6
quelque médicament actif, comme est le *médicament d'Andron*, délayé
dans du vin doux cuit jusqu'à ce qu'il ait acquis la consistance de la
crasse des baignoires. Quand l'inflammation a cessé, on cicatrise l'ulcère, 7
comme cela se fait pour les autres. Les vieilles noix huileuses agissent
contre les anthrax; il en est de même des feuilles, des jeunes pousses,
des boules jeunes et tendres du cyprès, pourvu qu'on y ajoute de l'al-
phiton, des raisins secs, dont on a enlevé les pepins et qu'on a triturés
ensuite, des figues sèches bouillies dans du vin et pilées ensuite.

6. δέ ἐστι om. BFP.

ιγ'. Πρὸς καρκίνους.

1 Καὶ οἱ καρκίνοι δὲ ἐκ μελαίνης χολῆς μὴ ζεούσης συνίσ7ανται, κἂν δριμυτέρα τύχῃ, μετὰ ἕλκους· διὰ τοῦτο κατὰ τὴν χρόαν μελάντεροι τῶν φλεγμονῶν εἰσι χωρὶς θερμότητος· αἱ φλέβες δὲ πληροῦνται καὶ τείνονται πλέον ἐπὶ αὐτῶν ἢ ἐπὶ τῶν φλεγμονῶν, οὐδὲ αὐταὶ παραπλησίως ταῖς φλεγμοναῖς ἐρυθραὶ τυγχάνουσαι, 2 κατὰ τὸν χυμὸν δὲ τὴν χρόαν ἔχουσαι. Διὰ δὲ τὸ πάχος τοῦ χυμοῦ τούτου καὶ ἀνίατος ὁ καρκίνος ἐσ7ὶ, μήτε ἀποκρουσθῆναι δυνάμενος, μήτε διαφορηθῆναι, μήτε ἐπὶ ταῖς καθάρσεσιν ὅλου τοῦ σώματος εἴκων, καὶ τῶν μὲν πρᾳοτέρων φαρμάκων ἐπιτιθεμένων καταφρονῶν, 3 ὑπὸ δὲ τῶν σφοδροτέρων παροξυνόμενος. Δυνατὸν μὴν τοὺς ἀρχομένους καρκίνους κωλύειν αὔξεσθαι καθαίροντας τὸν μελαγχολικὸν χυμὸν πρὶν ἐν τῷ πεπονθότι μορίῳ σ7ηριχθῆναι· κενώσομεν δὲ ἢ

13. CONTRE LES CARCINOMES.

1 Les carcinomes proviennent aussi de la bile noire, mais d'une bile noire qui ne bouillonne pas; si cette humeur présente un excès d'âcreté, il se forme des carcinomes ulcérés; pour cette raison, les carcinomes sont aussi d'une couleur plus noire que les inflammations, et ils n'ont pas de chaleur; sur ces tumeurs, les veines sont aussi plus pleines et plus tendues que sur les tumeurs inflammatoires; ces vaisseaux ne sont pas non plus rouges, comme dans les cas d'inflammation, mais leur couleur correspond à celle de l'humeur dont les carcinomes dépen-
2 dent. A cause de l'épaisseur de cette humeur, le carcinome est incurable, attendu qu'elle ne saurait être ni répercutée ni dissipée, qu'elle ne cède pas aux purgations de tout le corps, qu'elle se rit des médicaments plus ou moins doux qu'on pourrait appliquer, tandis qu'elle éprouve des exacerbations sous l'influence des médicaments plus actifs.
3 Cependant il est possible d'empêcher les carcinomes commençants de faire des progrès, en purgeant la bile noire avant qu'elle se fixe dans la partie affectée; or nous évacuons cette humeur soit à l'aide de

Ch. 13; l. 12, δέ om. BFP.

διὰ τῶν ἁπλῶν τινος, οἷόν ἐστι τὸ ἐπίθυμον πλῆθος ∠δ' ἐν ὀρῷ γάλακτος, ἢ μελικράτῳ διδόμενον, ἢ διὰ τῆς ἱερᾶς τὸν μέλανα ἐλλέβορον λαμβανούσης. Ἐπὶ δὲ τοῦ πεπονθότος τόπου προσαγόμενον 4
ἀλύπως ποιεῖ ἐπὶ τῶν ἡλκωμένων στρύχνου, χυλὸς ὀθονίου μαλακοῦ
5 διπλύχου ἢ τριπλύχου δευομένου τῷ χυλῷ ἐπιτιθεμένου πολλῷ. Δεῖ 5
δὲ ἔξωθεν κατὰ αὐτοῦ καὶ ἔριον ἁπαλὸν περιβάλλειν δευόμενον καὶ αὐτὸ τῷ χυλῷ· προνοεῖν δὲ ὅπως μὴ ξηρανθῇ ταῦτα, συνεχέστερον ἐπαντλουμένου τοῦ χυλοῦ. Χρήσαιτο δὲ ἄν τις δεόντως ἐπὶ τῶν ἡλ- 6
κωμένων καρκίνων καὶ τῷ διὰ πομφόλυγος· διαιτάσθω δὲ ὁ πάσχων
10 ἔν τε χυλῷ πτισάνης πλεονάζων καὶ γάλακτος ὀρῷ, καὶ λαχάνων μαλάχῃ καὶ ἀτραφάξυϊ, βλίτῳ τε καὶ κολοκύνθῃ, καὶ τοῖς πετραίοις τῶν ἰχθύων καὶ πᾶσιν ὄρνισι πλὴν τῶν ἑλείων.

quelque médicament simple, comme l'agourre, qu'on donne à la dose de quatre drachmes, dans du petit-lait ou de l'eau miellée, soit à l'aide du *purgatif sacré*, qui, dans ce cas, doit contenir de l'ellébore noir. Quant aux remèdes qu'on applique sur la partie affectée, le suc de mo- 4
relle produit un effet efficace et peu pénible, quand on en imbibe largement un linge doux plié en deux ou en trois et qu'on applique ce linge sur les carcinomes ulcérés. A l'extérieur, on entoure ce linge de 5
laine molle, trempée également dans ce suc; mais, pour que ni le linge ni la laine ne se dessèchent, il convient de pratiquer assez souvent des affusions avec le même suc. On pourra aussi employer convenablement 6
sur les carcinomes ulcérés le *médicament aux fleurs de zinc;* quant au régime à suivre, le malade usera en abondance de crème d'orge mondée et de petit-lait; en ce qui concerne les légumes, il se nourrira de mauve, d'arroche, de blite et de courges; il mangera aussi des poissons de roche et des oiseaux de tout genre, à l'exception toutefois des oiseaux de marais.

2. μελικράτου A. — 4. χυλόν A. — 5. διπλύχου ἢ τριπλύχου om. BFP. — 6. δευθέντος BFP. — 6. ἐπιτιθεμένου πολλῷ om. BFP. — 6. δε]δέον BP. — 6-7. καὶ αὐτῷ τῷ χυλῷ BP. — 8. τῷ χυλῷ A. — 9. τό Codd.

ιδ'. Πρὸς σαρκοθλάσματα καὶ ἐκχυμώματα.

1 Σαρκὸς θλασθείσης ὑπό τινος βαρέος ἐμπεσόντος, καὶ τῶν σμικρῶν ἐν αὐτῇ φλεβίων διαιρεθέντων, αἷμα προχεῖται κατὰ διαπήδησιν, ὅπερ ἀθροιζόμενον ὑπὸ τῷ δέρματι ποιεῖ τὸ καλούμενον
2 ἐκχύμωμα μὴ διαιρεθέντος τοῦ δέρματος. Σκοπὸς οὖν ἐστιν ἡμῖν διαφορῆσαι τὸ θρομβωθὲν αἷμα, καὶ τοῦτο συντόμως πρὶν μελαν- 5 θῆναι· κατὰ ἀρχὰς δὲ καὶ τῶν στυπτικῶν τι παραπλέκειν χρὴ τοῖς διαφοροῦσι διὰ τὸ τοὺς χιτῶνας τῶν φλεβίων τεθλάσθαι καὶ χρῄζειν πυκνώσεως· μετὰ γὰρ ταῦτα καὶ χωρὶς τοῦ στύφειν τοῖς διαφορη-
3 τικοῖς μόνοις χρησόμεθα. Καὶ ἀποσχάζοντες δὲ ἐν ἀρχῇ τὰ ἐκχυ-
4 μώματα, οὕτω τὴν ἑξῆς θεραπείαν προσάγομεν. Εἶδος δέ ἐστι τῶν 10 ἐκχυμωμάτων καὶ τὰ καλούμενα ὑπώπια καὶ τὰ ὑποσφάγματα καὶ ἡ

14. REMÈDES CONTRE LES CONTUSIONS DE LA CHAIR ET LES ÉPANCHEMENTS SOUS-CUTANÉS.

1 Quand la chair a été contusionnée par quelque objet lourd, et que les petites veines qu'elle contient ont été divisées, le sang s'extravase par transsudation, et forme, en s'accumulant sous la peau, ce qu'on
2 appelle une *ecchymose*, sans qu'il y ait division de la membrane. Dans ce cas, l'indication à remplir est de dissiper le sang coagulé, et d'obtenir rapidement ce résultat, avant que le sang soit devenu noir; cependant, au commencement, on ajoutera aussi quelque ingrédient astringent aux substances dissipantes, parce que les tuniques des petites veines ont été contusionnées et exigent qu'on les resserre; en effet, plus tard on em-
3 ploiera les dissipants seuls, sans resserrer. Au commencement, on fait aussi des scarifications sur les ecchymoses, après quoi on passe au trai-
4 tement consécutif. Les extravasations de sang au-dessous des yeux, dites *hypopia*, ainsi que celles qui se forment dans l'intérieur de ces organes

CH. 14; l. 1. θλασθείσης ex em.; θλάσης F; θλάσις BP; θλάσιν A. — Ib. τῶν om. BFP. — 2. διαιρεθέτεων ex em.; διακριθέντων Codd. — 4. ἐστιν om. BP. — 5 6. μελανθῇ BP. — 6. καί om. ABP. — 8. μετὰ δὲ ταῦτα A. — Ib. τοῦ στύφειν om. BP. — 10. οὕτω om. A. 11. ὑποφράγματα BP.

κατὰ τοὺς ὄνυχας ὑποδρομὴ τοῦ αἵματος ἐκ πληγῆς γινομένη. Δέρμα 5
προβάτου νεοσὶ ἐκδεδαρμένου τοῖς μεμασιγωμένοις περιτεθὲν
θεραπεύει παντὸς μᾶλλον ἐν ἡμέρᾳ μιᾷ καὶ νυκτί. Ὑδροπέπερι ἅμα 6
τῷ καρπῷ καταπλασσόμενον ὑπώπιά τε καὶ τοὺς ἐσκιῤῥωμένους
5 ὄγκους διαφορεῖ.

ιε'. Περὶ ῥήγματος καὶ σπάσματος.

Τὰ ῥήγματα σὺν ἐκχυμώσει μὲν γίνεται πάντως· ἰᾶται δὲ αὐτὰ 1
τῶν φαρμάκων τὰ μετρίως θερμαίνοντα· τοιοῦτον δέ ἐσι τὸ διὰ
τῶν αἰγείρων ἄκοπον καὶ ὅσα τούτῳ ὅμοια. Δεῖ δὲ ἐπὶ τῶν ἐν βάθει 2
τοῦ σώματος ῥηγμάτων ἐπιτείνεσθαι τὴν δύναμιν τῶν φαρμάκων ὡς
10 δριμύτερα καὶ τμητικώτερα προσάγεσθαι. Ὠφέλιμος δὲ ἐπὶ τῶν 3
τοιούτων καὶ ἡ τῆς σικύας χρῆσις. Ἐὰν μὲν οὖν εὐθὺς διαφορηθῇ τὸ 4

et l'accumulation de sang qui a lieu sous les ongles, par suite d'une violence extérieure, appartiennent au genre des ecchymoses. La peau d'une 5
brebis récemment écorchée placée sur les parties lésées guérit mieux qu'aucun autre remède, dans l'espace d'un jour et d'une nuit, les gens qui ont été fouettés. Si on emploie, sous forme de cataplasme, le piment 6
d'eau avec le fruit de cette plante, il dissipe les ecchymoses des paupières inférieures, ainsi que les tumeurs qui se sont transformées en squirre.

15. DES DÉCHIRURES DES MUSCLES ET DES TENDONS.

Les déchirures des muscles sont toujours accompagnées d'une ecchy- 1
mose, et on les guérit à l'aide de médicaments modérément échauffants; tel est le *médicament au peuplier noir contre la fatigue*, ainsi que tous ceux qui lui ressemblent. Quand les déchirures atteignent les muscles des 2
parties profondes du corps, on emploie des médicaments plus actifs, c'est-à-dire des substances plus âcres et plus incisives que dans les autres déchirures. L'usage de la ventouse est utile aussi dans ces cas. Si l'ec- 3-4
chymose disparaît immédiatement, la chair qui est le siége de l'écarte-

1. γινομένης BP; γινόμενα A. — 3. ἐκχυμώσεσι BFP. — Ib. αὐτῶν BP. — παντὸς μᾶλλον om. BP. — Ib. καὶ νυκτί] 7. τὰ δέ A; τῶν BP. 8. ἐν τῷ βάθει BP. μᾶλλον τῶν ἄλλων BP. — Ch. 15; l. 6.

ὅλον ἐκχύμωμα, συμφύεται ῥᾳδίως ἡ διασῖᾶσα σάρξ· ἐὰν δὲ χρονίσῃ, καὶ ῥύπος ὑποτραφῇ, συμφυῆναι τὰ ῥήγματα λοιπὸν ἀδύνατον, παρατίθεται δὲ ἀλλήλοις τὰχείλη μόνον, ὡς καὶ μικρὰν προφασιν ῥᾳδίως αὐτὰ διισῖᾶν, ἐμπίπλασθαί τε τὴν μεταξὺ χώραν αὐτῶν ὑγρότητός τινος καὶ τρόπον τινὰ συνεχῶς ἐκχύμωμα γίνεσθαι παραπλήσιον τῷ κατὰ ἀρχὰς, πλὴν ὅτι θᾶτῖον ἐκείνου διαφορούμενον, ἅτε ἰχῶρα λεπῖὸν περιέχον, τοῦ κατὰ ἀρχὰς ἐξ αἵματος συνισῖαμένου. Τὸ δὲ σπάσμα γίνεται διασπωμένων τινῶν ἰνῶν, καὶ παρηγορίας δεῖται μόνης ἄχρις ἀνωδυνίας· κολληθῆναι γὰρ αὐτὰς οὐ δυνατόν. Ἀρισῖολοχία σῖρογγύλη ῥήγμασι καὶ σπάσμασιν, εἴ περ τι καὶ ἄλλο, ἐπιτήδειον, κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα ὁμοίως καὶ ὁ χυλὸς αὐτῆς, ῥῆον, κόσῖος, βδέλλιον σὺν ὀξυμέλιτι πινόμενον.

ment se recolle facilement; mais, si les déchirures existent depuis longtemps, si peu à peu de la crasse s'y est accumulée, il est dorénavant impossible de les guérir; on ne peut qu'appliquer l'un contre l'autre les bords de ces déchirures : d'où il résulte qu'une cause légère peut les écarter de nouveau, que l'espace intermédiaire entre eux se remplit de liquide, et que, pour ainsi dire, il se forme continuellement de nouvelles ecchymoses qui ressemblent à l'ecchymose primitive, à cette exception près que les nouvelles se dissipent plus rapidement que la première, parce qu'elles contiennent un liquide séreux et ténu, tandis que l'ecchymose primitive était formée de sang. Le *spasme* (déchirure des parties fibreuses) a lieu quand certaines fibres éprouvent un tiraillement; cet accident n'exige qu'un traitement sédatif, qu'on pousse jusqu'à faire cesser la douleur; car il est impossible de recoller ces déchirures. L'aristoloche ronde convient mieux qu'aucun autre remède contre les déchirures des muscles et des parties fibreuses; les mêmes propriétés appartiennent à la racine de grande centaurée ainsi qu'au suc de cette plante, au rhapontic, au costus et au bdellium, pour le dernier médicament, quand on le combine au vinaigre miellé pour en faire une boisson.

12. ῥᾶον A; ῥέον BP; ῥᾶ ποντικόν Aët.

ις'. Πρὸς σπρέμματα καὶ θλάσματα.

Πρὸς σπρέμματα καὶ θλάσματα ποιεῖ ἔρια οἰσυπηρὰ, σπόγγος 1
ὀξελαίῳ βρεχόμενος καὶ ἐπιτιθέμενος, βολβῶν ἑφθῶν τὰ ἁπαλὰ μετὰ
μέλιτος ἢ κηρωτῆς, ἅλας λεῖον καὶ ἄλευρον μετὰ μέλιτος, ἄγνου
φύλλα καὶ ἅλας καὶ νίτρον ὀπτὸν λεῖα μετὰ κηρωτῆς. Χρῶ δὲ καὶ 2
5 καταντλήσει ὕδατος ἢ θαλάσσης θερμαίνων· μετὰ δὲ τὸ παύσασθαι
τὴν φλεγμονὴν καὶ τοὺς πόνους καὶ ἀνατρίψει χρῶ τῶν ἐσπραμμέ-
νων μερῶν.

ιζ'. Ὅσα σκόλοπας, ἀκίδας, ἀκάνθας ἀνάγει.

Ἀκίδας καὶ καλάμους καὶ ἀκάνθας, ἔτι δὲ καὶ σκόλοπας ἐπισπῶν- 1
ται ἀναγαλλίδες αἱ δύο, ἀριστολοχία, ἀμμωνιακὸν σὺν μέλιτι, ὑοσ-
10 κυάμου καρπὸς λεῖος καταπλασσόμενος. Καλάμου ῥίζας κόψας καὶ 2

16. REMÈDES CONTRE LES ENTORSES ET LES CONTUSIONS.

La laine en suint agit contre les entorses et les contusions; il en est 1
de même d'une éponge qu'on applique trempée dans un mélange
d'huile et de vinaigre, des parties tendres des oignons de vaccet, qu'on
emploiera avec du miel ou du cérat, d'une combinaison de sel trituré
et de farine avec du miel, d'un mélange de feuilles de gattilier, de sel
et de soude brute grillée; on triture ces ingrédients et on les applique
avec du cérat. Ayez aussi recours à une affusion chaude, soit d'eau 2
simple, soit d'eau de mer; quand l'inflammation et la douleur ont cessé,
on soumettra aussi aux frictions les parties qui sont le siége de distor-
sion.

17. REMÈDES QUI CHASSENT LES CHEVILLES, LES POINTES D'ARMES ET LES ÉPINES.

Les deux espèces de mouron, l'aristoloche, la gomme ammoniaque 1
combinée au miel, ainsi qu'un cataplasme de graines de jusquiame tri-
turées, attirent les pointes d'armes, les roseaux, les épines, et aussi les
chevilles. Pilez des racines de roseau odorant, ajoutez-y du miel, éten- 2

Cn. 16; l. 1. δὲ καί ABP. — 3. λεῖον om. BFP. — 5. ἢ ad Eun.; om. Codd.

μέλιτι μίξας εἰς ὀθόνιον ἐμπλάσσων δαψιλῶς ἐπιτίθει καὶ κατάδει· συντόμως γὰρ ἀνάγει.

ιη'. Περὶ παρωνυχιῶν.

1 Τὴν παρωνυχίαν μικρὰν οὖσαν ἔτι καὶ ἀρχομένην κηκὶς μετὰ μέλιτος κατασΊέλλει καὶ κωλύει συσΊῆναι· γενομένην δὲ ἤδη τὴν παρὰ φύσιν σάρκα σκοπός ἐσΊι διὰ τῶν ἀδήκτων ἀναλῶσαι καὶ 5
2 τῆξαι. Ποιεῖ δὲ πρὸς παρωνυχίας ὅ τε τῶν ὤτων ῥύπος καὶ τὸ
3 λύκιον. Ἐκπυηθεῖσαν δὲ κεντήσας καὶ τὸ ὑγρὸν ἐκχέας, σπογγίον ἐν ὕδατι βρέξας ἐπιτίθει· ἢ κατάπλασσε φακῷ μετὰ ὕδατος λείῳ· ἢ ῥόδοις χλωροῖς ἢ ξηροῖς ἀποβεβρεγμένοις ὕδατι λείοις κατάπλασσε·
4 ἢ ἀλφίτῳ λείῳ μετὰ ὕδατος. Δεῖ δὲ καὶ διασΊέλλειν τὴν σάρκα παν- 10
5 ταχόθεν ἀπὸ τοῦ ὄνυχος ξύσμασιν ὀθονίου. Τοὺς δὲ τεθλασμένους ὄνυχας μυρσίνης καὶ ῥοιᾶς φύλλοις ἁπαλοῖς λείοις κατάπλασσε.

dez une grande quantité de ce mélange sur un linge, puis appliquez le linge et entourez la partie d'un bandage, car ce remède chasse vite.

18. DE LA PARONYCHIE (*ONGLE INCARNÉ?*).

1 Si la paronychie est encore peu considérable et ne fait que commencer, on la réprime et on l'empêche de se former en appliquant des noix de galle avec du miel; mais, quand la chair contre nature s'est déjà développée, l'indication consiste à la consumer et à la fondre à l'aide de
2 médicaments qui ne causent pas de picotements. Le cérumen des oreilles et le suc de petit nerprun ont de l'efficacité contre la paronychie.
3 Quand la suppuration s'est complétement établie, faites une piqûre, évacuez le liquide et appliquez ensuite une éponge trempée dans de l'eau; *Autre :* cataplasme de lentilles triturées dans de l'eau; *Autre :* cataplasme de roses fraîches ou desséchées, macérées dans de l'eau et
4 triturées ensuite, ou cataplasme d'alphiton trituré avec de l'eau. Il convient de séparer aussi entièrement la chair de l'ongle avec des raclures
5 de linge. Contre la contusion des ongles on emploie avec succès un cataplasme de feuilles de myrte et de grenadier tendres triturées ensemble.

2. γάρ om. BFP. — Ch. 18; l. 3. — 7. σπόγγον ABP. — 8. ἐν om. AF. ἔτι om. BP. — 6. δὲ καὶ πρός BP. — 10. καί om. ABP.

Ἐπὶ δὲ τῶν ὑφαίμων ὀνύχων ἄλευρον πίσσῃ μίξας ἐπιτίθει. Πρὸς 6-7
τὸ ἀφιστάναι τοὺς πεπονηκότας ὄνυχας θεῖον λεῖον ἀναλαβὼν ὑείῳ
στέατι ἐπιτίθει. Τοὺς δὲ λεπριῶντας ὄνυχας ἀποστήσεις τούτῳ· ἰξοῦ 8
δρυΐνου, σανδαράκης, τήλεως ἀνὰ Γο β′, κανθαρίδων, θαψίας ἀνὰ
5 Γο α′, ὄξους τὸ αὔταρκες. Ποιεῖ δὲ καὶ πρὸς αὐτοὺς τρὺξ ξηρὰ μετὰ 9
κηρωτῆς ἐπιτιθεμένη, ἢ σύκων σὰρξ κοπεῖσα χωρὶς τῶν κεγχρα-
μίδων· ἢ προϋποχρίσας πίσσῃ τὸν ὄνυχα θείῳ καὶ σανδαράκῃ
λείοις ἴσοις κατάπλασσε. Χρὴ δὲ ἐπιμελῶς περιξέειν τόν τε ὄνυχα 10
καὶ ὁμαλίζειν καὶ ἐπιδεῖν καὶ τοῖς πρὸς τὰς ἀποστάσεις τῶν ὀνύχων
10 χρῆσθαι. Πρὸς δὲ τὰ ἐν τοῖς δακτύλοις πτερύγια λιβανωτὸν λεῖον 11
ἐπιτίθει, καὶ ἐπίδει, ἢ ὄροβον λεῖον ὡσαύτως, ἢ λιβάνου ἀτόμου ∠α′,
σανδαράκης τὸ διπλάσιον. Λεῖα ἐπιτίθει τῇ ῥίζῃ τοῦ ὄνυχος δια- 12
σάσσων ἐπιμελῶς, καὶ ἄνωθεν ἐπιτίθει ξηρὰ τιλτά. Τοῦτο ξηραίνει 13
τὰ πτερύγια συντόμως. Ἄλλο ἀγαθὸν σφόδρα ποιοῦν καὶ πρὸς τὰ 14

Sur les ongles qui recouvrent une accumulation de sang, appliquez 6
un mélange de farine et de poix. Pour faire tomber des ongles dou- 7
loureux, employez du soufre trituré et incorporé dans de la graisse
de porc. On fait tomber les ongles affectés de *lèpre* avec : glu de chêne, 8
réalgar et fenugrec, de chacun deux onces; cantharides une once,
thapsie une once; vinaigre en quantité suffisante. La lie de vin des- 9
séchée et appliquée avec du cérat, ou de la chair de figues pilée sans
les pepins agissent très-bien aussi. *Autre :* enduisez d'abord l'ongle
de poix et appliquez ensuite un cataplasme de quantités égales de
soufre et de réalgar triturés ensemble. D'abord on racle et on égalise 10
l'ongle avec soin, ensuite on applique un bandage et on emploie les
médicaments vantés pour les abcès des ongles. Sur les *pterygia* qui se 11
forment aux doigts, appliquez de l'encens trituré, et par-dessus un
bandage, ou de l'ers trituré de la même façon, ou un mélange d'une
drachme d'encens non coupé et d'une quantité double de réalgar. Met- 12
tez ces ingrédients sur la racine de l'ongle, après les avoir triturés, et
cela en les tassant avec soin, et appliquez par-dessus des tentes épluchées sèches. Ce médicament dessèche rapidement l'ongle incarné. 13
Autre médicament; il jouit d'une grande efficacité même contre les 14

5. καί om. BFP. — 9. ἀποστάξεις BP.

κακηθευόμενα· κηκίδων καὶ σιδίων ῥοιᾶς ὀξείας καὶ λεπίδος ἐρυθροῦ χαλκοῦ καὶ ἰσχάδων κεκαυμένων τὸ ἴσον τρίψας καὶ μίξας μετὰ μέλιτος καὶ ἐγχρισΊοῦ πάχος ποιήσας μότους ἐγχρίων ἐπιτίθει δὶς θεραπεύων τῆς ἡμέρας καὶ ἐπιδέων, μὴ λιπαίνων, μηδὲ βρέχων τοὺς τόπους· ἐὰν δὲ ὑγρὸν ᾖ, σπόγγιζε ἀποβρέχων τὸν σπόγγον ἐν οἴνῳ.

ιθ'. Περὶ τῶν ἐν ἄρθροις ἑλκῶν.

1 Τὰ ἄρθρα ξηρότερα τῶν σαρκωδῶν ἐσΊι μορίων· διόπερ ἑλκω-
2 θέντα ξηροτέρων χρῄζει φαρμάκων. Καλῶς γοῦν ὁ τοῦ Πολυείδου τροχίσκος ποιεῖ μετὰ οἴνου τριβόμενος ἕως γλοιώδους συσΊάσεως,
3 καὶ τὰ ὁμοίως τούτῳ ξηραίνοντα. Καὶ θαλάΊῃ δὲ καὶ ἁλμῃ πολ-
4 λάκις αἰονήσαντες αὐτὰ βέλτιον ἐθεασάμεθα διατιθέμενα. ΧρησΊέον οὖν ἐπὶ τῶν ἄρθρων καὶ τοῖς μᾶλλον ξηραίνουσιν.

ongles incarnés d'une mauvaise nature : triturez et mélangez avec du miel des quantités égales de noix de galle, d'écorce de grenades aigres, de battitures de cuivre rouge et de figues sèches brûlées; donnez au mélange l'épaisseur d'un liniment, étendez-le sur des tentes et appliquez-le; changez l'appareil deux fois par jour et réappliquez le bandage, sans mettre sur les parties affectées aucune substance grasse ou liquide; s'il y a du liquide, vous essuyez avec une éponge trempée dans du vin.

19. DES PLAIES DES ARTICULATIONS.

1 Les articulations sont plus sèches que les parties charnues; pour cette raison, les plaies dont elles sont le siége exigent l'emploi de médica-
2 ments plus secs que celles des parties charnues. La *pastille de Polyïde* est donc un remède convenable, pourvu qu'on la triture avec du vin jusqu'à ce qu'elle ait acquis la consistance de la crasse des baignoires; il en est de même des médicaments qui dessèchent, comme le fait cette
3 pastille. Nous avons observé qu'on amendait ces plaies en faisant de
4 fréquentes affusions d'eau de mer ou d'eau salée. Sur les articulations on emploiera donc aussi des ingrédients assez fortement desséchants.

5. σπόγγιζε *ad Eun.*; σπογγίζειν Codd. — CH. 19; l. 9. δέ om. BP.

κ'. Περὶ αἱμορῥαγιῶν.

Αἱμορῥαγίαις βοήθημά ἐστι τὸ ἐπιτήδειον σχῆμα τοῦ τετρω- 1
μένου μορίου· τοιοῦτον δέ ἐστι τὸ ἀνάῤῥοπον μετὰ ἀνωδυνίας· τὸ
γὰρ κατάῤῥοπον ὀδυνῶδες, καὶ κινήσειεν ἂν καὶ τὰς οὐκ οὔσας.
Ἐπὶ τῶν τετρωμένων γοῦν καὶ αἱμορῥαγούντων ἐπίβαλε τὸν δάκτυ- 2
5 λον εὐθὺς κατὰ τοῦ στομίου τοῦ αἱμορῥαγοῦντος ἀγγείου πράως
πιέζων καὶ ἀνωδύνως· θρόμβου γὰρ οὕτως ἐπιπαγέντος ἡ αἱμορ-
ῥαγία στήσεται. Μὴ ἐπισχεθείσης δὲ αὐτῆς οὕτως ἰσχαίμοις χρη- 3
στέον· κάλλιστα δέ ἐστιν αὐτῶν τὰ ἐμπλαστικὰ μᾶλλον τῶν ἐσχα-
ρούντων· ἀποπιπτούσης γὰρ ἐνίοτε τῆς ἐσχάρας αἱμορῥαγῆσαι
10 πάλιν κίνδυνος. Ἄριστον δέ ἐστι τὸ καὶ πρὸς τὰς ἐκ μηνίγγων 4
αἱμορῥαγίας ποιοῦν· λιβανωτοῦ μέρος ἓν, ἀλόης ἥμισυ τῷ λευκῷ
τοῦ ᾠοῦ φυρόμενα ὡς μελιτώδη σύστασιν ἔχειν, εἶτα ἀναλαμβανό-

20. DES ÉCOULEMENTS DE SANG.

Une position convenable de la partie blessée, c'est-à-dire une posi- 1
tion qui incline vers le haut et qui n'occasionne point de douleur, ar-
rête les écoulements de sang; en effet, si elle était déclive ou doulou-
reuse, elle produirait des écoulements de sang qui n'existaient même
pas auparavant. Chez les blessés qui ont une hémorragie on mettra 2
donc immédiatement le doigt sur l'orifice du vaisseau d'où vient le
sang, en comprimant doucement et en ne causant pas de douleur : de
cette manière un caillot se formera sur l'orifice, et l'écoulement s'arrêtera.
S'il ne s'arrête pas, il faut recourir aux remèdes qui étanchent le sang; 3
or ce sont plutôt les emplastiques que les escharotiques qu'il faut con-
sidérer comme les meilleurs médicaments de cette classe; en effet, il y
a danger que parfois la chute de l'escarre ne soit l'occasion d'une nou-
velle hémorragie. Le meilleur hémostatique est le suivant; il a aussi de 4
l'efficacité contre les écoulements de sang qui viennent des membranes
du cerveau : encens, une partie; aloès, la moitié; on mêle ces substances
avec du blanc d'œuf, de manière à leur donner la consistance du miel,
ensuite on les applique sur des poils de lièvre aussi doux que possible,

Ch. 20; l. 3, ἂν om. BP. — 4. οὖν BFP.

μενα λαγῴαις θριξὶ ταῖς μαλακωτάταις κἄπειτα τῷ ἀγγείῳ καὶ τῷ ἕλκει παντὶ πλεῖστον ἐπιτιθέμενον· ἔπειτα ἐξ ὀθόνης ἐπιδεσμεῖν δεῖ τὰς μὲν πρώτας ἐπιβολὰς τέσσαρας ἢ πέντε κατὰ αὐτοῦ τοῦ αἱμορῥαγοῦντος ποιουμένων ἡμῶν, ἐντεῦθεν δὲ ἐπὶ τὴν ῥίζαν νεμομένων· λύειν δὲ διὰ τρίτης, καὶ εἰ μὲν ἀσφαλῶς ἔτι προσέχοιτο τῷ ἕλκει τὸ φάρμακον, αὖθις ἐν κύκλῳ περιχεῖν καὶ ὥσπερ ἐπιτείνειν τὸν ἐκ τῶν τριχῶν μότον καὶ ἐπιδεῖν ὁμοίως· εἰ δὲ αὐτομάτως ὁ μότος ἀποπλύοιτο, πιέζοντα ἠρέμα τῷ δακτύλῳ τὴν ῥίζαν τοῦ ἀγγείου ὡς μηδὲν ἐπιῤῥυῆναι πρᾴως τοῦτον ἀφαιρεῖν καὶ ἕτερον ἐπιβάλλειν, καὶ χρῆσθαι τῷ τρόπῳ τούτῳ τῆς θεραπείας ἄχρις ἂν ἐπιτραφῇ τῷ ἀγγείῳ σάρξ. Τὰ δὲ ποιοῦντα τὰς ἐσχάρας γυμνότερον ἐργάζεται τὸ μόριον ἢ κατὰ φύσιν εἶχε τῆς ἐσχάρας ἀποπιπλούσης, καὶ πολλάκις αἱμορῥαγία δυσεπίσχετος ἠκολούθησεν ἐκπιπλούσης

après quoi on en met une très-grande quantité sur le vaisseau et sur toute la plaie; puis on applique un bandage fait avec un linge dont les quatre ou cinq premiers tours couvriront la partie elle-même d'où le sang s'écoule; à partir de là, on les fait marcher vers la racine du membre; on défait l'appareil tous les trois (*deux*) jours; si le médicament tient encore solidement à la plaie, on en met une nouvelle couche circulaire et on appuie sur l'espèce de tente qu'on a faite avec des poils; après cela, on applique le même bandage; si, au contraire, cette tente s'est détachée d'elle-même, on comprime doucement avec le doigt la racine du vaisseau, de manière qu'aucun afflux ne puisse avoir lieu; on enlève l'ancienne tente avec ménagement et on en applique une autre; on continuera ce mode de traitement jusqu'à ce que le vaisseau se soit recouvert de chair. De l'emploi des médicaments qui donnent lieu à la formation d'escarres il résulte qu'après la chute de l'escarre la partie est plus dénudée que dans l'état normal; souvent, quand l'escarre tombe, il survient un écoulement de sang difficile à réprimer.

1. μαλακωτέραις A. — Ib. κἄπειτα τῷ ἀγγ. Gal.; om. Codd. — 3. αὐτοῦ om. BP. — 6. περιχεῖν ex em.; περισχεῖν Codd.; περιχέοντα Gal. — Ib. ἐπιτείνειν *ad Eun.*; ἐπιτέγγειν A; ἐπιτέγγει BFP. — 9. ὡς om. BP. — 11. τῷ ἀγγείῳ om. A. — 13. ἐκπεσούσης ABP.

αὐτῆς. Πλὴν ἔστιν ὅτε ἡ χρῆσις τῶν ἐσχαρωτικῶν φαρμάκων ἀναγ- 6
καία γίνεται καθὰ καὶ τῶν διαπύρων καυτήρων τῆς αἱμορῥαγίας ἐξ
ἀναβρώσεως σηπεδονώδους συμπιπτούσης. Ἴσατις ἡ ἥμερος κατὰ 7
τῶν αἱμορῥαγούντων ἐπιπλατυνομένη καλῶς ἐπέχει, καὶ κηκῖδες
5 καυθεῖσαι· δεῖ δὲ αὐτὰς διαπύρους διὰ ὄξους ἢ οἴνου σβεννύειν. Γύψον 8
μιγνὺς ᾠοῦ τῷ λευκῷ καὶ λεπτῷ, καὶ ἀλεύρου πυρίνου τὸ χυνωδέ-
στατον ὃ προσιζάνει τοῖς τοίχοις, ποιήσεις φάρμακον πρὸς αἱμορ-
ραγίας ἐπιτήδειον· ἀναλαμβάνειν δὲ χρὴ καὶ τὸ οὕτω φυραθὲν
λαγῴαις θριξὶν, ἤ τινι τῶν ὁμοίως μαλακῶν. Πρὸς δὲ τὰς ἐκ στό- 9
10 ματος γινομένας αἱμορῥαγίας, ἢ θύμων, ἢ φακῶν, ἢ ἀκροχορδόνων,
ἢ αἱμορῥοΐδων πράσου φύλλα κόψας ἐπιτίθει, ἢ ῥοῦν ἐρυθρὸν, ἢ
γίγαρτα, ἢ ῥοιᾶς κυτίνους κόψας ἐπιτίθει· ἢ σπόγγον καινὸν βάψας
εἰς πίσσαν ὠμὴν κατάκαυσον καὶ λεάνας χρῶ. Χρήσιμον σφόδρα 10
ἐστὶ τοῦτο. Διακλύσματα δὲ ποιεῖ πρὸς τὰς ἐκ στόματος αἱμορρα- 11

Cependant on est quelquefois forcé d'employer des escharotiques, aussi 6
bien que des cautères incandescents, quand l'écoulement de sang pro-
vient d'une corrosion putrilagineuse. La guède cultivée étanche très- 7
bien le sang, quand on l'applique, sous forme de cataplasme, sur les
parties dont le sang s'écoule, et il en est de même des noix de galle
brûlées; seulement on doit les éteindre, quand elles sont incandescentes,
dans du vinaigre ou du vin. Du blanc d'œuf, du gypse uni, à l'aide du 8
blanc d'œuf, à la poussière la plus fine de farine de froment qui s'attache
aux murs, constitue un médicament qui convient contre les hémorragies;
on use aussi de ce médicament sur des poils de lièvre ou sur quelque
autre excipient également doux. Contre les écoulements de sang qui 9
proviennent soit de la bouche, soit de thymes, de taches lenticulaires,
d'acrochordons ou d'hémorroïdes, appliquez un topique de feuilles de
poireau, ou de sumac rouge, ou de pepins de raisin, ou de fleurs non
écloses de grenadier, le tout pilé; *Autre :* trempez une éponge neuve
dans du goudron non cuit, brûlez cette éponge, et employez les cen-
dres après les avoir triturées. Ce médicament est éminemment utile. Les 10-11
collutoires qui conviennent contre les écoulements de sang de la bouche

1. φαρμ. om. BFP. — 3. σηπεδόνος — 8. τό om. BFP. — 11-12. ἢ ῥοῦν... BFP. — Ib. ἢ *ad Eun.*; om. Codd. ἐπιτίθει om. BFP.

γιας ῥόδων χλωρῶν ἢ ξηρῶν ἀφέψημα ψυχρὸν, ἢ ἑλίκων ἀμπέλου,
ἢ σχίνου φύλλων, ἢ μυρσίνης φύλλων, ἢ βάτου, ἢ μήλων κυδωνίων,
12 ἢ ῥοιῶν, ἢ γιγάρτων, ἢ φακῶν. Τοῖς δὲ αὐτοῖς τούτοις χρησέον
13 καὶ ἐγκαθίσμασι ψυχροῖς πρὸς τὰς κατὰ ἕδραν καὶ μήτραν. Ἔσω
δὲ καὶ ἡ δίαιτα τῶν αἱμορραγούντων σύφουσα καὶ παχύνουσα, οἵα 5
ἐστὶ χόνδρος καὶ ἄλευρον καθαρὸν ἑφθὸν καὶ κοχλίαι, καὶ τυρὸς
ἁπαλὸς, καὶ βολβοὶ κάθεφθοι, καὶ ἰχθῦς ὀπτοὶ, καὶ φοίνικες, καὶ
οἶνος μέλας αὐστηρὸς, φακὴ, ἄλφιτα, ᾠῶν ὀπτῶν λέκιθοι, ἄπιοι,
14 ἀχράδες, μῆλα κυδώνια, οὖα, μέσπιλα καὶ τὰ παραπλήσια. Πρὸς
δὲ τὰς ἐκ τῶν ῥινῶν αἱμορραγίας τὰ τῆς πλατάνου σφαιρία ξήραινε 10
καὶ ἐπί τινος τριχίνου παρατρίβων τὸ σπέρμα ἀπόρριπτε, τὰ δὲ
15 κνάφαλα ἀποτίθεσο εἰς ἀγγεῖον ὀστρακοῦν καινόν. Ἐπὶ δὲ τῆς χρή-
σεως ταῦτα τὰ ἐριώδη διὰ καλαμίσκου ἐμφύσα· τὸ δὲ μέτωπον καὶ
16 τὴν ῥῖνα κατάπλασσε γύψῳ ἢ πηλῷ κεραμικῷ. Ποιεῖ δὲ καὶ πράσου
χυλὸς ἐρίῳ εἰργασμένῳ, ἢ μότῳ ἀναλαμβανόμενος καὶ ἐντιθέμενος 15

sont des décoctions froides de roses fraîches ou desséchées, de vrilles de vigne, de feuilles de myrte, de lentisque ou de ronce, de coings, de
12 grenades, de pepins de raisin, ou de lentilles. On emploie ces mêmes médicaments, sous forme de bains de siége froids, contre les écoule-
13 ments de sang qui ont lieu par l'anus ou par la matrice. Le régime doit être astringent et incrassant : il se composera donc d'alica, de farine pure bouillie, d'escargots, de fromage frais, d'oignons de vaccet fortement cuits, de poissons grillés, de dattes, de vin noir et légèrement âpre, de lentilles cuites, d'alphiton, de jaunes d'œufs crus, de poires soit cultivées, soit sauvages, de coings, de sorbes, de nèfles et d'autres
14 choses analogues. *Remèdes contre les épistaxis :* sécher des boules de platane, les frotter sur quelque tissu en poil, pour enlever la
15 graine, en mettre de côté les débris dans un vase de poterie neuf. Quand on veut se servir de ce médicament, on souffle ces débris, qui ressemblent à de la laine, à travers un petit tuyau [dans les narines], et on
16 couvre le front et le nez d'un enduit de gypse ou de terre à potier. C'est encore un remède efficace que le suc de poireau, quand on l'applique sur de la laine travaillée ou sur des tentes, et qu'on l'introduit dans le

2. ἢ μυρσ. φ. *ad Eun.*; om. Codd. — 8. τῶν ᾠῶν BFP. — 14. κατάπασ. BFP.

τοῖς μυκτῆρσι, καὶ μάννα χυλῷ πράσου φυραθεῖσα καὶ ἐντιθεμένη.
Χρὴ δὲ καὶ ἐλαίας φύλλοις λείοις ἁπαλοῖς ἔξωθεν τὴν ῥῖνα κατα- 17
πλάσσειν, καὶ κώνειον ἐπὶ μαλακῆς τέφρας θυμιᾷν ὑπὸ τοὺς μυ-
κτῆρας, καὶ σπόγγοις ἢ ἐρίοις εἰς ὕδωρ ψυχρὸν ἀποβεβρεγμένοις
5 ἐμφράττειν τοὺς πόρους ἑκατέρων τῶν ὠτίων, καὶ σκέλη καὶ χεῖρας
ἀποδεῖν καὶ μέτωπον καὶ κροτάφους ἀνακολλᾷν τοῖς πρὸς τὸ ῥεῦμα
τῶν ὀφθαλμῶν ποιοῦσιν. Ἐὰν δέ τινες ὑπολειφθῶσι θρόμβοι με- 18
νούσης ἔτι τῆς αἱμορραγίας, τούτους μὲν ἐκμύσασθαι συνοίσει,
ταχέως δὲ πάλιν χρῆσθαι τοῖς ἰσχαίμοις φαρμάκοις καὶ προσπιέζειν
10 τὸν χόνδρον τοῦ μυκτῆρος ὑπὸ αὐτὸ τὸ ὀστοῦν τοῖς δυσὶ δακτύλοις
τῆς χειρὸς, τῷ τε μεγάλῳ καὶ τῷ λιχανῷ, ποτίζεσθαι δὲ πρὸς τὰς
εἰρημένας αἱμορραγίας, καὶ ἔτι πρὸς τὰς ἐκ τῶν ἐντέρων, πράσου
χυλὸν ὡς κυάθους δύο· ἢ δάφνης ἁπαλὰ φύλλα τρίψας ἐν ὀξυκράτῳ
πότιζε· ἢ λιβανωτοῦ καὶ δάφνης ἴσα λεάνας ἐν οἴνῳ μέλανι ἰσο-

nez; il en est de même de la poussière d'encens pétrie avec du suc de
poireau et introduite dans les narines. Divers autres remèdes : appliquer, 17
à l'extérieur, sur le nez un cataplasme de feuilles d'olivier tendres et tri-
turées; mettre de la ciguë sur de la cendre molle, pour qu'elle déve-
loppe des vapeurs sous les narines du malade; boucher les trous de
chacune des deux oreilles avec des éponges ou de la laine trempée dans
de l'eau froide; lier les jambes et les bras; appliquer sur le front et les
tempes des emplâtres adhésifs du genre de ceux qui agissent contre les
fluxions des yeux. S'il reste quelques caillots [dans les narines] et que l'é- 18
coulement de sang continue, il est utile que le malade expulse ces caillots
en se mouchant; mais on reviendra promptement aux médicaments qui
étanchent le sang; de plus, avec deux doigts de la main, le pouce et l'in-
dicateur, on appuiera le cartilage du nez par-dessous l'os; on donnera à
boire, pour combattre les épistaxis et aussi les hémorragies intestinales,
deux cyathes de suc de poireau; *Autre :* faites boire de l'eau vinaigrée
où l'on aura trituré des feuilles tendres de laurier; *Autre :* faites une
boisson avec des quantités égales d'encens et de laurier que vous tritu-

6. ἐπιδεῖν BFP. — 7. ὑπολειφθῶσι F; ἐκγώσεσθαι BP. — 12. ἐκ om. ABP. — 14-p. 359, l. 1. ἰσοκράτῳ ex em.; ἀπολειφθῶσι A; ὑπολείπωσι BFP. — 8. ἐκμύσασθαι ex em.; ἐκμύσσεσθαι ex em.; ἰσοκρατεῖ Codd.

κράτῳ πότιζε· ἢ ὀπΐοῦ ᾠοῦ λέκιθον μετὰ ὕδατος συμμέτρου λεάνας πρόσφερε· ἢ ἄλευρον καθαρὸν ὠμὸν καὶ λιβανωτὸν καὶ κόμμι ἴσα τρίψας μετὰ ὕδατος δίδου.

κα'. Πρὸς οὐλὰς μελαίνας καὶ λειχῆνας καὶ σπίγματα.

1 Οὐλὰς μελαίνας αἴρει βρυωνίας ῥίζης λευκῆς καὶ μελαίνης ἑψηθείσης ἐν ἐλαίῳ ἄχρι χυλώσεως τὸ ἔλαιον ἐπιχριόμενον, καλαμίνθη 5
2 ἐν οἴνῳ ἑφθὴ, λιθάργυρος πεπλυμένη σὺν ῥοδίνῳ λευκῷ. Τὰς δὲ ἐκ λειχήνων οὐλὰς ὁμοχρόους ποιεῖ, καὶ τὰς ἄλλας ὄνειον σπέαρ καταχριόμενον, εὐζώμου σπέρμα λεῖον μετὰ χολῆς αἰγὸς καὶ βοὸς καὶ προβάτου καταχριόμενον, εἶτα ὅταν ξηρανθῇ ἀποτριβόμενον, καὶ τοῦ λαχάνου δὲ τοῦ εὐζώμου χυλὸς καταχριόμενος σὺν λιθαρ- 10
3 γύρῳ. Στίγματα δὲ ἐξαίρει βατράχιον καταπλασθὲν, ἢ καππάρεως

rerez dans du vin noir, coupé d'eau à quantités égales; *Autre :* administrez un jaune d'œuf cuit et trituré avec une quantité modérée d'eau; *Autre :* triturez des quantités égales de farine pure et crue, d'encens et de gomme, et donnez-les avec de l'eau.

21. CONTRE LES CICATRICES NOIRES, LES LICHENS ET LES TACHES.

1 On enlève les cicatrices noires en employant comme liniment l'huile ordinaire dans laquelle on a fait bouillir des racines de couleuvrée blanche ou noire jusqu'à ce qu'il se forme une espèce de gelée; il en est
2 de même de la *calaminthe* bouillie dans du vin, et de la litharge lavée combinée à l'huile aux roses blanches. La graisse d'âne en liniment rend leur couleur naturelle aux cicatrices, à celles qui proviennent de lichens et aux autres; un liniment de graine de roquette combinée avec de la bile de chèvre, de bœuf ou de mouton, pourvu qu'on enlève ce liniment en frottant quand il s'est desséché, et le suc de la même herbe potagère, si on le combine avec la litharge, agissent semblablement.
3 Les taches sont enlevées par la renoncule employée sous forme de cataplasme, ou par les feuilles de câprier, ou par la céruse en liniment

CH. 21; l. 6. σὺν ῥοδίνῳ ἐλαίῳ λευκῷ BP. — 7. καὶ τὰς ἄλλας post οὐλὰς ABP. — 8-9. εὐζώμου... προβάτου καταχριόμενον om. BP. — 9. εἶτα... ἀποτριβ. ad *Eun.*; om. Codd. — 10. καί ad *Eun.*; om. Codd.

φύλλα, ἢ ψιμμίθιον σὺν ὄξει καταχριόμενον· χρόνῳ δὲ αἴρει τοῦτο. Μώλωπας δὲ ταχέως ὁμοχρόους ποιεῖ κρίνινον ἔλαιον ἐπαλειφόμενον συνεχῶς. 4

κβ'. Περὶ νευροτρώτων.

Νεῦρον τρωθὲν διὰ τὸ περιτὸν τῆς αἰσθήσεως ὀδυνᾶται τε καὶ 1
5 φλεγμαίνει μειζόνως ἢ τἄλλα. Δεῖ οὖν τὴν τοῦ δέρματος τρῶσιν 2
διατηρεῖν ἀκόλλητον, ἵνα οἱ ἰχῶρες διὰ αὐτῆς ἐκρέοιεν, καὶ φάρμακα τῷ τραύματι προσάγεσθαι τά τε τὴν ὀδύνην παύοντα καὶ τὴν ἐκροὴν ἀνασταλτικοῦντα. Τὸ μὲν οὖν θερμὸν ὕδωρ τὸ ταῖς ἄλλαις 3
φλεγμοναῖς ἐπιτηδειότατον εἰδέναι χρὴ πολεμιώτατον εἶναι τούτοις,
10 καὶ κάλλιον καταιονᾶν ἐλαίῳ λεπτομερεῖ μηδὲν ἔχοντι στύψεως. Τῶν 4
δὲ φαρμάκων ἐπιτήδειός ἐστι ῥητίνη ἡ τερμινθίνη, κατὰ ἑαυτὴν μὲν ἐπὶ παιδίων καὶ γυναικῶν καὶ τῶν ἀπαλοσάρκων, μετὰ εὐφορβίου δὲ ἐπὶ τῶν ἄλλων, καὶ πρόπολις δὲ κατὰ ἑαυτήν τε καὶ μετὰ εὐφορ-

avec du vinaigre; ce dernier médicament agit lentement. Si on emploie 4
avec assiduité un liniment d'huile aux lis, on rétablit vite la couleur naturelle des ecchymoses qui proviennent de coups.

22. DES BLESSURES DES NERFS.

Quand un *nerf* est blessé, il en résulte, à cause de sa sensibilité ex- 1
quise, une douleur et une inflammation plus graves que dans les autres parties. On se gardera donc de recoller la peau, afin que les liquides séreux 2
trouvent une voie d'écoulement, et on appliquera sur la plaie les médicaments qui apaisent la douleur et qui ouvrent une voie à l'écoulement. L'eau chaude, qui est un remède très-convenable pour les autres 3
inflammations, est éminemment nuisible dans le cas actuel, et il est préférable de faire des affusions avec quelque huile composée de particules ténues. Les médicaments qui conviennent dans ce cas sont : la ré- 4
sine de térébenthinier, employée seule chez les petits enfants, les femmes et les gens qui ont la chair molle, mais combinée à l'euphorbe chez les autres; la propolis, qu'on pétrira aussi soit seule, soit combinée

CH. 22; l. 7. τε om. BFP. — 9. ἐπιτήδειον BP.

βίου μαλατΊομένη, κἄν ποτε σκληροτέρα τύχῃ, σύν τινι τῶν λεπΊο-
5 μερῶν ἐλαίων. Καὶ καταπλάσμασι δὲ ἄν τις ἐπὶ τῶν φλεγμαινόντων
καὶ σηπομένων νεύρων χρήσαιτο, κρίθινον ἄλευρον, ἢ κυάμινον, ἢ
6 ὀρόβινον, ἑψήσας ἐν κονίᾳ σΊακτῇ ἢ ὀξυμέλιτι. Καὶ κηρωτῇ δὲ χρή-
σαιτο ἄν τις τοιαύτῃ· κηροῦ Γο ς', εὐφορβίου Γο α', ἢ περισΊερᾶς
7 κόπρου ἐπὶ τῶν σκληροτέρων σωμάτων, ἐλαίου Γο ιβ'. ἉρμότΊει δὲ
καὶ τὸ βασιλικὸν φάρμακον προσλαμβάνον νίτρου, ἢ ἀσβέσΊου, ἢ
8 εὐφορβίου, ἢ θείου ἀπύρου, ἢ ἀγρίας περισΊερᾶς κόπρου. Εἰς λί-
τραν δὲ τοῦ τετραφαρμάκου Γο μίαν ἐμβάλλειν τῶν εἰρημένων τινός·
ποιεῖ γὰρ καλῶς πρὸς τοὺς νευροτρώτους, καὶ μάλισΊα τοὺς νε-
9 νυγμένους. Δύναιο δὲ ἂν κατὰ ἀγρὸν μηδενὸς εὐπορῶν πρόπολιν
πρόσφατον καὶ λιπαρὰν ἐπιτιθέναι κατὰ τοῦ τραύματος, ἢ ζύμην
μόνην τε καὶ μετὰ τῆς προπόλεως μίξας, ἢ τιθυμάλλου ὀπὸν τῇ
10 ζύμῃ μίξας. Τοῖς καταπλάσμασι δὲ τοῖς διὰ ὀξυμέλιτος καὶ σΊακτῆς

à l'euphorbe; quand la propolis est trop dure, on y ajoute quelque
5 huile composée de particules ténues. On pourra aussi appliquer, comme
cataplasmes, sur les nerfs qui s'enflamment ou se pourrissent, de la fa-
rine d'orge, de fèves ou d'ers, bouillie dans de la lessive filtrée ou dans
6 du vinaigre miellé. On peut aussi avoir recours au cérat suivant: cire,
six onces; euphorbe, ou, chez les gens à corps plus ou moins dur,
7 excréments de pigeon, une once; huile, douze onces. Le *médicament
royal* convient aussi dans ce cas, pourvu qu'on y ajoute de la soude
brute, de la chaux vive, de l'euphorbe, du soufre brut ou des excré-
8 ments de pigeon non apprivoisé. A chaque livre du *médicament aux
quatre ingrédients* on ajoutera une once de quelqu'une des substances
susdites; ce mélange produit un bon effet contre la blessure et surtout
9 contre la piqûre des nerfs. A la campagne, lorsque vous n'avez aucune
de ces substances à votre disposition, appliquez sur la plaie de la propo-
lis fraîche et grasse ou du ferment, employé soit seul, soit combiné à la
10 propolis; mêlez aussi du suc de tithymalle au ferment. Quant aux cata-

1. σκληροτέρως BP. — 3. ἢ *ad Eun.*; om. Codd. — 4. δέ om. BFP. — 6. κόπρου Paul.; κόπρων Codd. — 9. δὲ τοῦ] μίαν τοῦ δέ B; μίαν τοῦ P; Γο Paul.; om. Codd. — Ib. μίαν om. BP. — Ib. ἐμβαλεῖν BFP et sic fere semper. — Ib. τινός om. BP. — 11. δέ *ad Eun.*; γάρ Codd. — 13. μετὰ προπόλ. BP.

κονίας καὶ ἀλεύρου κυάμων, ἢ ὀρόβων, ἢ ἐρεβίνθων, ἢ θέρμων πικρῶν, ἢ κριθῶν, ἢ πάλης ἀλφίτου οὐ μόνον ἐπὶ τῶν φλεγμαινόντων ἤδη, ἀλλὰ καὶ κατὰ ἀρχὰς εὐθέως κεχρῆσθαι δεῖ. Εἰ δὲ μὴ 11
νυγείη τὸ νεῦρον, ἀλλὰ σαφεῖ τῇ τομῇ τρωθείη διαιρεθέντος καὶ τοῦ
5 προκειμένου δέρματος ὡς γυμνὸν φαίνεσθαι τὸ νεῦρον, καὶ ὄρθιον,
οὐκ ἐγκάρσιον διῃρημένον, τῶν προειρημένων διὰ εὐφορβίου καὶ
τῶν οὕτω δριμέων οὐδενὶ χρήσῃ· γυμνὸν γὰρ ὂν τὸ νεῦρον οὐκ
οἴσει τὴν δύναμιν αὐτῶν σφοδρὰν οὖσαν. Τὴν τίτανον οὖν παρα- 12
λήψῃ πεπλυμένην πολλάκις ἐν ὥρᾳ θερινῇ πλείονι τῷ ἐλαίῳ δευο-
10 μένην. Καλὸν δὲ καὶ τὸ διὰ πομφόλυγος καὶ τὸ διὰ μέλιτος ἐν 13
ῥοδίνῳ πλείονι τακέν. Δεῖ δὲ μηδὲν τῆς τρώσεως ψαύειν ψυχρόν· 14
αἰσθητικὸν γάρ ἐστι τὸ νεῦρον, καὶ τῇ κράσει ψυχρὸν καὶ συνεχὲς
τῇ κυριωτάτῃ τῶν ἀρχῶν. Ἀλλὰ οὐδὲ ἐλαίῳ καταιονᾷν προσήκει τὸ 15

plasmes de farine de fèves, d'ers, de pois chiches, de lupins amers, d'orge ou de poussière d'alphiton, préparés avec du vinaigre miellé ou de la lessive filtrée, ne les employez pas seulement quand les nerfs sont déjà enflammés, mais aussi aussitôt après l'accident. Si le nerf n'a 11
pas été piqué, mais blessé par une coupure manifeste, et si la peau qui le recouvre a été également divisée de manière qu'on voie le nerf à nu, et si la division est dans le sens perpendiculaire et non dans le sens transversal, n'employez aucun des médicaments dont nous venons de parler, et qui contiennent de l'euphorbe ou quelque autre substance douée du même degré d'âcreté; car, lorsque le nerf est dénudé, il ne supporte pas l'action de ces médicaments, qui est violente. Si c'est en 12
été, on a donc recours à de la chaux lavée à plusieurs reprises et humectée d'une assez grande quantité d'huile. Ce sont encore de bons re- 13
mèdes que le médicament aux fleurs de zinc et le médicament au miel fondus dans une assez grande quantité d'huile. Il faut que rien de froid 14
ne soit en contact avec la plaie, car le nerf est sensible, son tempérament est froid, et il se rattache directement à la plus importante des parties initiales (*les centres nerveux*). Ne faites pas non plus des affu- 15

1. ἢ ὀρόβ... θέρμων om. BP. — 2. ἢ κριθ. om. BP. — Ib. ἀλφίτων ABP. — 4. ἀλλὰ σαφεῖ ex em.; ἀλλὰ σαφῆ BP; ἀλασαφεῖ F; ἀλλ' ἀσαφῆ A. — Ib. τῇ om. BFP. — 11. ψυχρόν Gal.; om. Codd. — 13. κυριότητι BFP.

τοιοῦτον ἕλκος· ῥυποῦται γάρ· ἀποπλύνειν οὖν μόνον τοὺς ἰχῶρας διὰ
16 μαλακῶν ἐρίων ὑπαλείπτρῳ περιελίττοντας. Πάντων δὲ κατὰ γνώμην
17 προχωρούντων ἀκίνδυνον γλυκεῖ διαβρέχειν. Μετὰ δὲ τὸ σκεπασθῆναι
τὸ γεγυμνωμένον νεῦρον τοῖς μύτοις περιβάλλειν ἔξωθεν δεῖ τι τῶν
πρὸς τὰς σπενὰς τρώσεις ποιούντων, ἢ τὸ διὰ εὐφορβίου, ἢ τὸ διὰ 5
τῆς κόπρου τῶν περισπερῶν συμπεριλαμβάνοντα πολὺ τῶν ὑγιῶν
18 μερῶν. Τῆς τρώσεως δὲ ἐγκαρσίας γενομένης ὁ μὲν κίνδυνος τοῦ
σπασθῆναι μείζων, τὰ δὲ τῆς θεραπείας καὶ ἐπὶ ταύτης ὅμοια.
19 Δίαιτα δὲ παραλαμβανέσθω λεπτοτέρα καὶ ἡσυχία καὶ στρωμνὴ
μαλακὴ, θερμῷ τε ἐλαίῳ πλείονι χρῆσθαι κατὰ μασχαλῶν καὶ 10
κεφαλῆς καὶ τραχήλου· τῆς τρώσεως δὲ ἐν σκέλει γενομένης, τοὺς
βουβῶνας μάλιστα πολλῷ τέγγειν τῷ ἐλαίῳ καὶ τὴν ῥάχιν μέχρι
20 τραχήλου καὶ κεφαλῆς. Καὶ θλάσεως δὲ γενομένης τῶν νεύρων,
ἐὰν μὲν ἅμα τῷ δέρματι θλασθέντι καὶ ἕλκωσις γένηται, τὸ διὰ

sions d'huile sur les plaies de ce genre, car il s'y formerait de la crasse; on enlève seulement les liquides séreux par un lavage pratiqué avec de la laine molle enroulée autour de la sonde qui sert à étendre
16 les médicaments (*spatule*). Quand tout marche à souhait, on peut sans
17 danger humecter la plaie avec du vin d'un goût sucré. Après avoir recouvert le nérf dénudé, on entoure les tentes de quelqu'un des médicaments qui ont de l'efficacité contre les plaies étroites, soit le *médicament à l'euphorbe*, soit celui *aux excréments de pigeon*, en empiétant beaucoup sur
18 les parties saines. Si la plaie a une direction transversale, le danger de
19 convulsions est plus grand, mais le traitement reste le même. On aura recours à un régime plus ou moins atténuant: repos, une couche molle, l'emploi d'une assez grande quantité d'huile sur les aisselles, la tête et le cou; si la plaie a son siége à la jambe, on humecte surtout d'une grande quantité d'huile les aines et l'épine du dos jusqu'au cou et à la
20 tête. Existe-il une contusion des nerfs, et la contusion de la peau est-elle compliquée d'une plaie, c'est le cas d'employer le cataplasme com-

1-2. διὰ μαλακῶν Paul.; δεῖ μαλακόν Codd. — 2. ἐρίων Paul.; ἔριον AF; οὖν ἔριον BP. — 4. τι Gal.; τινι Codd. — 5. τό Gal.; τῷ Codd. — Ib. διά om. BP; δέ F. — Ib. τό Gal.; τῷ Codd. — 6. τῆς om. BP. — 7. δὲ ἐν καρδίᾳ γεν. BP. — 11. καὶ τραχ. Paul.; om. Codd. — 11-12. τῆς... ἐλαίῳ ad Eun.; om. Codd. — 12-13. καὶ τὴν... κεφαλῆς e Vers. antiq. (Cod. 626); om. Codd.

τῶν κυαμίνων ἀλεύρων καὶ ὀξυμέλιτος ἐπιτήδειον κατάπλασμα· τῇ θλάσει δὲ ὀδύνης συνούσης πίτης ὑγρᾶς προσμιγνύειν· ἐὰν δὲ χωρὶς τοῦ θλασθῆναι τὸ δέρμα γένηται, διαφορητικῷ καταντλεῖν ἐλαίῳ θερμῷ συνεχῶς. Τοῦ νεύρου δὲ ὅλου διακοπέντος, κίνδυνος μὲν 21
5 οὐδεὶς ἕψεται, τὸ μόριον δὲ ἀνάπηρον γενήσεται· θεραπεία δὲ ὁμοία παραληφθήσεται τοῖς ἄλλοις ἕλκεσιν. Τηκτὸν φάρμακον πρὸς νυ- 22
γέντα νεῦρα· ποιεῖ δὲ καὶ πρὸς λυσσοδήκτους· ὄξους ξε α', πίσσης λιπαρᾶς χ α', ὀποπάνακος γ γ'· τὸν ὀποπάνακα λύσας ὄξει ἐπὶ πλεῖον λείου, καὶ τὴν πίσσαν τήξας καὶ μίξας ἕψει. Τοῦτο τὸ 23
10 φάρμακον τοῖς νενυγμένοις νεύροις ἐπιτήδειόν ἐστιν οὐ συγχωροῦν μῦσαι τὸ στόμιον τοῦ νύγματος, ὥσπερ οὐδὲ τῶν λυσσοδήκτων συνουλωθῆναι τὸ ἕλκος· ποιεῖ δὲ ἐπὶ μόνων τῶν σκληρῶν σω- 24
μάτων. Εἰ δὲ ἐπὶ παιδίου νυγέντος, ἢ γυναικὸς, ἢ ἀπαλοσάρκου χρήσασθαι βουληθείης αὐτῷ, ἔνεστί σοι τήκειν αὐτὸ διά τι-

posé de farine de fèves et de vinaigre miellé; si la contusion est accompagnée de douleur, on ajoute du goudron au cataplasme; si la peau n'a pas éprouvé de contusion, on fait fréquemment des affusions à chaud avec quelque huile douée de propriétés dissipantes. Quand le 21
nerf a été coupé en entier, il n'en résulte aucun danger, mais la partie reste mutilée, et on emploie un traitement analogue à celui des autres plaies. *Médicament fusible contre les piqûres des nerfs, qui a aussi de* 22
l'efficacité contre les morsures des chiens enragés : vinaigre, un setier; poix grasse, une livre; suc de panacée d'Hercule, trois onces; dissolvez le suc de panacée d'Hercule dans du vinaigre et soumettez-le à une trituration suffisamment prolongée; puis faites fondre la poix, ajoutez-la aux autres ingrédients, et faites bouillir. Ce médicament convient contre 23
les piqûres des nerfs, puisqu'il empêche l'orifice de la piqûre de se fermer, de même qu'il empêche de se cicatriser la plaie produite par la morsure d'un chien enragé; mais il ne saurait être employé que chez les gens qui ont les chairs dures. Si vous voulez l'employer contre la 24
piqûre des nerfs chez un petit enfant, chez une femme ou chez un individu dont la chair est molle, vous pouvez le dissoudre dans quelque

1. τῶν κυμίνων BFP. — 2. προσμιγν. e conj.; μιγνύειν Codd. Gal.

νος τῶν διαφορούντων, ἀμαρακίνου, ἢ ὀποβαλσάμου ἢ παλαιοῦ ἐλαίου.

κγ'. Πρὸς ἄρθρα κεχαλασμένα.

1 Ἀκακίας χυλὸς ἀνεθεὶς ὕδατι καὶ καταντλούμενος, ἢ βάτου, ἢ μυρσίνης, ἢ σιδίων, ἢ σχίνου, ἢ πτελέας τῶν ῥιζῶν τοῦ φλοιοῦ ἀφέψημα, ἢ σίδια καταπλασθέντα, ἢ μυρσίνης φύλλα σὺν κηρωτῇ μυρσινίνῃ ἐπιτιθέμενα.

κδ'. Περὶ φλεγμονῆς. Ἐκ τῶν Γαληνοῦ.

1 Ἡ μὲν ἀρχὴ τῆς φλεγμονῆς ἐστι κατὰ ὃν χρόνον πληροῦται τὸ μόριον αἱματώδους οὐσίας· ἡ δὲ αὔξησις ἡνίκα ἂν τὸ μὲν ἐπιῤῥέον παύσηται, τὸ δὲ ἐν τῷ μορίῳ περιεχόμενον ἀρχὴν λάβῃ τοῦ σήπεσθαι, καὶ θέρμη παρὰ φύσιν καὶ χύσις καὶ πνεῦμα γένηται καὶ

substance douée de vertus dissipantes, comme l'huile à la marjolaine, le baume de Judée ou l'huile vieille.

23. REMÈDES CONTRE LE RELÂCHEMENT DES ARTICULATIONS.

1 Affusion de suc d'acacia délayé dans de l'eau, ou d'une décoction de feuilles de ronce ou de myrte, d'écorces de grenade, de feuilles de lentisque ou d'écorce de racine d'orme, cataplasme d'écorces de grenade, topique de feuilles de myrte avec du cérat à l'huile aux feuilles de myrte.

24. DE L'INFLAMMATION. — TIRÉ DE GALIEN.

1 Le commencement de l'inflammation correspond à l'époque où la partie se remplit d'une substance sanguine; l'augment, à celle où l'afflux a cessé, quand le contenu de la partie enflammée a commencé à se pourrir, qu'il y a augmentation de chaleur contre nature, de liquéfaction, de développement de gaz, et que la tension de la partie est plus

CH. 23; l. 4-5. ἢ σχίνου..... μυρσίνης φύλλα om. BP. — CH. 24; tit. ἐκ τῶν Γαληνοῦ Aët; om. Codd. — 7. ἐστιν om. BP.

τάσις τοῦ μορίου πλείων ἢ πρόσθεν· ἡ δὲ ἀκμὴ τοῦ πύου μὲν ἤδη συνισταμένου, μεγίστων δὲ γινομένων τῶν πόνων· παρακμὴ δὲ ἡνίκα διαφορούμενον τὸ ῥεῦμα τόν τε ὄγκον καὶ τὴν τάσιν ἐλαττώσει. Κατὰ μὲν οὖν τὰς ἀρχὰς τῇ ἀποκρουστικῇ δυνάμει χρησόμεθα 2
5 κατὰ ἑαυτήν· ἐν δὲ ταῖς αὐξήσεσι ταύτην μὲν ἐλαττοῦν, προστιθέναι δέ τι τοῖς διαφορητικοῖς, ἐν δὲ ταῖς ἀκμαῖς ἴσαις χρῆσθαι ταῖς δυνάμεσι τῇ τε ἀποκρουστικῇ καὶ τῇ διαφορητικῇ. Ὀδύνης δὲ οὔσης 3
σφοδρᾶς χρεία τῆς παρηγορητικῆς δυνάμεως. Ἐν δὲ ταῖς παρακμαῖς 4
τῇ διαφορητικῇ μόνῃ χρησόμεθα μηδενὸς στύφοντος παραπλεκο-
10 μένου. Ἑλξίνη πρὸς τὰς φλεγμονὰς ἁρμόττει ἐν ἀρχῇ τε καὶ ἀνα- 5
βάσει· γλαύκιον ὁμοίως. Ἀτράφαξυς καὶ μαλάχη ταῖς μὲν ἀρχο- 6
μέναις καὶ αὐξανομέναις καὶ οἷον ζεούσαις αἱ κηπευόμεναι, ταῖς δὲ παρακμαζούσαις καὶ σκληρυνομέναις καὶ ἀποψυχομέναις αἱ ἄγριαι συμφορώτεραι. Θρίδαξ καὶ κολοκύνθη πρὸς τὰς θερμὰς ἐπιπλατ- 7

forte qu'auparavant; l'époque culminante de l'inflammation correspond à celle où il se forme déjà du pus et où le malade ressent les douleurs les plus fortes; le déclin, à celle où la fluxion, en se dissipant, fait diminuer la tuméfaction et la tension. Au commencement de l'inflamma- 2
tion, nous avons recours aux médicaments répercussifs seuls; à l'époque de l'augment, nous diminuons l'intensité de ce traitement, mais nous augmentons légèrement la quantité des médicaments doués de propriétés dissipantes; à l'époque culminante de la maladie, nous employons des quantités égales de médicaments répercussifs et dissipants. S'il 3
existe une douleur forte, on a besoin de médicaments calmants. Au 4
déclin de l'inflammation, nous avons recours au traitement dissipant seul, sans y ajouter aucune substance astringente. La pariétaire de Ju- 5
dée convient contre les inflammations à l'époque de leur début et de leur augment; il en est de même du glaucium. L'arroche et la mauve 6
conviennent surtout au début et à l'augment des inflammations, quand elles sont, pour ainsi dire, bouillonnantes; mais les espèces sauvages sont préférables contre ces affections arrivées à leur déclin et aussi contre celles qui se durcissent et se refroidissent. La laitue et la courge, em- 7

3. καὶ τὴν τ. om. BP. — 4. Κατὰ... ἀρχάς om. BP. — 6-7. ἐν δὲ... διαφορητικῇ om. BFP. — 7-8. Ὀδ. δὲ... παρηγ. om. F. — 11. Ἀτράφαξις BP.

τόμεναι ποιοῦσι, καὶ ἀείζωον δὲ πρὸς τὰς ἐκ ῥεύματος φλεγμονὰς, καὶ τρίβολοι ἀμφότεροι ὁμοίως, καὶ κράμβη πρὸς τὰς σκληρυνομένας.

κε'. Περὶ ῥευματικῆς διαθέσεως. Ἐκ τῶν Γαληνοῦ.

1 Ἐπειδὰν ἐξαίφνης φλεγμήνῃ τι μόριον ἄνευ τοῦ προηγήσασθαι φανερὰν αἰτίαν, τὸ μὲν ποιῆσαν τὸ πάθος ῥεῦμα καλεῖται, ῥευ- 5 ματικὴ δὲ διάθεσις τὸ πάθος, καὶ χρὴ μάλιστα τῶν τοιούτων φλεγ-
2 μονῶν τὰς ἀρχὰς τῶν ἰάσεων εἶναι χρηστάς. Κενοῦν τοίνυν χρὴ πᾶν τὸ σῶμα ταῖς ἐνδεχομέναις κενώσεσιν, αὐτὸ δὲ τὸ φλεγμαῖνον ἐπιβρέχειν τε καὶ καταπλάττειν μὴ τοῖς θερμαίνουσι καὶ ὑγραί- νουσιν, ἀλλὰ τοῖς ἀπωθεῖσθαι μὲν τὸ ἐπιῤῥέον δυναμένοις, τὸ δὲ 10 ἤδη περιεχόμενον ἐν τῷ πεπονθότι κενοῦν, τόνον δὲ καὶ ῥώμην
3 ἐντιθέναι τοῖς πεπονθόσι μορίοις. Καταπλάττειν οὖν τῷ διὰ ἀειζώου

ployées sous forme de cataplasme, agissent contre les inflammations chaudes, et la joubarbe contre celles qui proviennent d'une fluxion; il en est de même des deux espèces de *tribolus;* le chou est bon contre les inflammations qui se durcissent.

25. DE LA DIATHÈSE FLUXIONNAIRE. — TIRÉ DE GALIEN.

1 Lorsqu'une partie est subitement prise d'inflammation, sans que l'invasion de cette maladie ait été précédée d'un accident manifeste qui puisse l'avoir causée, on donne le nom de fluxion à la cause qui a produit la maladie, et celui d'état fluxionnaire à la maladie elle-même; dans ce genre d'inflammations, c'est surtout le commencement du traitement
2 qui doit être bien dirigé. Il faut donc évacuer l'ensemble du corps par les moyens requis en pareil cas, et appliquer sur la partie enflammée des embrocations et des cataplasmes qui ne soient pas composés de substances échauffantes et humectantes, mais qui puissent repousser ce qui afflue, évacuer ce qui est déjà contenu dans la partie malade, et
3 donner du ton et de la force aux parties affectées. On appliquera donc le cataplasme composé de joubarbe, d'écorces de grenade cuites dans

1. δέ om. BFP. — Ch. 25; tit. ἐκ τῶν Γαλ. e Vers. antiq.; om. Codd.

καὶ λεμμάτων ῥοιᾶς ἑφθῶν ἐν οἴνῳ καὶ ῥοῦ καὶ ἀλφίτου συγκειμένῳ. Ὀδύνης μὲν οὖν σφοδρᾶς οὐκ οὔσης, τούτῳ τε καὶ τοῖς τοιούτοις χρηστέον· σὺν ὀδύνῃ δὲ μείζονι τοῦ μορίου ῥευματισθέντος, μηδὲ οὕτω μὲν ὕδωρ θερμὸν ἢ ἔλαιον προσφέρειν, ἢ τὰ διὰ τῶν ἀλεύρων καταπλάσματα· πολέμια γὰρ ταῦτα πάντα ταῖς ῥευματικαῖς διαθέσεσιν· παραμυθεῖσθαι δὲ τὸ σφοδρὸν τῆς ὀδύνης τῷ διὰ γλυκέος καὶ ῥοδίνου καὶ κηροῦ βραχέος ἐρίοις ῥυπαροῖς οἴσυπον πολὺν ἔχουσιν ἀναλαμβάνοντα, καὶ προσφέροντα θέρους μὲν ψυχρά, χειμῶνος δὲ χλιαρά, περιλαμβάνοντα καὶ τοὺς ἀνωτέρω τόπους τῶν πεπονθότων χωρίων σπόγγῳ βραχέντι οἴνῳ αὐστηρῷ ἢ ὀξυκράτῳ ψυχρῷ. Παραλλαγῆς δὲ ἐπὶ τούτοις γενομένης, καὶ πύου μὴ ὑποπίπτοντος, τῷ διὰ χαλκίτεως ἐμπλαστῷ φαρμάκῳ θεραπεύειν, ἤ τινι τῶν ὁμοίων τῶν πρὸς τὰ ῥεύματα ποιούντων, καθαρὸν δὲ ἔριον οἴνῳ βεβρεγμένον αὐστηρῷ ἔξωθεν ἐπιβάλλειν τοῦ

du vin, de sumac, et de farine d'orge légèrement torréfiée. S'il n'y a pas de douleur violente, on emploiera ce cataplasme ou d'autres qui lui ressemblent; si la partie est plus douloureuse en même temps qu'elle est le siége d'une fluxion, on n'aura recours ni à l'eau chaude, ni à l'huile, ni aux cataplasmes composés de farine, car tous ces remèdes sont incompatibles avec l'état fluxionnaire; mais on apaisera la violence de la douleur par le médicament qu'on compose avec le vin d'un goût sucré, l'huile aux roses et un peu de cire; on emploiera comme excipient de ce médicament de la laine qui contienne beaucoup de suint, et on appliquera les médicaments froids en été, et tièdes en hiver; on enveloppera aussi la région située au-dessus des parties affectées d'une éponge trempée dans du vin légèrement âpre, ou de l'eau vinaigrée froide. Si ces moyens de traitement produisent quelque changement, et s'il ne se montre pas de pus, on instituera un traitement par l'emplâtre au cuivre pyriteux ou par quelque autre médicament analogue, du nombre de ceux qui ont de l'efficacité contre les fluxions; à l'extérieur, on recouvrira le médicament de laine pure trempée dans du vin légèrement âpre.

1-2. ἀλφίτων συγκειμένων BFP. — 13. τά om. BFP.

6 φαρμάκου. Τούτῳ μὲν οὖν ἰάσῃ τῷ τρόπῳ τὰς ἐπὶ ῥεύματι φλεγ-
μονάς· τὰς δὲ ἐπί τινι προφάσει συνισταμένας ὑγραίνων καὶ θερ-
7 μαίνων οὐ βλάψεις. Εἰς ἐκπύησιν δὲ αὐτὰς ἄγειν βουλόμενος καὶ
8 ἀλεύρῳ πυρίνῳ καταπλάσεις ἕψων ἐν ὑδρελαίῳ. Κἂν ποτε χρεία
γένηται ἀποσχάζειν αὐτὰς, δεόντως τοῦτο ποιήσεις· τὰς δὲ ἐπὶ 5
ῥεύμασι φλεγμονὰς ἀποσχάσας, καὶ μάλιστα ἐν ἀρχαῖς, αἴτιος
κακοῦ τινος μεγάλου γενήσῃ τῷ πάσχοντι.

κς'. Περὶ τῶν ἐν ῥευματικαῖς διαθέσεσιν ἐκπυηθέντων.
Ἐκ τῶν Γαληνοῦ.

1 Ῥευματικῆς δὲ οὔσης τῆς διαθέσεως καὶ ἐκ μηδενὸς τῶν προδήλων
αἰτίων συστάσης, καταπλάττειν μὲν ἀναγκαῖον ἅπαξ ἢ δίς που·
καὶ ἄμεινον εἰς τὰ παρόντα τὸ ἐκ τῶν κριθῶν ἄλευρον, παραπλέκειν 10
δὲ ὅμως τι καὶ τούτοις ὄξους ἢ οἴνου· διελόντα δὲ καὶ κενώσαντα

6 Voilà la manière de guérir les inflammations qui tiennent à une fluxion;
mais vous ne nuirez pas, si vous humectez et si vous réchauffez celles
7 qui sont le produit d'une cause [manifeste]. Pour amener ces inflam-
mations à suppuration, appliquez un cataplasme de farine de froment
8 cuite dans de l'huile et de l'eau. S'il devient nécessaire de faire aussi des
scarifications sur ces inflammations, vous aurez raison d'employer ce
moyen de traitement; mais, si vous scarifiez les inflammations produites
par les fluxions, vous causerez beaucoup de dommage au malade, sur-
tout quand vous scarifiez au commencement.

26. DES TUMEURS QUI SUPPURENT DANS L'ÉTAT FLUXIONNAIRE. — TIRÉ DE GALIEN.

1 Lorsque la maladie est fluxionnaire et ne provient d'aucune cause
manifeste, il faut nécessairement employer une fois, et même dans
quelques occasions deux fois, des cataplasmes; mais, dans le cas pré-
sent, il vaut mieux recourir au cataplasme de farine d'orge; cependant
on y ajoutera aussi, dans ces circonstances, un peu de vinaigre ou de
vin; et, après avoir fait une incision et évacué le pus, on se gardera dès

2. ἐπί τι BP. — CH. 26; tit. Ἐκ τῶν Γαλ. Versio antiq.; om. Codd. gr. — 8. δέ om. ABP. — 10. ἐκ om. BP. — Ib. ἄλευρον om. BP Ras.

τὸ πύον φυλάσσεσθαι μὲν τοῦ λοιποῦ προσφέρειν ἔλαιον ἢ ὕδωρ, ἀλλὰ εἰ καὶ ἀπονίψαι ποτὲ δέοι τὸ τραῦμα, μελικράτῳ τε καὶ ὀξυκράτῳ καὶ οἴνῳ καὶ οἰνομέλιτι χρηστέον. Καὶ εἰ μὲν ἔτι φλεγμαίνοι, 2
τῷ διὰ τῆς φακῆς καταπλάσματι· μὴ φλεγμαίνοντος δὲ τῶν ἄλλων
5 τινὶ φαρμάκων τῶν ἐμπλαστῶν ἐπὶ ταῖς τοιαύταις τομαῖς χρώμεθα, καὶ οὐχ ἥκιστα τῷ διὰ χαλκίτεως. Ἐπιτίθει δὲ κατὰ αὐτοῦ σπογγίον ἢ ἔριον οἴνῳ βρέχων στρυφνῷ. Τῷ δὲ τραύματι μηδὲν τῶν λι- 4
παινόντων φαρμάκων προσφέρειν, οἷον τὸ τετραφάρμακόν ἐστιν· ἀκριβῶς γὰρ δεῖται ξηραίνεσθαι.

κζ'. Περὶ γαγγραίνης καὶ σφακέλου. Ἐκ τῶν Γαληνοῦ.

10 Γαγγραίνας τὰς διὰ μέγεθος φλεγμονῆς νεκρώσεις ὀνομάζουσιν 1
οὐκ ἤδη γεγενημένας, ἀλλὰ γινομένας ἔτι. Καὶ εἰ μὴ ταχέως τις 2
τὴν τοιαύτην διάθεσιν ἰάσαιτο, νεκροῦται ῥᾳδίως τὸ παθὸν οὕτω

lors d'appliquer de l'huile ou de l'eau; s'il était nécessaire de laver la plaie, on se servirait d'eau miellée, d'eau vinaigrée, de vin ou de vin miellé. S'il y a encore de l'inflammation, on emploie, après avoir fait 2
de pareilles incisions, le cataplasme aux lentilles cuites, et, s'il n'y en a pas, on préférera le médicament au cuivre pyriteux et aussi quelque autre médicament emplastique. Sur ce médicament on appliquera une 3
éponge ou de la laine humectée de vin fortement astringent. Mais on 4
ne mettra sur la plaie aucun des médicaments gras, comme serait le *médicament aux quatre ingrédients*, car la plaie a besoin d'être complétement desséchée.

27. DE LA GANGRÈNE ET DU SPHACÈLE. — TIRÉ DE GALIEN.

On donne le nom de *gangrènes* aux mortifications qui tiennent à l'in- 1
tensité de l'inflammation, non quand elles se sont déjà développées, mais quand elles sont encore en train de se former. Si l'on ne se hâte 2
pas de guérir une pareille maladie, la partie ainsi affectée se mortifie

2. ποτε *Coll. med.* Gal.; πώποτε Codd. — 2-3. μελικρ. τε ἢ ὀξυκρ. Gal. Vers. antiq. — 4. τῷ ex em.; τό Codd. Gal. — Ib. καταπλάσ. ex em.; κατάπλασμα Codd. Gal. — 5. τινί ex em.; τι BFP; τινός A. — 11. μέν Codd. — 12. τήν om. BFP.

μόριον, ἐπιλαμβάνει τε τὰ συνεχῆ καὶ ἀποκτείνει τὸν ἄνθρωπον.
3 Ὅταν δὲ τελέως ἀναίσθητα γένηται τὰ οὕτω παθόντα σώματα, τὸ
4 πάθος οὐκέτι γάγγραιναν, ἀλλὰ ἤδη σφάκελον ὀνομάζουσιν. Συμ-
βαίνει δὲ τοῦτο τὸ πάθος καὶ τοῖς ὀστοῖς, ὅταν ἡ περικειμένη σὰρξ
αὐτοῖς μοχθηροὺς ἰχῶρας γεννῶσα διαβρέξῃ τούτοις αὐτὰ καὶ δια- 5
5 σήψῃ. Τελέως μὲν οὖν νεκρωθὲν τὸ μόριον τάχιστα χρὴ περικόπτειν
κατὰ ὃ ψαύει τοῦ πλησιάζοντος ὑγιοῦς· τὴν δὲ γάγγραιναν θερα-
πεύειν χρὴ κενούντων ὅσον οἷόν τε πλεῖστον τοῦ κατὰ τὸ πάσχον
μόριον αἵματος· ἢ γὰρ φλέβα τεμόντας κενῶσαι δεῖ τὸ ἐφθαρμένον
αἷμα ὅταν περὶ αὐτὸ τὸ μόριον φλὲψ μεγάλη ᾖ, ἢ ὅλον τὸ δέρμα 10
διαιροῦντας πολλαῖς καὶ βαθείαις ἀμυχαῖς καὶ ἐάσαντας ἀπορρυῆναι
τὸ αἷμα τῶν φαρμάκων ἐπιτιθέναι τι τῶν πρὸς τὰ σηπόμενα χρη-
σίμων· ἔστι δὲ ταῦτα διὰ ὀξυμέλιτος ἄλευρον ὀρόβων, ἢ αἰρῶν, ἢ
6 τὸ τῶν κυάμων. Προσάγειν δὲ σφοδρότερον βουλόμενος ἁλῶν ἐπεμ-

3 aisément, et le mal envahit les parties voisines et tue le malade. Quand les parties ainsi atteintes sont devenues complétement insensibles, on n'appelle plus la maladie gangrène, mais on lui donne déjà le nom de
4 *sphacèle*. Les os peuvent aussi être pris de cette maladie, quand la chair qui les entoure ayant engendré un ichor malfaisant les en imbibe com-
5 plétement et permet à la putréfaction de les pénétrer. Si donc une partie est complétement mortifiée, on se hâtera de la retrancher, à l'endroit où elle touche à la partie saine voisine; on traitera la gangrène en évacuant une quantité aussi grande que possible du sang qui se trouve vers la partie malade : en effet, il faut ou faire une saignée pour évacuer le sang corrompu, lorsqu'il existe une grande veine dans le voisinage de la partie, ou diviser toute l'étendue de la peau par des incisions nombreuses et profondes; après avoir laissé couler le sang, on applique quelque médicament de la classe de ceux qui ont de l'efficacité contre la pourriture; or ces médicaments sont la farine d'ers, d'ivraie
6 ou de fèves, employée avec du vinaigre miellé. Si l'on veut un médicament plus efficace, on ajoutera du sel, ou l'on aura recours à la *pastille*

1. ἀποκτένει F. — 6. τό om. AFP. — Ib. πάσχον] πλεῖστον BP. — 11. ἐάσαντες BFP. — 12. τί] χρή BP.
8. οἱόντε *Coll. med.* Gal.; om. Codd. —

βαλεῖς, ἢ τροχίσκον τὸν τοῦ Ἄνδρωνος, ἤ τινα τῶν ὁμοίων. Ποιεῖ 7
δὲ πρὸς γαγγραίνας καὶ παλαιὰ κάρυα τὰ ἐλαιώδη· ἀνακαθαίρει
δὲ αὐτὰς ἀκαλήφη καὶ ὀπὸς τιθυμάλλου ἐν καιρῷ καὶ μέτρῳ προσ-
αγόμενος. Ὠφελεῖ δὲ αὐτὰς καὶ θέρμων πικρῶν ἀφέψημα καταν- 8
5 τλούμενον.

κη'. Περὶ ἀποσήμάτων. Ἐκ τῶν Γαληνοῦ.

Ἐπὶ δὲ τῶν ἀποσήμάτων ἐὰν μὴ δυνατόν σοι φαίνηται τὸ κω- 1
λυθῆναι τὴν ἐκπύησιν, ἄρτον ἑψήσας ἐν ὑδρελαίῳ κατάπλασσε, ἢ
κρίθινον ἄλευρον παραπλησίως σκευαζόμενον· καταντλείσθω δὲ
ὕδατι τὸ μόριον ἀλθαίας ῥίζης ἐνεψηθείσης. Ὅταν δὲ δυσεκπύητος 2
10 ᾖ καὶ δυσδιαφόρητος ὁ ὄγκος, τῷ διὰ τῶν ἰσχάδων καταπλάσματι
χρήσῃ· δεῖ δὲ γλυκείας καὶ λιπαρὰς ἕψοντας κατατήκειν ἐν ὕδατι,

d'*Andron* ou à quelque autre pastille semblable. Les vieilles noix hui- 7
leuses agissent aussi contre la gangrène; l'ortie mondifie les parties af-
fectées de cette maladie, ainsi que le suc de tithymale, pourvu qu'on
l'emploie en temps opportun et en quantité convenable. Une décoction 8
de lupins amers, employée sous forme d'affusion, est également profi-
table.

28. DES ABCÈS. — TIRÉ DE GALIEN.

S'il ne semble pas possible d'empêcher un abcès de suppurer, appli- 1
quez un cataplasme de pain bouilli dans un mélange d'huile et d'eau,
ou de farine d'orge préparée de la même manière, et pratiquez sur la
partie une affusion d'eau dans laquelle on a fait bouillir de la racine de
guimauve. Si vous éprouvez une égale difficulté à faire suppurer et à dis- 2
siper la tumeur, mettez un cataplasme aux figues sèches : on désagré-
gera ces figues, qui devront avoir un goût sucré et être grasses, en les
faisant bouillir dans de l'eau, et l'on rendra ainsi cette eau semblable

1. τόν om. BP. — Ib. τοῦ om. AF. — 2. δέ om. BFP. — 4. αὐτάς ex em.; αὐτούς Codd. — 4-5. ἀφεψήματα καὶ ἀντλ. BP. — Ch. 28; tit. Ἐκ τῶν Γαλ. Vers. antiq.; om. Codd. gr. — 6. δέ om. ABP. — 9. ἐνεψηθ. ex em.; ἀνεψηθείσης ad Eun.; ἑψηθείσης ABP; ἐψηθείσης F. — 11. ῥυπαράς BP. Conf. Gal. *Coll. med.*

καὶ ποιεῖν ὅμοιον τὸ ὕδωρ μέλιτι λεπτῷ, καί ποτε μὲν κρίθινον ἄλευρον προσβάλλειν αὐτῷ, ποτὲ δὲ ἄρτον αὐτόπυρον, καὶ εἰ διαφοροῖτο μὲν ὁ ὄγκος, ἐνδεέστερον δὲ, ταῖς ἰσχάσι συνέψειν ὕσσωπον, ἢ ὀρίγανον· εἰ δὲ ἐπιτεῖναι βουληθείης μᾶλλον, ἅλας ἐπέμ-
3 βαλλε τῷ ἀφεψήματι. Πρόσεχε δὲ ἀκριβῶς μὴ διὰ τὸ ξηραίνεσθαι 5
σφοδρότερον σκιῤῥῶδες γένηται τὸ μόριον, κἄν ποτέ τι τοιοῦτον θεάσῃ, συναφέψειν τῷ ὕδατι σικύου ἀγρίου ῥίζαν, ἢ ἀλθαίας, ἢ
4 βρυωνίας. Ἰσχυροτέρα δὲ τούτων ἡ τοῦ δρακοντίου καὶ διαφορητι-
5 κωτέρα ἐστίν. Ἐνίοτε μὲν οὖν διὰ τούτων μόνων ἀφέψεις· ἐνίοτε δὲ καὶ τῶν ἰσχάδων ἐμβάλλεις καὶ τὸ ἄλευρον ἀναμιγνύεις ἅμα 10
6 στέατι. Διαφορεῖ δὲ καὶ ἀδίαντον ἀποστήματα, καὶ τὸ ἀνήθινον δὲ ἔλαιον διαφορητικόν ἐστι, καὶ περιττὸν ὠμῶν χυμῶν καὶ ἀπέπτων
7 ὄγκων. Πίττα συμπέτει τοὺς σκληροὺς καὶ ἀπέπτους ὄγκους ἅπαν-

au miel ténu; on ajoutera à cette eau tantôt de la farine d'orge et tantôt du pain de ménage; si la tumeur se dissipe, mais moins complétement qu'il ne le faut, on fera bouillir, avec les figues sèches, de *l'hysope* ou de l'origan; si l'on veut renforcer les propriétés du cataplasme,
3 on mettra du sel dans la décoction. Prenez garde que, par suite d'un desséchement trop fort, la partie ne devienne squirreuse, et, si vous remarquez qu'il en est ainsi, employez une décoction de racine de con-
4 combre sauvage, de guimauve ou de couleuvrée. La racine de serpentaire est un remède plus actif que les précédents et elle a des propriétés
5 plus fortement dissipantes. Tantôt vous ferez une décoction de ces médicaments seuls, tantôt vous y mettrez aussi des figues sèches et vous y
6 mêlerez de la farine avec de la graisse. Le capillaire dissipe aussi les abcès, et l'huile à l'aneth est également capable de dissiper et de faire mûrir les humeurs crues et les tumeurs qui ne sont pas encore arrivées
7 à leur maturité. La poix et le goudron font disparaître toutes les tumeurs dures et crues, quand on les ajoute aux cataplasmes, mais sur-

1. ποτὲ μέν *ad Eun., Coll. med.* Gal.; om. Codd. — 2. αὐτῷ *ad Eun.;* om. Codd. — Ib. ποτὲ δὲ ἄρτον αὐτόπυρον *ad Eun., Coll. med.* Gal.; om. Codd. — 8. τοῦ om. BFP. — 9. διά om. BFP. — Ib. τοῦτον μόνον BFP. — 10. τῶν om. BFP. — Ib. ἐμβαλεῖς BFP. — 11. Διαφορεῖ... ἀποστήματα om. A.

τας ἐμβαλλομένη τοῖς καταπλάσμασι, καὶ μᾶλλον ἡ ὑγρά. Φάρμακον 8
σύνθετον τὰ μὲν ἤδη πεπεμμένα τῶν ἀποσθημάτων ἀπόνως ἐξιποῦν
ὡς πολλάκις εὑρίσκεσθαι ἐπὶ τοῦ σπληνίου πύον· τὰ δὲ μὴ πεπεμ-
μένα εἰς τέλος διαφορεῖ· λίθου πυρίτου ∠ιβ', ἀμμωνιακοῦ λείου
5 ἴσον, κυαμίνου ἀλεύρου ∠ς'. Ἀναλάμβανε ῥητίνῃ ὑγρᾷ, καὶ εἰς 9
δέρμα ἐπιπλάσας ἐπιτίθει· τὸ δὲ σπληνίον μὴ ἀφαίρει μέχρις ἂν
αὐτόματον ἀποπέσῃ. Δεῖ δὲ μὴ πρὸ πολλοῦ σκευάζειν τὸ φάρμα- 10
κον· ξηραίνεται γὰρ ταχέως.

κθ'. Πρὸς χοιράδας καὶ φύματα.

Θέρμων πικρῶν ἄλευρον οὐ τὰ πελιδνὰ μόνον, ἀλλὰ καὶ χοιράδας 1
10 καὶ φύματα θεραπεύει· ὄξει δὲ ἕψειν αὐτὸ χρή, ἢ ὀξυμέλιτι, ἢ
ὀξυκράτῳ. Ἰατρός τις ἐπὶ σκληρῶν σωμάτων ἐχρῆτο βοείᾳ κόπρῳ 2
σὺν ὄξει πρὸς χοιράδας καὶ τοὺς σκιῤῥώδεις ὄγκους ἅπαντας κατα-

tout le goudron. Médicament composé qui exprime, sans causer de 8
douleur, les abcès qui sont déjà arrivés à maturité, de manière qu'on
trouve souvent du pus sur le cataplasme; ce même médicament dissipe
complétement les abcès qui ne sont pas arrivés à maturité : pierre py-
rite, douze drachmes; quantité égale de gomme ammoniaque triturée;
farine de fèves, six drachmes. Incorporez ces ingrédients dans de la 9
résine liquide, étendez le médicament sur un morceau de cuir et ap-
pliquez-le; laissez ce topique tomber tout seul. On ne doit pas pré- 10
parer ce médicament longtemps d'avance, car il se dessèche rapide-
ment.

29. REMÈDES CONTRE LES ÉCROUELLES ET LES TUMEURS.

La farine de lupins amers guérit les écrouelles et les tubercules, aussi 1
bien que les lividités; il faut la faire bouillir avec du vinaigre, du vi-
naigre miellé ou de l'eau vinaigrée. Certain médecin employait, chez 2
les gens qui ont la chair dure, contre les écrouelles et contre toutes les
tumeurs squirreuses, sous forme de cataplasme, des excréments de

2. ἐξιποῦν *ad Eun.*, ἐξηθοῦν Paul.; BP. — 10. ἕψειν BFP. — Ib. χρὴ ἑξωθοῦν Codd. 3. τὸ σπληνίου πύον om. A.

3 πλάτων. Διαφορεῖ δὲ φύματα καταπλασσόμενα λεῖα ἀδίαντον,
ἀτράφαξυς, ἐλξίνη, ἀλθαίας ῥίζα ἐν οἴνῳ ἑψηθεῖσα, ἀμμωνιακὸν
μετὰ μέλιτος μαλαχθὲν καὶ ἐπιτεθὲν, ἰξὸς σὺν ῥητίνῃ καὶ κηρῷ,
4 ἰτέας τὰ φύλλα ἀναληφθέντα κηρωτῇ. Ῥήσσει δὲ φύματα πρόπολις,
θέρμοι πικροὶ μετὰ ὄξους καταπλασθέντες, σικύου ἀγρίου ἡ ῥίζα 5
ἀναληφθεῖσα τερμινθίνῃ, καππάρεως ῥίζα ὁμοίως· νίτρον μετὰ
5 ζύμης ἢ σύκων. Τὰς δὲ ἐντὸς ἀποστάσεις ῥήσσει θάλασσα μετὰ
6 μελικράτου ποθεῖσα. Χοιράδας δὲ διαφορεῖ ἄσβεστος μέλιτι ἢ γλοιῷ
ἀναληφθεῖσα, ἢ ἐλαίῳ, ἢ στέατι χοιρείῳ, αἴρινον ἄλευρον μετὰ
περιστερᾶς κόπρου καὶ λινοσπέρμου ἐν οἴνῳ ἑψηθὲν, ὄλυνθοι ἄγριοι 10
καὶ ἥμεροι ἐφθοὶ λεῖοι καταπλασσόμενοι, καὶ πᾶσαν συστροφὴν
διαφοροῦσιν.

3 bœuf auxquels il ajoutait du vinaigre. Le capillaire, l'arroche, la pariétaire de Judée et la racine de guimauve dissipent les tubercules, quand on les fait bouillir dans du vin, pour les triturer ensuite et les appliquer sous forme de cataplasme; le même effet est produit par la gomme ammoniaque, si on l'applique pétrie avec du miel, par la glu combinée à de la résine et de la cire, et par les feuilles de saule incorporées dans
4 du cérat. Pour rompre les tubercules, on peut employer de la propolis ou des cataplasmes de lupins amers combinés au vinaigre, de racine de concombre sauvage ou de câprier incorporée dans de la résine de téré-
5 benthinier, de soude brute combinée à du ferment ou à des figues. De l'eau de mer prise en boisson avec de l'eau miellée rompt les abcès in-
6 ternes. Les écrouelles sont dissipées par la chaux vive incorporée dans du miel, de la crasse des baignoires, de l'huile ou de la graisse de porc, par de la farine d'ivraie, si on la fait bouillir dans du vin combinée aux excréments de pigeon et à de la graine de lin; par les petites figues rondes, qu'elles proviennent du figuier cultivé ou du figuier sauvage, quand on les fait bouillir pour les triturer ensuite et les appliquer sous forme de cataplasme; ces mêmes remèdes dissipent aussi toute espèce de collection.

2. ἀτράφαξις ABP. — Ib. ἐν om. Codd. — 4. πρόπολις om. F. — 5. ἡ om. ABP. — 3-4. κηρῷ... ἀναληφθέντα om. ABP.

λ'. Πρὸς σύριγγας.

Σπονδυλίου ἡ ῥίζα περιξεομένη καὶ ἐντιθεμένη συρίγγων τύ- 1
λους ἀφαιρεῖ. Καὶ ἐλλέβορος μέλας ἐντιθέμενος ἐν δύο καὶ τρισὶν 2
ἡμέραις ἀφίσθησι τὸν τύλον. Ἐκτήκει δὲ καὶ ἰοῦ ∠β', ἀμμωνιακοῦ 3
κολλυριοποιηθέντα καὶ ἐντεθέντα ταῖς σύριγξι μετὰ ὄξους ἢ ὕδατος,
5 ἀμόργῃ ἡψημένῃ καὶ ἐγκλυζομένῃ, σῶρι ὠμὸν ἢ κεκαυμένον μετὰ
ὀλίγου κράματος καὶ μέλιτος ἐγκλυζόμενον. Καὶ σαρκοῖ ὀμφάκιον 4
ἐγκλυζόμενον.

λα'. Περὶ βουβώνων. Ἐκ τῶν Γαληνοῦ.

Ὅταν βουβῶνες ἐπανασταῶσιν, εἰ μὲν πληθωρικὸν εἴη καὶ κακό- 1
χυμον πᾶν τὸ σῶμα, δύσκολος ἡ θεραπεία· παραληπτέον δὲ ὅμως
10 τὴν ἐπὶ τῶν ῥευματικῶν διαθέσεων εἰρημένην· εἰ δὲ ὑγιεινὸν ἀκρι-

30. REMÈDES CONTRE LES FISTULES.

La racine de la grande berce, râpée tout autour et introduite dans 1
les fistules, détruit les callosités. L'ellébore noir agit de même dans l'es- 2
pace de deux ou de trois jours. Le remède suivant les consume aussi : 3
vert-de-gris, deux drachmes; gomme ammoniaque, deux drachmes;
avec ces ingrédients on fait, on y ajoutant du vinaigre ou de l'eau, des
collyres que l'on introduit ensuite dans les fistules; le même effet est
produit par une injection de marc d'huile bouilli ou de sulfate de cuivre
natif, soit cru, soit brûlé, auquel on ajoute un peu de vin coupé ou de
miel. Une injection de verjus favorise aussi le développement des bour- 4
geons charnus.

31. DES BUBONS. — TIRÉ DE GALIEN.

Lorsqu'il s'est formé des bubons et que tout le corps est en proie à 1
la pléthore ou à une accumulation d'humeurs mauvaises, il est difficile
de guérir ces tumeurs; cependant on appliquera le traitement que nous
avons proposé à propos de l'état fluxionnaire (chap. 25 et 26); si, au
contraire, le corps est parfaitement sain, leur guérison est facile : en

CH. 30; l. 1. περιξεομ. Versio antiq.; περιζεομένη Codd. — 4. κολλυριοπ. ex em.; κολλύρια ποιηθέντα AF.; om. BP. — 5. ἑψημένη Codd. — CH. 31; tit. Ἐκ τῶν Γαληνοῦ Vers. antiq.; om. Codd. — 8. καί om. BP. — 10. γινομένην BP.

ϐῶς, εὔκολος· θερμαίνειν γὰρ χρὴ καὶ ὑγραίνειν ὅλον τὸ σκέλος, ἵνα ἀνώδυνον γένηται, καὶ ἐπιτιθέναι τῷ μὲν ἕλκει τῆς τετραφαρμάκου θερμῆς ἐν μότῳ λυομένης ῥοδίνῳ ἤ τινι τῶν χαλασϊκῶν ἐλαίων, περιελίττειν δὲ ὅλῳ τῷ κώλῳ πίλημα ἐλαίῳ θερμῷ βεβρεγμένον, ἔξωθέν τε καταπλάττειν τὸ ἕλκος καταπλάσματι θερμῷ ἐξ ἀλεύρου πυρίνου, ἢ κριθίνου, ἢ ἐξ ἀμφοτέρων σὺν ἐλαίῳ βραχεῖ, τὸν δὲ ἀδένα τὸν φλεγμαίνειν ἠργμένον παρηγορεῖν κατὰ ἀρχὰς ἔριον ἐπιτιθέντας διάβροχον ἐλαίῳ θερμῷ, μὴ μετὰ ἁλῶν, ὥς τινες ποιοῦσιν· ὕσϊερον γὰρ τούτοις χρησόμεθα, τοῦ τε παντὸς κώλου παρη-
2 γορηθέντος καὶ ἀνωδύνου γενομένου τοῦ ἕλκους. Ἐπὶ τούτοις μὲν οὖν ὡς ἐπὶ τὸ πολὺ τῶν ἀδένων ἡ φλεγμονὴ λύεται· πολλάκις δὲ
3 καὶ μείζων γίνεται καὶ ἐκπυΐσκεται. Ὅταν οὖν τὸ ζέον τῆς φλεγμονῆς παύσηται, τῶν μὲν παρηγορητικῶν φαρμάκων ἀφίσϊασθαι· χρῆσθαι δὲ τοῖς διαφορητικοῖς, κατὰ βραχὺ μεταϐαίνοντα τῶν δια-

effet, il faut échauffer et humecter toute la jambe, afin de calmer la douleur, appliquer à chaud sur la plaie elle-même le *médicament aux quatre ingrédients* dissous dans de l'huile aux roses ou quelque autre huile relâchante et enduit sur des tentes; enrouler toute la jambe dans de la laine feutrée trempée dans de l'huile chaude, et appliquer à l'extérieur sur la plaie un cataplasme chaud composé de farine de froment, de farine d'orge, ou de ces deux espèces de farine combinées et d'un peu d'huile; puis on traite la glande qui commence à s'enflammer en mettant dessus, au début, à titre de calmant, de la laine trempée dans de l'huile chaude, à laquelle on n'ajoute pas immédiatement du sel, comme quelques-uns le font; car on a plus tard recours à cet ingrédient, quand l'inflammation de tout le membre est apaisée et que la
2 plaie est devenue indolente. Le plus souvent l'inflammation des glandes se résout après l'emploi de ces remèdes; mais souvent aussi elle s'a-
3 grandit et suppure. Lors donc que l'inflammation n'est plus bouillonnante, il faut renoncer à l'emploi des médicaments calmants et employer les substances dissipantes, en passant peu à peu à celles de ces substances dont la consistance a le même degré de liquidité que les médi-

4. περιελίττειν δέ ad Eun.; περιελίττειν χρή Codd. — Ib. θερμῷ ad Eun.; om. Codd. — 5-8. ἐξ ἀλεύρου... θερμῷ om. BP.

φορούντων εἰς τὰ ταῖς συστάσεσιν ὑγρὰ ὅσα τοῖς ἐμμότοις ἐστὶν ὅμοια κηρωτοειδῆ· φεύγειν γὰρ ἐπὶ τούτων δεῖ τὰς σκληρὰς ἐμπλάστρους· συντείνουσι γὰρ τὰ μόρια καὶ αὖθις φλεγμαίνειν ἀναγκάζουσιν. Κἂν ἱκανὸν δὲ ᾖ πύον κατὰ τὸ διαπυῆσαν μόριον, οὐ χρὴ 4
5 διαιρεῖν εὐθὺς, ὥς τινες ποιοῦσιν, ἀλλὰ ἐπιχειρεῖν διαφορεῖν φαρμάκοις. Διαφορεῖ δὲ πάτος ταχέως τὸν ὄγκον κατὰ τῶν βουβώνων 5
ἐπιτιθέμενος. Τοὺς μὲν οὖν ἐπὶ προσκόμμασι καὶ ἑλκυδρίοις βου- 6
βῶνας καὶ πυρετοὺς ἀκινδύνους νομιστέον, κακοὺς δὲ τοὺς ἄλλους, καὶ μάλιστα τοὺς ἐπὶ πυρετοῖς γινομένους.

λϛ'. Περὶ ἐρυσιπελάτων.

10 Παχὺς καὶ δριμὺς χυμὸς ἐπιῤῥεύσας ἐργάζεται τὸ ἐρυσίπελας, 1
ὁτὲ μὲν χωρὶς ἕλκους, ὁτὲ δὲ μετὰ ἕλκους. Θεραπεύειν οὖν αὐτὸ 2
χολαγωγῷ πρότερον χρωμένους καθαρτηρίῳ, εἶτα οὕτως ἀποκρουομένους τὸ ἐπιῤῥέον διὰ τῶν ψυχόντων. Δεῖ δὲ μεταβαίνειν ἀπὸ τῶν 3

caments destinés aux tentes, c'est-à-dire qui ont la consistance du cérat: car, dans ces cas, on doit éviter l'emploi des emplâtres durs, attendu que ces emplâtres augmentent la tension des parties et réveillent l'inflammation. S'il y a une quantité assez considérable de pus dans la par- 4
tie, ne pratiquez pas tout de suite une incision, comme quelques-uns le font, mais tâchez de dissiper ce pus à l'aide de médicaments. Si on 5
applique sur les bubons de la crasse des palestres, elle dissipe rapidement la tuméfaction. Les bubons et les fièvres qui proviennent de ce 6
qu'on s'est heurté ou de ce qu'on a eu de petites plaies sont exempts de danger, tandis que les autres bubons sont mauvais, et surtout ceux qui viennent à la suite de fièvres.

32. DE L'ÉRÉSIPÈLE.

L'érésipèle est produit par l'afflux d'une humeur épaisse et âcre; cette 1
affection peut avoir lieu avec ou sans ulcération. On la traite en em- 2
ployant d'abord un médicament purgatif qui chasse la bile, et en répercutant ensuite l'humeur qui afflue à l'aide des refroidissants. On 3

CH. 32; l. 10. τό *ad Eun.*; τόν Codd. om. ABP. — Ib. αὐτό *ad Eun.*; αὐτόν — 11. ὁτὲ... ἕλκους om. BFP. — Ib. οὖν Codd.

ψυχόντων ἐπὶ τὰ διαφοροῦντα πρὶν πελιδνὸν ἢ καὶ μέλαν γενέσθαι
4 τὸ μόριον. Χρῄζει δὲ τὰ ἐρυσιπέλατα ψυχόντων μετὰ ὑγρότητος
ἄνευ στύψεως, οἷόν ἐστιν ἀείζωον καὶ ἀνδράχνη καὶ ψύλλιον, ὅ τε
ἀπὸ τῶν τελμάτων φακὸς καὶ κοτυληδὼν, σπρύχνος τε καὶ ὑοσκύα-
μος, καὶ θριδακίνη καὶ γλαύκιον, αἵ τε διὰ ὕδατος πάνυ ψυχροῦ 5
5 κηρωταί. Μίγνυται δὲ καὶ ὀπίου τι τούτοις, καὶ χυλοῦ μήκωνος, καὶ
6 κωνείου καὶ μανδραγόρου, καὶ γίνεται σύνθετα φάρμακα. Ψύχουσα
κηρωτή· τήξαντας ἐλαίῳ κηρὸν ὡς ἔνι μάλιστα καθαρὸν, ποιεῖν
χρὴ κηρωτὴν ὑγρὰν καὶ ψύξαντας ἐνθυίᾳ μαλάττειν ταῖς χερσὶν,
ὕδωρ ψυχρὸν παραχέοντας ὅσον ἂν ἡ κηρωτὴ καταδέξασθαι δύνηται. 10
7 Κάλλιον δὲ εἶναι τὸ ἔλαιον ῥόδινον ἐξ ὀμφακίνου χωρὶς ἁλῶν, καὶ
8 τριπλάσιον εἶναι τοῦ κηροῦ τὸ ῥόδινον. Εἰ δὲ καὶ ὄξους βραχύ τι
μῖξαι βουληθείης λεπτοῦ καὶ διαυγοῦς, ἔτι δὴ καὶ μᾶλλον ὑγρὸν καὶ
9 ψυχρὸν ἀποτελέσει τὸ φάρμακον. Τοῦτο δὲ ἐπιτήδειόν ἐστιν οὐ
μόνον τοῖς ἐρυσιπέλασιν, ἀλλὰ καὶ τοῖς ἑκτικοῖς πυρετοῖς, καὶ 15

passe des refroidissants aux médicaments qui dissipent avant que la par-
4 tie soit devenue livide ou même noire. Les affections érésipélateuses
exigent l'emploi de remèdes réfrigérants, doués d'humidité, mais non
d'astringence : tels sont la joubarbe, le pourpier, la pulicaire, la lentille
des marais, le cotylédon, la morelle, la jusquiame, la laitue, le glau-
5 cium et les cérats faits avec l'eau très-froide. On mêle aussi à ces mé-
dicaments un peu de suc, soit naturel soit artificiel, de pavot, de ciguë
6 ou de mandragore, et l'on forme ainsi des médicaments composés. Cérat
refroidissant : on fond dans de l'huile de la cire aussi pure que pos-
sible, pour obtenir un cérat liquide; ensuite on la fait refroidir dans un
mortier pour la pétrir avec les mains, en ajoutant autant d'eau froide
7 que le cérat peut en absorber. Employez de préférence de l'huile aux
roses préparée avec de l'huile d'olives vertes, sans sel; que la quantité
8 de l'huile soit le triple de celle de la cire. Si vous voulez y mêler aussi
un peu de vinaigre ténu et transparent, cela rendra le médicament en-
9 core plus humide et plus froid. Ce médicament convient non-seule-
ment en cas d'affections érésipélateuses, mais aussi dans les fièvres hec-

5. πάνυ ψυχραί BFP. — 13. καί post δή om. ABP.

φλεγμοναῖς ταῖς ἐν αἰδοίοις κατὰ ἀρχὰς πρὶν νομώδη τινὰ διάθεσιν συσταθῆναι. Καὶ ψύχουσαι δὲ πόαι μετὰ ἀλφίτων λεπτῶν ἐμψύχουσιν 10
ἱκανῶς, καὶ φοίνικες δὲ λιπαροὶ τοῦ μὲν ὑμενώδους αὐτοῖς ἐξαιρεθέντος διὰ ἑψήσεως τακεροὶ γενηθέντες, εἶτα λειωθέντες καὶ ἐπιτε-
5 θέντες· ξηρότεροι δὲ εἰ φανεῖεν κατὰ τὴν σύστασιν, τῆς προειρημένης κηρωτῆς μίξεις. Παυσαμένης δὲ τῆς φλεγμονῆς πρὶν πελιδνὸν 11
γενέσθαι τὸ μόριον καταπλάττειν διὰ ὠμῆς λύσεως· εἰ δὲ καὶ φθάσειε γενέσθαι πελιδνὸν, ἀποσχάζοντα καταπλάττειν οὕτω, καταντλεῖν δὲ διὰ ὕδατος θερμοῦ γλυκέος, ἐνίοτε δὲ θαλάττῃ ἢ ἅλμῃ, καί
10 ποτε καὶ τῷ καταπλάσματι μιγνύναι τούτων.

λγ'. Περὶ ἕρπητος.

Δριμύς ἐστι χυμὸς ὁ καὶ τὸν ἕρπητα ποιῶν, ἀλλὰ ἐὰν ἄμικτος 1
μὲν ἡ χολὴ συῤῥεύσασα τύχῃ, τῇ σφοδρᾷ δριμύτητι τὸν ἐσθιόμενον

tiques, et, en outre, au commencement des inflammations des parties génitales, avant qu'il existe une ulcération serpigineuse. Les herbes 10
réfrigérantes refroidissent aussi assez fortement, quand on les combine avec de l'alphiton fin; il en est de même des dattes grasses auxquelles on a enlevé la partie membraneuse, qu'on a rendues diffluentes en les faisant bouillir, et qu'on triture ensuite pour les appliquer; s'il vous semble qu'elles ont une consistance trop sèche, ajoutez-y un peu du cérat dont nous venons de donner la formule. Quand l'inflammation a 11
cessé, appliquez le cataplasme généralement usité, avant que la partie soit devenue livide; si la lividité s'est déjà déclarée, appliquez-y des cataplasmes, après l'avoir scarifiée, et faites des affusions avec de l'eau douce chaude; quelquefois on se sert d'eau de mer ou d'eau salée pour les affusions, et d'autres fois encore on incorpore ces liquides dans le cataplasme.

33. DE L'HERPÈS.

C'est encore une humeur âcre qui produit l'herpès; mais, s'il y a 1
un afflux de bile sans mélange, cette humeur donne lieu, par suite de

9. δέ ante διά om. BFP. — Ch. 33; l. 12. μέν ad Eun.; om. Codd.

ἕρπητα συνίσθησι μετὰ ἀναβρώσεως τὸ συνεχὲς τοῦ δέρματος ἐπι-
λαμβάνουσα· διὸ καὶ ἕρπης ὠνομάσθη τὸ πάθος· ἐὰν δὲ φλέγματι
συμμιγῇ, τὸν ἕτερον ἕρπητα τὸν ὀνομαζόμενον κεγχρίαν ἀποτελεῖ,
2 κέγχροις ὁμοίας ἐξοχὰς κατὰ τὸ δέρμα ποιοῦντα. Ὁ μὲν οὖν καθαί-
ρων πᾶν τὸ σῶμα πρότερον, εἶτα ἑξῆς προσάγων τὰ ἀποκρουστικὰ 5
τοῖς πεπονθόσι μορίοις, οὗτος ἰᾶται τὸν ἕρπητα προσηκόντως· ὁ
δὲ εὐθὺς τοῖς ἐπουλοῦσι τὴν ἡλκωμένην ἐπιδερματίδα χρώμενος
ταύτην μὲν ἰᾶται, τὴν δὲ ἐφεξῆς οὐ κωλύσει διάθεσιν ἔχειν τὴν
3 ὁμοίαν τῇ προτέρᾳ. Κενώσομεν οὖν τὸ σῶμα ὡς ἐν τοῖς ἐρυσιπέ-
λασιν ὁμοίως, τοῖς δὲ πεπονθόσι τόποις οὐ τὰ αὐτὰ προσάξομεν· 10
ψύχεσθαι μὲν γὰρ δέονται παραπλησίως τοῖς ἐρυσιπέλασιν, οὐκέτι
4 δὲ καὶ ὑγραίνεσθαι. Καταλληλα δὲ αὐτοῖς τὰ ψύχοντα καὶ ξηραί-
νοντα· μήτε οὖν θριδακίνην προσαγέτω τις, μήτε φακὸν τὸν ἐπὶ
τῶν τελμάτων, μήτε ἀνδράχνην, ἢ ἀείζωον, ἤ τι τῶν οὕτω ψυχόντων

son âcreté très-vive, à l'herpès rongeant, lequel corrode la partie de la peau qui lui est contiguë; c'est aussi la raison pour laquelle cette maladie a été appelée *herpès* (c'est-à-dire *qui rampe*); si, au contraire, de la pituite se trouve mêlée à la bile, elle occasionne l'autre espèce d'herpès qu'on nomme *miliaire*, parce qu'il fait venir à la peau de petites excroissances
2 semblables à des grains de millet. Le médecin qui purge d'abord l'ensemble du corps et qui applique ensuite les substances répercussives sur les parties affectées guérit l'herpès comme il faut; celui, au contraire, qui a recours, dès le début, à des médicaments qui cicatrisent la partie ulcérée de l'épiderme, guérit [la partie malade], mais il n'empêchera pas la partie contiguë d'être prise d'une maladie semblable à la première.
3 Nous ferons donc une déplétion générale, de la même manière que dans l'érésipèle, mais nous n'appliquerons pas les mêmes médicaments sur les parties affectées; car l'herpès a besoin d'être refroidi tout aussi bien que l'érésipèle, mais il n'a pas du tout besoin d'être humecté.
4 L'herpès exige l'emploi des médicaments qui refroidissent et dessèchent; n'appliquez donc ni laitue, ni lentille des marais, ni pourpier, ni joubarbe, ni quelque autre médicament qui refroidisse et qui humecte

9. Κενώσωμεν BFP.

καὶ ὑγραινόντων, ἀλλὰ κατὰ ἀρχὰς μὲν ἕλικας ἀμπέλου καὶ βάτου φύλλα καὶ ἀρνογλώσσου καταπλάττειν, ὕστερον δὲ φακὴν τούτοις μιγνύειν, καί ποτε καὶ μέλιτος καὶ ἀλφίτων, καὶ τὸ προγεγραμμένον πρὸς τὰς ἐκ ῥευμάτων φλεγμονὰς κατάπλασμα χωρὶς τοῦ ἀειζώου· τὰ δὲ ἡλκωμένα τοῖς φαρμάκοις ἐπιχρίειν τοῖς πρὸς ἕρπητας ποιοῦσι τροχίσκοις λυομένοις γλυκεῖ ἢ οἴνῳ λεπτῷ καὶ αὐστηρῷ μὴ παλαιῷ, ἢ ὀξυκράτῳ ὑδαρεῖ. Χρονίων δὲ ὄντων ἤδη τῶν 5 τοιούτων ἑλκῶν ἐπιτήδειος ὅ τε τοῦ Μούσα καὶ ὁ τοῦ Ἄνδρωνος τροχίσκος. Τὰ ἐπιπολῆς δὲ μόνον ἑλκώσαντος τοῦ ἕρπητος, εἰ μὴ 6 πάνυ χρόνιος τυγχάνει, μὴ καταχρίειν μηδενὶ τούτων· ἰσχυρότερα γάρ ἐστι καὶ ξηραίνει πλέον ἢ δεῖ· προσφέρειν δὲ τοῖς τοιούτοις ἕρπησι γλαύκιόν τε καὶ τὰ τούτῳ παραπλήσια, μάλιστα μὲν ἀνιέντα ὕδατι· μηδὲν δὲ ἀνύοντος καὶ ὄξους παραπλέκειν. Καὶ χυλὸν δὲ 7

de cette manière-là; mais qu'on y mette au commencement des cataplasmes de vrilles de vigne, ou de feuilles de ronce ou de plantain; plus tard on ajoutera des lentilles cuites, et quelquefois du miel et de l'alphiton, à ces ingrédients; on pourra aussi avoir recours au cataplasme contre les inflammations causées par des fluxions et que nous avons décrit plus haut (chap. 25), en supprimant toutefois la joubarbe; sur les parties ulcérées, on appliquera en liniment les médicaments qui ont de l'efficacité contre l'herpès; ce sont des pastilles qu'on peut dissoudre dans du vin d'un goût sucré ou du vin ténu et légèrement âpre, pourvu qu'il ne soit pas vieux, ou dans de l'eau faiblement vinaigrée. Si ces 5 ulcères sont passés à l'état chronique, les *pastilles d'Andron* et *de Musa* peuvent être employées. Si l'herpès n'a produit des ulcères que sur les 6 parties superficielles, et s'il n'est pas tout à fait chronique, on n'emploiera aucun des liniments dont nous venons de parler, car ils sont trop forts et dessèchent plus qu'il ne le faut; mais, si l'herpès se trouve dans ces conditions, on y appliquera du glaucium et d'autres substances qui lui ressemblent, en les délayant de préférence dans l'eau; cependant, si un tel médicament ne produit aucun effet lorsqu'il est ainsi préparé, on ajoutera du vinaigre à l'eau. Si vous délayez du suc de plan- 7

2. φύλλα Aët; om. Codd. — 8. ὅ τε τοῦ Μούσα om. BFP. — 13. καί ante ὄξους Gal.; om. Codd. — Ib. Καὶ χυλῷ δέ BFP.

8 ἀρνογλώσσου ἢ στρύχνου διεὶς οἴνῳ ὀνήσεις οὐ μικρῶς. Λίνου σπέρμα
9 φώξας καὶ ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψήσας καὶ λεάνας ἐπιτίθει. Ἢ γῆν
10 κιμωλίαν στρύχνου χυλῷ διεὶς κατάχριε. Ἢ λιθαργύρου ∠δ', καὶ
πράσου χυλοῦ κοτύλης ἥμισυ καὶ τεύτλου χυλοῦ τὸ ἴσον κατάχριε
λεάνας.

λδ'. Περὶ σκίῤῥων.

1 Σκληρὸς οὕτως ἐστὶν ὥσπερ ὀστοῦν ὁ σκίῤῥος· ἔστι δὲ καὶ ἀναί-
σθητος, καὶ ὅ γε τοιοῦτος ἀνίατος παντάπασιν· ὁ δὲ ἔχων ἀμυδρὰν
2 γοῦν αἴσθησιν ὑπὸ τῶν διαφορούντων θεραπεύεται φαρμάκων. Ἀλλὰ
τὰ διαφοροῦντα καὶ ἀθρόως κενοῦντα χωρὶς τοῦ μαλάττειν ἐν μὲν
ταῖς πρώταις ὀλίγαις ἡμέραις ἐλαττοῦν δοκεῖ τὸν ὄγκον· τὸ δὲ ὑπό-
λοιπον τῆς διαθέσεως ἀνίατον καθίσταται, πάντος τοῦ λεπτομεροῦς
διαφορηθέντος· διὰ τοῦτο οὖν ἐπιτηδειότερα τῶν φαρμάκων ἐστὶν ὅσα
3 μετὰ τοῦ μαλάττειν διαφορεῖν πέφυκεν. Μαλακτικὰ μὲν οὖν ἐστιν

tain ou de morelle dans le vin, vous produirez aussi un assez grand
8 effet. Faites bouillir de la graine de lin grillée dans du vin ou de l'huile,
9 et appliquez-la après l'avoir triturée. Délayez de la terre de Cimole dans
10 du suc de morelle et employez-la comme liniment. Autre : litharge,
quatre drachmes; suc de poireau, un demi-cotyle; quantité égale de suc
de bette; faites un liniment en triturant.

34. DES SQUIRRES.

1 Le *squirre* est aussi dur qu'un os; mais il y a aussi un squirre insen-
sible, et celui-là est complétement incurable; celui, au contraire, qui a
encore de la sensibilité, quoique faible, peut être guéri par les médi-
2 caments qui dissipent. Les médicaments qui dissipent et qui produisent
une évacuation abondante et subite semblent diminuer le volume de la
tumeur tout à fait dans les premiers jours; seulement, ce qui reste de la
maladie est incurable, attendu que tout ce qu'il y avait de subtil a été
dissipé; pour cette raison, les médicaments qui sont capables de dissi-
3 per en même temps qu'ils ramollissent conviennent le mieux. La graisse

1. στρύχνου BFP.

ἐλάφειον σέαρ καὶ μυελὸς, καὶ ταύρειον καὶ ἄρκειον σέαρ, ἀμμωνιακόν τε καὶ βδέλλιον καὶ σίδραξ, καὶ τούτοις χρησάμενοι μετὰ τὸ λυθῆναι τὴν σκληρότητα τὰ διαφορητικὰ προσάξομεν, ὁποία ἐστὶ τῆλις, καὶ αἰγεία κόπρος σὺν ὀξυκράτῳ. Συντίθεται δὲ φάρ- 4
5 μακα παρὰ τῶν ἰατρῶν πρὸς ἀμφοτέρους τοὺς σκοποὺς ἁρμόττοντα, τόν τε τῆς τοῦ σκίῤῥου διαλύσεως, καὶ τὸν τῆς διαφορήσεως, οἷόν ἐστι καὶ τὸ γαλήνειον· πέρνης χοιρείας παλαιᾶς λίπους, ἀμμωνιακοῦ θυμιάματος, τυροῦ βοείου ἢ αἰγείου παλαιοῦ, σέατος ταυρείου, ἀποχύματος ἀνὰ ϟα', μυελοῦ ἐλαφείου ϛο η', οἰσύπου ϛο γ', κυπρί-
10 νου ϛο ς', οἴνου αἰγυπτίου κοτύλης ἥμισυ. Λέξομεν δὲ καὶ ἐν τῷ 5
ἐννάτῳ περὶ τῶν ἐν ποδάγραις σκίῤῥων.

λε'. Περὶ οἰδημάτων. Ἐκ τῶν Γαληνοῦ.

Ῥεῦμα φλεγματῶδες τὸ οἴδημα γεννᾷ, χαῦνον ὄγκον καὶ εἴκοντα 1

et la moelle de cerf, la graisse de taureau, de bouc et d'ours, la gomme ammoniaque, le bdellium et le styrax, sont des ramollissants; après avoir employé ces substances-là, nous appliquerons, quand nous aurons obtenu la résolution de la dureté, les médicaments qui dissipent; à cette classe appartiennent le fenugrec et la fiente de chèvre dans de l'eau vinaigrée. Les médecins font des médicaments composés qui remplissent 4
les deux indications, celle de dissoudre le squirre et celle de dissiper; tel est le médicament suivant de Galien : vieille graisse de jambon, gomme ammoniaque, vieux fromage de vache ou de chèvre, graisse de taureau, raclure de vieux navires, de chacun, une livre; moelle de cerf, huit onces; suint de laine, trois onces; huile à l'alcanna, six onces; vin égyptien, un demi-cotyle. Dans le neuvième livre (chap. 57-59), nous 5
parlerons des squirres qui surviennent chez les goutteux.

35. DES ŒDÈMES. — TIRÉ DE GALIEN.

C'est un flux pituiteux qui produit l'œdème, lequel est une tumeur 1

9. ἀνά Aët.; om. Codd. — Ib. οἰσύπου Aët.; ὑσώπου F; ὑσσώπου ABF — Ch. 35; tit. Ἐκ τῶν Γαλ. Vers. antiq.; om. Codd.

καὶ βοθρούμενον κατὰ τὰς πιέσεις τῶν δακτύλων· ἔστι δὲ καὶ ἀνώ-
2 δυνος. Ἰᾶσθαι δὲ αὐτὸν χρὴ σπόγγον ὀξυκράτῳ βρέχοντα, καὶ ἐπι-
τιθέναι μετὰ ἐπιδέσεως ἠρέμα σφιγγούσης ἐκ τῶν κάτω μὲν ἀρχο-
3 μένης μερῶν, τελευτώσης δὲ εἰς τὰ ἄνω. Καινὸν δὲ εἶναι χρὴ τὸν
σπόγγον, κἂν μὴ παρῇ τοιοῦτος, ἐκκαθαίρειν τὸν παρόντα νίτρῳ, 5
καὶ μᾶλλον τῇ καλουμένῃ σταχτῇ κονίᾳ· μὴ καθιστάμενον δὲ ἐπὶ
4 τούτοις τοῦ οἰδήματος, βραχύ τι στυπτηρίας μιγνύειν. Ἐπιτήδειον δὲ
καὶ τὸ ἁπαλώτατον ἐλλύχνιον ὑγρότητι τοιαύτῃ δευόμενον καὶ ἐπι-
5-6 τιθέμενον. Καλὸν δὲ καὶ τὸ γλαύκιον. Κεχρονικὸς δὲ οἴδημα προϋ-
παλείψας ἐλαίῳ τὸ μόριον, εἶτα ἐπιθεὶς σπόγγον ἐκ κονίας, καὶ 10
7 σφίγξας βιαιότερον θεραπεύσεις. Ἴσατις ἡ ἥμερος τοὺς οἰδηματώ-
δεις ὄγκους θαυμαστῶς διαφορεῖ τε καὶ προσστέλλει· γῆ λιπαρὰ
πᾶσα, καὶ μᾶλλον ἡ αἰγυπτία.

spongieuse, qui cède et se creuse quand on la comprime avec les doigts;
2 en outre, l'œdème est exempt de douleur. Il faut guérir cette maladie à
l'aide d'une éponge trempée dans l'eau vinaigrée, qu'on applique avec
une bande qui serre doucement et qui commence à la partie inférieure
3 pour finir à la partie supérieure. Cette éponge doit être neuve, et, si l'on
n'en a pas de telle à sa disposition, on nettoiera celle qu'on a avec de la
soude brute, ou plutôt avec ce que l'on appelle de la *lessive filtrée;* si,
après l'emploi de ces remèdes, l'œdème ne revient pas à l'état naturel,
4 on ajoutera un peu d'alun. C'est encore un remède très-approprié qu'un
plumasseau très-doux humecté dans un liquide pareil et appliqué en-
5-6 suite. Le glaucium est bon aussi. Vous guérirez l'œdème chronique en
commençant par oindre la partie affectée avec de l'huile, en appliquant
ensuite une éponge trempée dans de la lessive et en serrant assez forte-
7 ment. La guède cultivée dissipe et resserre admirablement les tumeurs
œdémateuses; il en est de même de toute espèce de terre grasse, surtout
de celle d'Égypte.

12. προσστέλλει ex em.; προστέλλει Codd.

λϛ'. Περὶ τερμίνθου.

Εἶδος φύματος ἡ τέρμινθός ἐστιν· ἐπίκειται δὲ τῷ ἕλκει ἀνωτάτω 1
φλύκταινα μέλαινα, ἧς ἐκραγείσης τὸ ὑποκάτω ὅμοιον ἀποσεσυρ-
μένῳ ἐστίν· τούτου δὲ διαιρεθέντος, πύον εὑρίσκεται.

λζ'. Περὶ ἐπινυκτίδος.

Αἱ δὲ ἐπινυκτίδες ἑλκύδριά ἐστιν ἀπὸ ταὐτομάτου ἐξανθοῦντα, 1
5 φλυκταινοειδῆ, ὑπέρυθρα, ὧν ῥηγνυμένων ἰχὼρ ὕφαιμος ἀπορρεῖ.
Ταῦτα μὲν ἡμέρας οὐ πάνυ ἐνοχλεῖ, νυκτὸς δὲ ἐπώδυνά ἐστι μᾶλλον 2
ἢ κατὰ τὸ ἕλκος. Ὀπὸν σιλφίου ὕδατι διεὶς ἐπιτίθει· ξηραίνει ἄνευ 3
δήξεως. Ἢ κώνειον λεάνας ἐπιτίθει. Ἢ κράμβην ὠμὴν μετὰ ὕδατος 4-5
ἐπιτίθει.

λη'. Περὶ συνδέσμων τμηθέντων.

10 Σύνδεσμος ὁ μὲν ἐξ ὀστοῦ διήκων εἰς ὀστοῦν ἀκινδυνότατός ἐστι, 1

36. DU TERMINTHE.

Le terminthe est une espèce de tubercule; tout à fait au sommet, il 1
est surmonté d'une vésicule noire; après la rupture de cette vésicule, ce
qui est en dessous ressemble à une surface écorchée, et, en divisant
cette surface, on trouve du pus.

37. DE L'ÉPINYCTIS.

Les épinyctis sont de petits ulcères qui viennent spontanément sous 1
la forme d'une vésicule rougeâtre; après la rupture de ces vésicules, il
s'en écoule un ichor légèrement sanguinolent. Ces ulcères n'incommo- 2
dent pas trop pendant le jour, mais la nuit ils sont douloureux, et les
douleurs sont plus fortes qu'on ne s'y attendrait d'après l'étendue de
l'ulcère. Délayez du suc de silphium dans de l'eau et appliquez-le : ce 3
remède dessèche sans produire des picotements. Autre : Triturez de la 4
ciguë et appliquez-la. Autre : Appliquez du chou cru avec de l'eau. 5

38. DE L'INCISION DES LIGAMENTS.

L'incision d'un ligament qui se rend d'un os à un autre os est complé- 1

Ch. 36; l. 1. ἐστιν, φησὶν ὁ Ὀριβάσιος Paul. — 3. εἶναι BFP. — Ib. εὑρίσκεσθαι BP. — Ch. 37; l. 8. Ἢ... ἐπιτίθει om. A. — 8-9. Ἢ... ἐπιτίθει om. BP.

καὶ ξηραίνων αὐτὸν ὁποίοις βούλει φαρμάκοις οὐδὲν βλάψεις· ὁ δὲ εἰς μῦν ἐμφυόμενος, ὅσον ἀκινδυνότερός ἐστι τένοντος καὶ νεύρου, τοσοῦτον τῶν ἄλλων συνδέσμων σφαλερώτερος, ἢν μὴ χρηστῶς θεραπεύηται.

λθ'. Περὶ θύμου.

1 Θύμος ἐστὶν ἕλκος ὑπερσαρκοῦν τραχείᾳ καὶ ψαθυρᾷ σαρκί· γί- 5
2 νεται δὲ ἔν τε ἕδρᾳ καὶ αἰδοίοις. Καὶ τὸ μὲν εὔηθες καὶ πολλάκις αὐτόματον ἀποπίπτον· τὸ δὲ κακοηθέστερον καὶ ὀδύνην παρέχον· τινὰ δὲ καὶ ἀνίατά ἐστιν.

μ'. Περὶ σύκων.

1 Σῦκα ὀνομάζουσι βλαστήματα ἑλκώδη, στρογγύλα, ὑπόσκληρα, ἐνερευθῆ, οἷς ἀκολουθεῖ καὶ ὀδύνη· φύεται δὲ ταῦτα τὸ μὲν πλεῖστον 10
2 ἐν κεφαλῇ, κἀν τῷ ἄλλῳ σώματι. Ἄριστον δὲ ἐπὶ τούτοις φάρμακόν

tement exempte de danger; et, si l'on dessèche ce ligament par tel médicament qu'il plaira d'employer, on ne cause aucun mal; mais, si l'on ne dirige pas bien le traitement du ligament qui s'implante sur un muscle, on s'expose à d'autant plus de mécomptes, eu égard aux autres ligaments, qu'il fait courir moins de danger, si on le compare à un tendon ou à un nerf.

39. DU THYME.

1 Le thyme est un ulcère à chair luxuriante, rugueuse et sans cohé-
2 sion; il survient au siége et aux parties génitales. Il y a des thymes bénins et qui tombent souvent d'eux-mêmes; d'autres ont un caractère plus malin et sont douloureux; il y en a même qui sont incurables.

40. DES FIGUES.

1 Les figues sont des protubérances ulcérées, rondes, rouges, un peu dures et douloureuses; elles poussent le plus souvent à la tête, mais elles
2 peuvent survenir aussi aux autres parties du corps. Le meilleur re-

2. ἀκίνδυνον BP. — CH. 40; l. 9. νομίζουσι BFP.

ἐστι στυπτηρία σχιστὴ καὶ χαλκοῦ ἄνθος ὀπτὸν, καὶ ταυροκόλλα ἴσα μετὰ λεπίδος χαλκοῦ διπλασίας. Τρίβων μετὰ ὄξους κατάχριε. 3 Ἀγαθὸν δὲ καὶ τῶν μαινίδων αἱ κεφαλαὶ κεκαυμέναι, καὶ βολβοὶ 4 ἑφθοὶ, καὶ τέφρα μετὰ ὄξους ὁμοῦ μεμιγμένη.

μα'. Πρὸς δοθιῆνας.

Ἐκ παχέων μὲν χυμῶν οἱ δοθιῆνες γίνονται· διαφοροῦσι δὲ αὐ- 1 τοὺς καὶ πέττουσι πυροὶ μασώμενοι καὶ ἐπιτιθέμενοι. Καὶ μαστίχη 2 δὲ αὐτοὺς ὀνίνησιν αἰγυπτία. Σταφίδας ἐκγεγιγαρτισμένας τρῖψον, 3 καὶ μίξας ἁλὸς λείου ἴσον κατάπλασσε τοῦτο· ἢ διαχεῖ ἢ ῥήσσει. Ἰσχάδας ἑφθὰς τρίψας καὶ ὕδωρ παραχέας χρῶ· ἢ ταῖς ἰσχάσι μίξας 4 ῥητίνην ἐπιτίθει.

μβ'. Πρὸς ἐπινυκτίδας.

Σέλινον μετὰ ἀλφίτου τρίψας κατάπλασσε. Κράμβης φύλλα 1-2

mède pour ces protubérances est le médicament suivant : parties égales d'alun de plume, de fleurs de cuivre grillées et de colle de taureau, et moitié de battitures de cuivre. Triturez ces substances avec du vinaigre 3 et employez-les comme liniment. Ce sont encore de bons remèdes contre 4 cette affection que des têtes brûlées de mendoles [salées], des oignons de vaccet bouillis et de la cendre pétris ensemble avec du vinaigre.

41. REMÈDES CONTRE LES FURONCLES.

Les furoncles proviennent d'humeurs épaisses; ils sont dissipés et 1 amenés à maturité par l'application de froment mâché. Le mastic d'É- 2 gypte convient aussi à ces tumeurs. Triturez des raisins secs, après en 3 avoir ôté les pepins, ajoutez-y une quantité égale de sel réduit en poudre impalpable, et faites un cataplasme; ce médicament dissipe ou fait éclater. Triturez des figues sèches bouillies, et versez de l'eau dessus avant 4 de vous en servir; ou ajoutez de la résine aux figues sèches et appliquez-les.

42. REMÈDES CONTRE LES ÉPINYCTIS.

Cataplasme de céleri trituré avec de l'alphiton. Application de feuilles 1-2

1. καί ante χαλκοῦ om. BP. — Ib. ἴσα om. BP. — Ch. 41; l. 7. ἐκγεγιγαρτισμένας, ex em.; ἐκγιγαρτισμέναι BFP; ἐκγιγαρτωμέναι A.

3 τρίψας ἐπιτίθει. Ὑοσκυάμου φύλλα τρίψας μετὰ μέλιτος ἐπιτίθει·
4 σίρύχνον κατὰ ἑαυτὸν καὶ μετὰ κορίου χλωροῦ. Ἐλαίας φύλλοις
5 ἑφθοῖς μετὰ ὕδατος χρῶ. Σταφίδας ἐκγεγιγαρτισμένας λείας μῖξον
καὶ σπληνίῳ καταχρίων ἐπιτίθει· ἀδίαντον τρίψας μετὰ μέλιτος.
6 Φυλακτέον δὲ τὴν τῶν δριμέων καὶ ὀξέων καὶ ἁλυκῶν προσφορὰν, 5
καὶ πυρίαν, καὶ λουτρὸν, καὶ ἥλιον.

μγ'. Πρὸς ἀκροχορδόνας καὶ μυρμηκίας καὶ τὰ ὅμοια.

1 Διὰ μὲν τῶν σφοδρῶς ἑλκόντων φαρμάκων ἥ τε μυρμηκία καὶ
ἀκροχορδὼν ἀποσπασθήσεται· διὰ δὲ τῶν σηπόντων νεκρωθήσεται.
2 Ἰτέας τοῦ φλοιοῦ κεκαυμένου ἡ τέφρα ἥλους καὶ τύλους, ἔτι τε
3 μυρμηκίας ἐξαίρει σὺν ὄξει δριμεῖ δευθεῖσα. Μελάνθιον ἥλους καὶ 10
4 μυρμηκίας καὶ ἀκροχορδόνας καὶ πτερύγια καὶ θύμους ἀφαιρεῖ. Καὶ
ἡ τῶν προβάτων κόπρος πρὸς ἀκροχορδόνας καὶ μυρμηκίας καὶ

3 de choux triturées. Feuilles de jusquiame triturées avec du miel, ou de
4 la morelle, soit seule, soit avec de la coriandre verte. Feuilles d'olivier
5 bouillies dans de l'eau. Malaxez des raisins secs, dont on a enlevé les
pepins pour les triturer ensuite; étendez-les sur un cataplasme et ap-
pliquez-le; administrez de la même manière du capillaire trituré avec
6 du miel. Gardez-vous de manger ou de boire quelque chose d'âcre,
d'aigre ou de salé, et évitez, en outre, l'étuve, le bain et le soleil.

43. REMÈDES CONTRE LES ACROCHORDONS, LES FORMICAIRES ET AUTRES AFFECTIONS SEMBLABLES.

1 Les formicaires et les acrochordons sont arrachés par les médi-
caments qui ont des propriétés attractives très-violentes, et ils sont
2 mortifiés par les putréfactifs. La cendre d'écorces de saule enlève les
durillons et les tumeurs calleuses; quand on trempe ces cendres dans
3 du vinaigre fort, elles enlèvent aussi les formicaires. La nielle enlève
les durillons, les formicaires, les acrochordons, les ongles incarnés et
4 les thymes. Les excréments de mouton trempés dans du vinaigre ont
de l'efficacité contre les acrochordons, les formicaires, les thymes et les

3. ἐκγεγιγαρτισμένας ex em.; ἐκγιγαρτισμένας Codd. — Ch. 43; l. 10. ἐξαιρεῖ ABP. — Ib. καί Gal.; om. Codd.

θύμους καὶ δοθιῆνας σκληροὺς καὶ ἥλους ποιεῖ ὄξει δευομένη. Ὄλυν- 5
θοι ἑψηθέντες μὲν σκληροὺς ὄγκους διαφοροῦσιν, ὠμοὶ δὲ καὶ μυρ-
μηκίας τε καὶ θύμους ἐκβάλλουσιν. Τὰ δὲ κονδυλώματα σίελλει 6
ἐλαίας ἄνθη μετὰ ὕδατος καταπλασσόμενα, ἀλόη σὺν γλυκεῖ κατα-
χριομένη, πενταφύλλου ῥίζα καταπλασθεῖσα, κυδώνια ἑφθὰ σὺν
ἄρτῳ ἢ ἀλφίτῳ, μυρσίνης φύλλα κεκαύμενα σὺν κηρωτῇ, πρόπολις
προμαλασσομένη καὶ ἐπιτιθεμένη. Αἴρει δὲ τὰ κονδυλώματα καὶ 7
τὰ σῦκα ἀρσενικὸν καταπλασθὲν, ἄσβεστος καὶ τρὺξ ἰξῷ ἀναλη-
φθέντα καὶ ὡς σπληνίον ἐπιτιθέμενα. Τὰ δὲ ὑπερμεγέθη σῦκα ἀπο- 8
βάλλει ἰὸς σιδήρου σὺν οἴνῳ ἐπιχρισθεὶς γλυκεῖ, ἀνήθου σπέρματος
κεκαυμένου ἢ τέφρα καταπλασσομένη, σιυπληρία σχισὴ λεία σὺν
ὄξει, σιυπληρία ὑγρὰ μετὰ ἄρτου καὶ οἴνου καὶ σελίνου. Σῦκα δὲ 9
ἀφαιρεθέντα καὶ θύμους καὶ κονδυλώματα ἀποθεραπεύει καὶ οὐκ ἐᾷ
πάλιν αὔξεσθαι τέφρα κλημάτων σὺν ὄξει καταπλασθεῖσα.

furoncles durs et contre les durillons. Les petites figues rondes dis- 5
sipent les tumeurs dures quand on les fait bouillir; crues, elles font
partir les formicaires et les thymes. Les feuilles d'olivier en cataplasme 6
avec de l'eau, l'aloès employé comme liniment avec du vin d'un goût
sucré, en cataplasme; la racine de quintefeuille, des coings bouillis ad-
ministrés avec du pain ou de l'alphiton, des feuilles de myrte brûlées
et combinées au cérat, de la propolis malaxée avant de l'appliquer, ré-
priment les condylomes. Un cataplasme d'orpiment ou un mélange 7
de parties égales de chaux vive et de lie de vin, incorporées dans de la
glu et appliquées sous forme de cataplasme, détruisent les condylomes
et les figues. Pour faire partir les figues de grandeur démesurée, on em- 8
ploie de la rouille de fer dont on fait un liniment avec du vin d'un goût
sucré, ou un cataplasme de cendres de graine d'aneth, ou de l'alun de
plume combiné au vinaigre, ou de l'alun liquide administré avec du pain,
du vin et du céleri. Quand on a enlevé les figues, les thymes ou les condy- 9
lomes, un cataplasme de cendres de sarments avec du vinaigre achève
la guérison de ces tumeurs et les empêche de grandir de nouveau.

1. ποιεῖ om. BP. — 7. τὰ σῦκα ex em.; τὰς σύκας Codd. — 9. Τὰ δὲ ὑπερμεγέθη ex em.; Τὰς δὲ ὑπερμεγέθεις Codd. — 11. σιυπληρία..... ὄξει Diosc; om. Codd. — 12. δέ om. A. — Ib. ἀφαιρεθέντα ex em.; ἀφαιρεθείσας BFP; ἀφαιρεῖ A. — 13. θεραπεύει ABP.

μδ'. Πρὸς γάγγλια.

1 Μολιβδοῦν δισκάριον παχύτερον ὡς οἱ σπόνδυλοι μεῖζον τοῦ γαγγλίου ἐπιτίθει· τῷ βάρει γὰρ διαλύει αὐτὸ ἐν χρόνῳ πλείονι.

με'. Πρὸς χείμεθλα.

1 Θαλάσσῃ χλιαρᾷ κατάντλει, ἢ τεύτλου ἀφεψήματι, ἢ φακοῦ, ἢ ὀρόβου, ἢ ἀσφοδέλου ῥίζης· μετὰ δὲ τὴν κατάντλησιν φακὴν ἑφθὴν
2 ἐν οἴνῳ λειώσας κατάπλασσε. Ἢ σῦκα λεῖα μετὰ ἐλαίου χλιάνας 5
3 ἐπιτίθει. Ἢ σλυπληρίαν καὶ ἄλευρον ἴσα τρίψας ἐν οἴνῳ κατάπλασσε.
4-5 Ἢ τρυγὶ ὀξηρᾷ κατάπλασσε. Ἢ βολβὸν πρόσφατον ἐν οἴνῳ μίξας κατάπλασσε.

μς'. Πρὸς τὰς τῶν δακτύλων ῥαγάδας καὶ τῶν ὅλων ποδῶν.

1-2 Πίσσῃ ὑγρᾷ κατάχριε. Καρκίνον ποτάμιον ἢ θαλάσσιον καύσας

44. REMÈDES CONTRE LES GANGLIONS.

1 Appliquez un disque de plomb assez épais, comme la roue d'un rouet, lequel devra déborder le ganglion; en effet, ce plomb, en raison de son poids et de la compression prolongée, efface peu à peu la tumeur.

45. REMÈDES CONTRE LES ENGELURES.

1 Faites une affusion chaude soit d'eau de mer, soit d'une décoction de bette, de lentilles, d'ers ou de racine d'asphodèle; après l'affusion appliquez un cataplasme de lentilles bouillies et triturées dans du vin.
2 Autre : appliquez, à une température tiède, des figues triturées avec de
3 l'huile. Autre : un cataplasme avec quantités égales d'alun et de farine
4 triturés dans du vin. Autre : cataplasme avec de la lie de vinaigre.
5 Autre : cataplasme d'oignons de vaccet frais, malaxés dans du vin.

46. REMÈDES CONTRE LES GERÇURES DES ORTEILS ET DE TOUT LE PIED.

1-2 Employez du goudron sous forme de liniment. Brûlez une écrevisse

CH. 45; l. 7. Ἢ τρυγὶ ὀξηρᾷ κατάπλασσε om. BP. — 1b. ὀξηρᾷ *ad Eun.*; ἀποξήρῳ AF. — 7-8. Ἢ βολβὸν πρόσφατον..... κατάπλασσε om. BFP. — 7. πρόσφατον *ad Eun.*; προσφάτῳ Paul.; ξηρόν A.

ἐπὶ ἀνθράκων ἀπόξεσον τὸ ὄστρακον, καὶ μετὰ ἐλαίου τρίψας καὶ πάχος μέλιτος ποιήσας, προαποσμήξας τὰς ῥαγάδας ἔνσταξε. Ποιεῖ δὲ καὶ σκίλλης τὸ ἐντὸς ἐν ἐλαίῳ ζεσθὲν καὶ τερμινθίνῃ συλ- 3
λεανθὲν, καὶ κέρας αἴγειον καυθὲν καὶ ἀναληφθὲν στέατι αἰγείῳ.
5 Δεῖ δὲ προπεριπαθαίρειν τοὺς τύλους καὶ οὕτω χρῆσθαι τοῖς φαρ- 4
μάκοις.

μζ'. Πρὸς αἰδοῖα ἡλκωμένα.

Καταντλήσεις διὰ τῶν στυφόντων, ἢ ἐγχεύσεις, οἷον βάτου, 1
μυρσίνης, κυτίνων ῥοιᾶς ἀγρίας, ἀγριελαίας ἀφέψημα. Τοῖς δὲ 2
αὐτοῖς καὶ λείοις κατάπλασσε· περίχριε δὲ καὶ λημνίᾳ σφραγίδι,
10 ἢ ἀλόῃ μετὰ μέλιτος διεθείσῃ. Πρὸς δὲ ὄσχεον σφοδρῶς κνησμώδη 3

ou un homard sur des charbons, enlevez le test en raclant, triturez avec de l'huile, et donnez ainsi la consistance du miel; faites tomber ce liquide goutte à goutte dans les gerçures, après les avoir essuyées. La partie intérieure de la scille bouillie dans de l'huile et triturée avec 3
de la résine de térébenthinier, ainsi que la corne de chèvre brûlée et incorporée dans de la graisse du même animal, ont également de l'efficacité. Enlevez d'abord les callosités tout autour des gerçures et appliquez 4
ensuite les médicaments.

47. REMÈDES CONTRE LES ULCÈRES QUI SURVIENNENT AUX PARTIES GÉNITALES.

Sur ces ulcères, on fera des affusions avec des liquides astringents, 1
par exemple des décoctions de ronce, [de feuilles] de myrte, de fleurs non écloses de grenadier sauvage, ou [de feuilles] d'olivier sauvage, ou bien on versera dessus ces liquides. On triturera ces mêmes médi- 2
caments pour en faire des cataplasmes, et on appliquera autour de ces ulcères un liniment de terre sigillaire de Lemnos ou d'aloès trempé dans le miel. Contre les démangeaisons violentes et insupportables du 3

3-4. συλλεασθέν BP. — 4. αἰγίῳ BP. — 5. προπεριπαθαίρειν *ad Enn.*; ποπερὶ καθαίρειν F; πρῶτον περικαθαίρειν Λ; πρότερον περικαθαίρειν BP. — Ch. 47; l. 7. ἐγχεύσεις ex em.; ἐγχύσεις Codd.

καὶ ἀκρατήτως χρήσῃ τρυγὶ κεκαυμένῃ ἄχρι κούφης ἐπιδήξεως, ἢ σλυπληρίᾳ ὑγρᾷ, ἢ μίσυϊ λείῳ.

μη'. Περὶ λεύκης, ἀλφοῦ, λέπρας, ψώρας.

1 Φλεγματικὸν αἷμα καὶ γλίσχρον ποιεῖ τὴν λεύκην ὅταν τρέψῃ χρόνῳ πλείονι τὴν χρόαν καὶ ἐπὶ τὸ λευκότερον ἀλλοιώσῃ· τῶν δὲ ἀλφῶν ἡ γένεσις ὁμοειδὴς μέν ἐσλιν, οὐ μὴν διὰ ὅλου τῆς σαρκὸς 5 πεπονθυίας, ἀλλὰ ἐπιπολῆς τοῦ δέρματος, ἐκ τοῦ φλεγματικοῦ μὲν
2 χυμοῦ λευκοὶ γίνονται, μέλανες δὲ ἐκ τοῦ μελαγχολικοῦ. Τὴν λέπραν δὲ ὁ γεννῶν χυμὸς ἄχρι βάθους διήκει, τῆς ψώρας ἐπιπολαιο-
3 τέρας οὔσης. Ἐὰν τοίνυν πεπλυμένῃ τῇ τιτάνῳ, εἶτα ἐξηραμμένῃ ἐγχέῃς ὕδωρ, μιγνὺς τοσοῦτον ὡς πάχος γενέσθαι σύμμετρον εἰς 10

scrotum, employez de la lie de vin brûlée, de l'alun liquide ou du sulfate de cuivre déliquescent trituré, et laissez ces remèdes en place jusqu'à ce qu'ils produisent une légère mordication.

48. DE LA *LEUCÉ*, DE L'*ALPHUS*, DE LA *LÈPRE* ET DE LA *PSORE*.

1 La *leucé* est le produit d'une humeur pituiteuse et visqueuse qui a changé de couleur par l'effet d'un temps plus ou moins prolongé et qui est devenue plus blanche qu'elle ne l'était; l'*alphus* a une origine analogue; les blancs proviennent d'une humeur pituiteuse, et les noirs d'une humeur atrabilaire; seulement, dans ce cas, la chair n'est pas
2 malade; c'est uniquement la peau qui la recouvre. L'humeur qui cause la *lèpre* pénètre jusque dans la profondeur des parties, tandis que la
3 *psore* est plus superficielle. Versez de l'eau sur de la chaux lavée et desséchée; mettez une assez grande quantité de ce liquide afin de lui donner la consistance convenable pour un liniment, et traitez, avec ce li-

1. κ. ἐπιδήξεως ex em.; κ. ἐπιδήσεως DF; κ. ἐπιθέσεως A; κ. ἐπιδήσεως BP. — CH. 48; l. 6. ἐκ ad Eun. Gal.; καὶ ἐκ Codd.; — Ib. μέν ad Eun. Gal.; om. Codd. — 7. λευκοί ad Eun.; om. Codd. — Ib. μέλανες ad Eun.; om. Codd. — Ib. ἐκ τοῦ μελαγχ. ad Eun.; om. Codd. — 9. τῇ τιτάνῳ ex em.; τὴν τίτανον Codd. — 10. ἐγχέῃς ex em.; ἔχῃς A; ἔχοις F; ἔχεις BP.

ἐπίχρισιν, θεραπεύσεις ἐπὶ ἀλφοῦ μὲν ἐπιχρίων ὑγροτέρῳ μᾶλλον, ἐπὶ ψώρας δὲ παχυτέρῳ, παχυτάτῳ δὲ τὰς λέπρας. Δρακοντίου ῥίζα 4
σὺν ὄξει καταπλασσομένη ἀλφοὺς ἰᾶται, καὶ ἐλλέβορος ἑκάτερος,
θέρμων πικρῶν ἀφέψημα καταντλούμενον καὶ τὸ ἄλευρον αὐτῶν
5 καταπλασσόμενον διὰ ὄξους ἢ ὀξυμέλιτος καππάρεως τῆς ῥίζης ὁ
φλοιὸς σὺν ὄξει, κρίνου ῥίζα μετὰ μέλιτος, κρόμμυον σὺν ὄξει κα-
ταχριόμενον ἐν ἡλίῳ, κροκοδείλου χερσαίου κόπρος ὁμοίως, καὶ ἡ
τῶν ψαρῶν, ὅταν ὄρυζαν μόνην ἐσθίωσιν, ἢ ὀστρακα σηπίας καυ-
θέντα. Πρὸς δὲ ψώρας σταφὶς ἀγρία ποιεῖ, ἐλλέβορος ἑκάτερος, 5
10 θέρμοι πικροὶ, ὡς εἴρηται, καρδάμωμον μετὰ ὄξους, κρίνου ῥίζα
μετὰ μέλιτος, ῥητίνη τερμινθίνη, καὶ θεῖον (τούτου πεῖραν εἰλή-
φαμεν), ἐρέβινθοι, αἰγεία κόπρος. Τὰς δὲ λέπρας ἀφιστᾶσιν ἀνε- 6
μῶναι προστιθέμεναι, ἐλλέβορος, ἀμπέλου λευκῆς ῥίζα.

niment, l'*alphus*, aussi bien que la *psore* et la *lèpre;* seulement, dans le premier cas, le médicament doit être plus liquide; dans le second, il aura plus d'épaisseur, et, dans le dernier, il sera très-épais. La ra- 4
cine de serpentaire, employée sous forme de cataplasme avec du vinaigre, guérit l'*alphus;* les deux espèces d'ellébore, la décoction de lupins amers employée comme affusion, la farine de ce légume employée comme cataplasme avec du vinaigre ou avec du vinaigre miellé, l'écorce de racine de câprier administrée avec du vinaigre, la racine de lis administrée avec du miel, un liniment composé d'oignons et de vinaigre et qu'on appliquera au soleil, les excréments de *crocodile* terrestre administrés de la même façon, ceux des étourneaux, pourvu que ces oiseaux n'aient mangé que du riz, ou des os de sèche brûlés, ont la même efficacité. Les médicaments qui agissent contre la *psore* sont la 5
staphisaigre, les deux espèces d'ellébore, les lupins amers, ainsi que nous l'avons dit plus haut, le cardamome administré avec du vinaigre, la racine de lis administrée avec du miel, la racine de térébenthinier, le soufre (nous avons fait nous-même l'expérience de ce médicament), les pois chiches et la fiente de chèvre. Les diverses espèces d'anémone 6
appliquées à l'extérieur, l'ellébore et la racine de couleuvrée, provoquent la desquamation de la *lèpre*.

6. κρινου..... μέλ. om. A (text. F.). — 9. ποιεῖ om. BP. — 12. ἀφιστ.] ἰῶνται A.

μθ'. Περὶ λειχήνων.

1 Μιχθέντων ἰχώρων λεπτῶν καὶ δριμέων ἑτέροις παχυχύμοις οἱ λειχῆνες συνίστανται, ῥᾳδίως εἰς ψώραν καὶ λέπραν μεταπίπτοντες· 2 διὸ τῶν ἰσχυρῶς ξηραινόντων χρῄζουσι φαρμάκων. Ἀγρίους δὲ καλοῦσι λειχῆνας τοὺς ὑπὸ μὲν τῶν μετρίως ξηραινόντων οὐδὲν ὀνινα- 3 μένους, ὑπὸ δὲ τῶν σφοδρῶν παροξυνομένους. Χρὴ οὖν ἐπὶ τούτων 5 φάρμακα παραλαμβάνειν δραστήρια μὲν ἱκανῶς, χωρὶς δὲ τοῦ δάκνειν 4 σφοδρῶς. Ἐρέβινθοι ποιοῦσι πρὸς λειχῆνας, ἐλλέβορος ἑκάτερος, κοκκυμηλέας τὸ κόμμι ἐπὶ παιδίων, λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, πίσσα μιγνυμένη κηρωτῇ, θεῖον μετὰ ῥητίνης (τοῦτο πεῖραν ἔδωκεν), σίελον ἀνθρώπου ἐπὶ παιδίου· δεῖ δὲ συνεχῶς τῷ δακτύλῳ μετὰ τοῦ 10 σιέλου τὸ πεπονθὸς ἀποτρίβειν δέρμα· κροκοδείλου χερσαίου κόπρος

49. DES LICHENS.

1 Les lichens surviennent quand il y a eu un mélange de liquides séreux, ténus et âcres, avec d'autres liquides qui produisent des humeurs épaisses; cette affection se change facilement en *psore* ou en *lèpre;* pour cette raison, elle exige l'emploi de médicaments fortement desséchants. 2 On appelle *lichens féroces* les *lichens* sur lesquels les médicaments modérément desséchants ne produisent aucun effet, tandis que les dessé- 3 chants très-forts y occasionnent une exacerbation. Contre les *lichens* de cette espèce, on doit employer des médicaments suffisamment efficaces, 4 mais qui ne causent pas de mordications violentes. Les médicaments qui ont de l'efficacité contre les lichens sont : les pois chiches blancs, les deux espèces d'ellébore, la gomme de prunier, s'il s'agit de petits enfants, le lichen qui croît sur les rochers, un mélange de goudron et de cérat, ou de soufre et de résine (le dernier mélange a fait ses preuves), de la salive humaine, quand il s'agit de petits enfants (on frottera fréquemment la peau malade avec le doigt mouillé de cette salive), des excréments de *crocodile* terrestre, de même que ceux des étourneaux, quand ces

CH. 49; l. 3-4. χρῄζουσι..... ξηραινόντων om. BP. — Ib. Ἀγρίους... ξηραινόντων om. A. — 5. ὑπὸ... παροξυνομένους om. BP.

καὶ ἡ τῶν ψαρῶν ὅταν ὄρυζαν μόνην ἐσθίωσιν. Πρὸς δὲ τοὺς ἐπὶ 5
γενείου προσφάτους λειχῆνας, ἢ ἄλλου μέρους τοῦ προσώπου πυ-
ροὺς πολλοὺς λαμβάνων ἐπί τινος ἄκμονος διαπύρου ἐπιτίθει, καὶ
τὸ ἀπορρέον ἐξ αὐτῶν ὑγρὸν ἔτι θερμὸν λαμβάνων ἐπίχριε τοὺς
5 λειχῆνας. Πολλοὶ τούτῳ μόνῳ ἰάθησαν. Ἢ μαλάχης ἀγρίας τὸν 6-7
καρπὸν ἁπαλὸν συλλέγων καὶ κόπΙων τὸν χυλὸν ἀποτίθου, καὶ
τούτῳ συνεχῶς ἐπίχριε. Χρονιζόντων δὲ τῶν λειχήνων χρῶ τοῖς 8
ὑπογεγραμμένοις· ἄγνου φύλλα τρίψας καὶ ὄξος ἐπιβαλὼν ὀλίγον
κατάπλασσε. Ἢ καππάρεως φύλλα τρίψας μετὰ ὄξους ἐπιτίθει. 9
10 Τροχίσκος πρὸς λειχῆνας· κόλλης τεκτονικῆς ∠δ', λιβάνου ∠β', 10
ὄξους κοτύλης ἥμισυ· * ἔν τισιν ἴσα ἔχει. Ὄξει διαλύων ἐπίχριε. 11

ν'. Περὶ ἐμφυσήματος.

Πνεῦμα φυσῶδες παχὺ καὶ ἀτμῶδες ὕλη τῶν ἐμφυσημάτων ἐσΙίν· 1

oiseaux ne mangent que du riz. Pour combattre les lichens récents du 5
menton ou de quelque autre partie du visage, on prend un grand
nombre de grains de froment, qu'on placera sur une enclume incan-
descente; on recueillera le liquide qui s'écoule alors de ces grains, pen-
dant qu'il est encore chaud, et on l'appliquera comme liniment sur
les lichens. Beaucoup de malades ont été guéris par l'emploi de ce seul 6
remède. Autre : recueillez le fruit tendre de la *mauve sauvage*, pilez-le, 7
mettez le suc de côté, et employez-le fréquemment comme liniment.
Quand les lichens persistent pendant longtemps, ayez recours aux mé- 8
dicaments suivants : Triturez des feuilles de gattilier, ajoutez un peu de
vinaigre et faites-en un cataplasme. Autre : appliquez des feuilles de 9
câprier triturées avec du vinaigre. Pastille contre les lichens : Colle de 10
charpentier, quatre drachmes; encens, deux drachmes; vinaigre, un
demi-cotyle (quelques exemplaires prescrivent de prendre des quantités
égales). Faites un liniment, en dissolvant les autres ingrédients dans du 11
vinaigre.

50. DE L'EMPHYSÈME.

La cause matérielle des emphysèmes est un souffle flatulent épais et 1

1. ὅταν... ἐσθίωσιν om. BP.

συνεργεῖ δὲ εἰς τὸ μὴ διαπνεῖσθαι τὸ πνεῦμα τῶν σωμάτων ἡ πύκνωσις· ὅθεν καὶ σκοπὸς τῆς θεραπείας ἀραίωσις μὲν τῶν πεπυκνωμένων καὶ λέπτυνσις τοῦ πεπαχυσμένου πνεύματός ἐστι διὰ τῶν
2 λεπτομερῶν φαρμάκων. Τῶν μυῶν δὲ διὰ θλάσιν ἐμπεφυσημένων, τὸ μὲν διαφορεῖν καὶ ἐπὶ αὐτῶν ἀναγκαῖον· δριμέων δὲ ὄντων ὡς τὸ πολὺ τῶν διαφορητικῶν ἀγανακτεῖν συμβαίνει τοὺς μῦς καὶ τὰς
3 ὀδύνας ἐπιτείνεσθαι. Χρὴ τοίνυν μεμῖχθαι τοῖς διαφορητικοῖς τὰ παρηγοροῦντα, καὶ κατὰ ἀρχὰς μὲν πλεονάζειν τὰ παρηγορητικά,
4 μετὰ ταῦτα δὲ, παρακμῆς γενομένης, τὰ διαφοροῦντα. Ἔστι δὲ παρηγορητικὰ μὲν ἐπὶ τῆς τοιαύτης διαθέσεως τῶν μυῶν τό τε ἔψημα, καὶ ὕσσωπον μετὰ ἐλαίου βραχέος· διαφορητικὰ δὲ ὄξος καὶ νίτρον
5 καὶ στακτὴ κονία. Χρηστέον οὖν κατὰ ἀρχὰς τῷ ἑψήματι μετὰ ἐλαίου βραχέος καὶ οἴνου ὁμοίως βραχέος, ἀναλαμβάνοντα οἰσυπηροῖς ἐρίοις θερμὸν, καὶ φροντίζειν ὅπως ἀεὶ ἡ θερμότης παραμείνῃ·

vaporeux; mais la densité des parties contribue aussi à empêcher ce souffle de se dissiper; le but qu'on se propose en traitant cette maladie consiste donc à raréfier les parties condensées et à atténuer le gaz épaissi; on atteindra ce but à l'aide des médicaments à particules ténues.
2 Quand les muscles sont gonflés par suite d'une contusion, le traitement dissipant est nécessaire également pour ces parties; mais, comme les médicaments qui dissipent sont ordinairement âcres, il arrive que les
3 muscles les supportent difficilement et que les douleurs augmentent. Il faut donc ajouter des substances calmantes à celles qui dissipent; au commencement, ce seront les calmants qui prédomineront; mais, plus tard, quand on est arrivé à l'époque du déclin, ce seront les médica-
4 ments qui dissipent. Il faut ranger parmi les calmants qui conviennent dans cette maladie des muscles le vin doux cuit et l'*hyssope*, auxquels on ajoutera un peu d'huile; et parmi les dissipants qui répondent aux
5 mêmes indications, le vinaigre, la soude brute et la lessive filtrée. Au commencement, on aura donc recours au vin doux cuit, auquel on ajoutera de l'huile en petite quantité, et, également en petite quantité, du vin doux cuit; on recevra ce liquide, pendant qu'il est encore chaud, sur de la laine en suint, et on prendra soin d'entretenir sa chaleur,

3. πεπαχυμένου BFP. — 11. βραχέος om. BP. — 14. ἀεί] ἄν BFP.

ψύχεσθαι γὰρ οὐ χρὴ τὰ μόρια. Παρηγορηθέντος δὲ τοῦ κάμνοντος, 6
παραμιγνύναι τοῦ ὄξους καὶ τοῦ νίτρου, μετὰ ταῦτα καὶ τῆς κονίας
σλακτῆς, εἶτα ὕσλερον διαφορητικαῖς ἐμπλάσλροις χρῆσθαι εἰς
ἀποκατάσλασιν, οἵα ἐσλὶ καὶ ἡ ὑποτεταγμένη· γλοιὸν ἀποζέσας
5 ἤθησον πρῶτον ὡς καθαρὸν γενέσθαι, καὶ πάλιν ἐμβαλὼν τῇ κακ-
κάβῃ λείαν ἄσβεσλον τίτανον ὡς ἄλευρον ἐπίπαλλε μέχρι πηλώδους
συσλάσεως.

να'. Πρὸς ἐλεφαντιῶντας.

Θαυμάσιόν ἐσλι τοῖς ἐλεφαντιῶσι βοήθημα ἡ τῶν ἐχιδνῶν ἐδωδή· 1
χρὴ δὲ ἐσθίειν ταύτας ὧδε σκευάζοντας· πρῶτον μὲν ἀποκοπλομένης
10 τῆς κεφαλῆς καὶ τῆς οὐρᾶς ἄχρι δακτύλων τεσσάρων, εἶτα τῶν ἔνδον
ἁπάντων ἐξαιρεθέντων, καὶ τοῦ δέρματος ἀφαιρεθέντος, ὕδατί τε
τοῦ σώματος αὐτῶν περιπλυθέντος, ἐν λοπάδι ταῖς ἐγχέλυσι παρα-
πλησίως σκευάζοντας διὰ λευκοῦ ζωμοῦ· γίνεται δὲ οὗτος ὕδατος

car les parties ne doivent pas se refroidir. Quand le mal sera adouci, 6
on ajoutera du vinaigre et de la soude brute, et plus tard aussi de la lessive filtrée; puis, plus tard encore, pour faire revenir le malade à son état normal, on se servira des emplâtres qui dissipent; à ce genre d'emplâtres appartient aussi le suivant : faites bouillir de la crasse des baignoires, passez-la d'abord au tamis, afin de la purifier, remettez-la ensuite dans le poëlon, et jetez peu à peu sur ce médicament de la chaux vive triturée aussi finement que de la farine, jusqu'à ce qu'il ait acquis une consistance de boue.

51. REMÈDES CONTRE L'ÉLÉPHANTIASIS.

Manger des vipères est un remède merveilleux pour les malades 1
affectés d'éléphantiasis; mais il faut les préparer de la manière suivante : Retranchez la tête et la queue dans une longueur de quatre doigts; ôtez ensuite toutes les parties internes et enlevez la peau; lavez soigneusement leur corps avec de l'eau, et préparez-les sur le plat à la sauce blanche, de la même manière que les anguilles; or on fait cette

CH. 51; l. 9. μέν *ad Eun.*; om. Codd.

μὲν δαψιλοῦς ἐπεμβληθέντος, ἐλαίου δὲ βραχέος καὶ σὺν αὐτῷ πράσου
2 καὶ ἀνήθου. Πρόδηλον δὲ ὅτι μέχρι τοσούτου τὰς σάρκας τῶν ἐχιδνῶν
3 ἕψειν προσήκει μέχρις ἂν ἀκριβῶς γενηθῶσιν ἁπαλαί. Καὶ αὐτὸ δὲ
τὸ διὰ αὐτῶν σκευαζόμενον φάρμακον ὃ καλοῦσι θηριακὴν ἐπιτή-
δειόν ἐστι πίνεσθαι δαψιλὲς τοῖς οὕτω κάμνουσι, καὶ εἰ βούλοιτό 5
τις αὐτῷ καὶ τὸ δέρμα χρίεσθαι· ταῦτα γὰρ πάντα ποιούντων ἔστιν
ὅτε λέπος ἀφίσταται τοῦ δέρματος, ὁποῖον ἐπὶ τῶν ὄφεων τὸ καλού-
4 μενον γῆρας. Χρώμεθα δὲ ἐπὶ αὐτῶν καὶ τοῖς ἁλσὶ τοῖς θηριακοῖς,
καὶ τῇ καλαμίνθῃ· ἀγαθὸν γὰρ καὶ τοῦτο, μὴ μόνον γενναίως δια-
φοροῦν τοὺς λεπτοὺς χυμοὺς, ἀλλὰ καὶ λεπτῦνον ἰσχυρῶς καὶ τέμνον 10
5 τοὺς παχεῖς τοὺς τοῦτο τὸ νόσημα γεννῶντας. Οὐ μὴν ἁπλῶς ἐπὶ
ἕκαστον τούτων ἐρχόμεθα, προκαθαίρομεν δὲ πάντως, ἔστι δὲ ὅτε
καὶ προφλεβοτομοῦμεν.

sauce en versant sur le plat de l'eau en abondance, avec un peu
2 d'huile, à laquelle on ajoute aussi du poireau et de l'aneth. Il est clair
qu'il faut laisser bouillir les chairs des vipères assez longtemps pour
3 qu'elles deviennent complétement tendres. Le médicament qu'on pré-
pare avec ces animaux, et qu'on appelle *thériaque*, convient également
aux malades affectés d'éléphantiasis, s'ils en boivent abondamment et si
on leur en frotte la peau; à la suite de tout ce traitement il se détache
quelquefois de la peau une dépouille semblable à ce qu'on appelle la
4 *vieillesse des serpents* (*mue des serpents*). Chez ces malades, nous em-
ployons aussi les sels thériaques et la *calaminthe;* c'est un bon remède,
non-seulement parce qu'elle dissipe fortement les humeurs ténues,
mais aussi parce qu'elle agit avantageusement pour atténuer et inciser
5 les humeurs épaisses qui produisent cette maladie. Cependant on ne
doit recourir à aucun de ces remèdes sans prendre des précautions; on
purge toujours auparavant, et quelquefois on fait aussi une saignée
préalable.

3. ἀκριβῶς om. ABP. — 8. τῆς θηριακῆς BFP.

ΛΟΓΟΣ Η'.

α'. Περὶ μνήμης ἀπωλείας καὶ τῶν ἄλλων ἀγρυπνητικῶν τε καὶ καταφορικῶν.

Ἐπὶ δὲ τῆς ἀπολωλυίας ἢ μεγάλως βεβλαμμένης μνήμης εἰ μὲν 1
ψυχρὰ δυσκρασία πάντως ἐστὶ, καὶ θερμαίνειν αὐτὴν πάντως
προσήκει· οὐ μὴν ἐξ ἀνάγκης ξηραίνειν, ὥσπερ οὐδὲ ὑγραίνειν,
ἀλλὰ εἰ μὲν μετὰ ὑγρότητος εἴη, ξηραίνειν· εἰ δὲ μετὰ ξηρότητος,
5 ὑγραίνειν· εἰ δὲ ἐν τῷ μέσῳ τούτων, ἐν ταύτῃ τῇ καταστάσει φυ-
λάττειν. Τοὺς δὲ ληθαργικοὺς καὶ φρενιτικοὺς φλεβοτομεῖν χρὴ 2
κατὰ ἀρχὰς εὐθὺς, καὶ τοῦτο μὲν κοινὸν ἀμφοτέροις τοῖς νοσή-
μασιν· κοινὸν δὲ καὶ τὸ κατὰ τὴν ἀρχὴν ὀξυρόδινον προσφέρειν·

LIVRE VIII.

1. DE LA PERTE DE LA MÉMOIRE ET DES AUTRES AFFECTIONS CARACTÉRISÉES PAR DE L'INSOMNIE OU DE L'ASSOUPISSEMENT.

Quand la mémoire est perdue ou fortement compromise, le tempé- 1
rament pèche nécessairement par le froid, et on doit toujours le réchauffer; mais il n'est pas indispensable ni de dessécher ni d'humecter; seulement, si l'excès de froid est compliqué d'humidité, on dessèche; s'il l'est de sécheresse, on humecte; si, sous ce rapport, le tempérament présente des conditions moyennes, on lui conserve ces conditions. On doit saigner dès le début les malades affectés de léthargus ou 2
de phrénitis : c'est là un précepte commun pour les deux maladies; c'est encore un autre précepte commun d'appliquer un mélange de vinaigre et d'huile aux roses [sur la tête] dès le commencement; après

Ch. 1; l. 2. πάντως om. BFP. — 3-4. ὥσπερ..... ξηραίνειν om. A; ὥσπερ οὐδὲ ὑγρ. ἀλλ' εἰ μὲν μετὰ ὑγρ. om. A. — 4. εἴη Gal.; om. BFP. — 5. ἐν ταύτῃ τῇ Gal.; ἐν αὐτῇ τῇ Codd. — 6. καὶ φρενιτικούς om. B.

τὰ δὲ ἐφεξῆς ἐναντία· πραΰνειν μὲν γὰρ προσήκει τὰ μετὰ τῶν
3 ἀγρυπνιῶν, ἐπεγείρειν δὲ τὰ μετὰ ἀκινησίας. Εἰκότως οὖν ἀκμα-
ζόντων αὐτῶν τοῖς μὲν ἀγρυπνητικοῖς καὶ παρακοπικοῖς νοσήμασι
τὰς διὰ μήκωνος κωδυῶν ἐπιβροχὰς προσοίσομεν, ὀσφρανοῦμέν τε
καὶ διαχρίσομεν, ἤτοι τὰ πλερύγια τῆς ῥινὸς ἐκ τῶν ἔνδον μερῶν, 5
4 ἢ τὸ μέτωπον. Ἐπὶ δὲ τῶν ἐναντίων παθῶν ἐπεγεῖραι καὶ τεμεῖν
καὶ θερμᾶναι προσήκει τὸ πάχος τοῦ λυποῦντος χυμοῦ. Ἐναφέ-
ψοντες οὖν ὄξει θύμου καὶ γλήχωνα καὶ ὀρίγανον, καὶ ὅσα τε ἄλλα
τοιαῦτα τῇ ῥινὶ τῶν οὕτω διακειμένων προσοίσομεν· μετὰ δὲ ταῦτα
καὶ τὸν οὐρανίσκον ἰσχυροῖς καὶ δριμέσι φαρμάκοις χρίσομεν· ἑξῆς 10
δὲ καὶ τοῖς πλαρμικοῖς χρησόμεθα, καὶ κατὰ τῆς κεφαλῆς ἐπιθή-
5 σομεν ὁμοίας δυνάμεις φαρμάκων ἄχρι τοῦ νάπυος. Ἀλλὰ καὶ ταῖς
σικύαις ἐπὶ ἀμφοτέρων χρονιζόντων χρησόμεθα καὶ τῷ κασλορίῳ.

cela le traitement de l'une est le contre-pied de celui de l'autre. En effet, il faut calmer les affections accompagnées d'insomnie, et soumettre à
3 un traitement excitant celles où il y a de l'immobilité. On aura donc raison d'employer, à l'époque culminante des maladies accompagnées d'insomnie ou de délire, des embrocations préparées avec des têtes de pavot, de faire respirer ce médicament aux malades et de l'administrer sous forme d'onctions pratiquées sur la face intérieure des ailes du nez
4 et sur le front. Dans les maladies d'une nature contraire, on exerce une action excitante, incisive et échauffante, sur les humeurs qui causent le mal et qui pèchent par épaisseur; on fait donc bouillir dans du vinaigre du *thym*, du pouliot, de l'origan, ou tout autre médicament du même genre, et on approche cette décoction du nez des malades; après cela, on pratique sur le palais des onctions avec des médicaments âcres et puissants; ensuite on a recours aux sternutatoires, et on applique, sur la tête des médicaments doués de propriétés analogues, en allant jus-
5 qu'à la moutarde. Dans les deux classes de maladies, on applique des ventouses et on administre du castoréum, si elles traînent en longueur.

6. τέμνειν BFP. — 7. πάχος BP. — 9. τοιαῦτα om. P. — 10-11. χρίσομεν..... πλαρμικοῖς om. BP. — 12. ὁμοίως BP. — Ib. τοῦ om. F.

β'. Περὶ ἐφιάλτου.

Οὐκ ἔστιν ὁ καλούμενος ἐφιάλτης δαίμων κακὸς, ἀλλὰ ὁ μέν τις 1
νόσος ἰσχυρὰ, ὁ δὲ ὑποφήτης ἱερὸς καὶ θεράπων Ἀσκληπιοῦ· 2
προοίμια δὲ ἐφιάλτου ταῦτα· πνῖξ, ἀφωνία, βάρος. Φυλακτέον οὖν
τὸ δεινὸν ἀρχόμενον· χρονίσαν γὰρ καὶ συνεχῶς νυκτὸς ἐπιπίπτον
5 νόσημά τι τῶν μεγάλων, ἀποπληξίαν ἢ μανίαν ἢ ἐπιληψίαν ἀγ-
γέλλει, ὅταν ἐπὶ τὴν κεφαλὴν φέρηται ἡ αἰτία· ὅσα γὰρ οἱ ἐπι-
ληπτικοὶ μετὰ ἡμέραν, ταῦτα οἱ ἐφιαλτικοὶ πάσχουσι κοιμώμενοι.
Χρὴ οὖν τέμνοντα φλέβα καὶ καθάρσεις παραλαμβάνοντα κενοῦν 3
ὅλον τὸ σῶμα τοῦ πάσχοντος· μάλιστα δὲ βοηθεῖ τούτοις μέλας ἐλ-
10 λέβορος, εἰ δραχμῇ μιᾷ ὀποῦ σκαμμωνίας μίσγεις ὀβολοὺς τρεῖς
καί τινα τῶν εὐωδῶν, ἄνισον, δαῦκον, πετροσέλινον. Καὶ ἡ διὰ τῆς 4
σικυωνίας δὲ ἱερὰ μεγάλως βοηθεῖ· ἡ δὲ δίαιτα ἔστω λεπτὴ, καὶ τὰ
φυσώδη φυλάττεσθαι χρή. Βοήθει δὲ αὐτοῖς καὶ ὁ τῆς παιωνίας 5

2. DU CAUCHEMAR.

Ce qu'on appelle cauchemar n'est pas un mauvais génie, mais c'est 1
tantôt une maladie grave, et tantôt un interprète sacré ou un serviteur
d'Esculape; les symptômes précurseurs du cauchemar sont l'étouffe-
ment, la perte de la voix et la sensation de pesanteur. On surveillera 2
donc les commencements de ce mal; car, s'il traîne en longueur, et s'il
survient fréquemment la nuit, il annonce quelque maladie grave,
comme l'apoplexie, la manie ou l'épilepsie, quand la cause du mal se
porte vers la tête; car les gens qui ont le cauchemar présentent, pendant
leur sommeil, les mêmes symptômes qu'on observe chez les épilep-
tiques pendant le jour. On pratique une évacuation de tout le corps au 3
moyen d'une saignée et de purgatifs; mais c'est surtout l'ellébore
noir qui est utile dans ce cas, pourvu qu'on ajoute à une drachme de
ce médicament trois oboles de suc de scammonée, et, en outre, quel-
que substance odoriférante, comme l'anis, le daucus de Crète, ou le
persil. Le purgatif sacré à la coloquinte est aussi extrêmement utile; le 4
régime devra être ténu, et on évitera les aliments flatulents. Le fruit de 5

9. τοῦ om. BP.

καρπός· κόκκους δὲ πεντεκαίδεκα τοὺς μέλανας τρίψας, μετὰ ὕδατος πίνειν δίδου συνεχῶς.

γ'. Περὶ ἐπιληψίας. Ἐκ τῶν Φιλουμένου.

1 Τοὺς ἐμπεσόντας εἰς ἐπιληψίαν λιπαρῶς τε ἐμβρέχειν τὰ σπώμενα καὶ διαστρεφόμενα μέρη, διακρατεῖν τε καὶ ἀπευθύνειν, ἔπειτα διαστήσαντας τὸ στόμα ἐπικαθεῖναι δάκτυλον ἢ πτερὸν κεχρισμένον 5 ἐλαίῳ ἰρίνῳ πρὸς τὸ κομίσασθαι φλέγμα· χρὴ δὲ καὶ τοῖς ὀσφραντοῖς τὴν αἴσθησιν ἐρεθίζειν, οἷον πευκεδάνῳ, κυρηναϊκῷ ὀπῷ,
2 ἀσφάλτῳ, κεδρίᾳ, πίσσῃ. Μετὰ δὲ τοὺς παροξυσμοὺς, εἰ μηδὲν
3 κωλύει, φλεβοτομίᾳ χρηστέον ἀπὸ ἀγκῶνος. Μηδὲν δὲ ὑπείκοντος τοῦ παροξυσμοῦ, τὰ μὲν ἄκρα σιναπισμῷ καταληπτέον· σικύαν δὲ κολ- 10
4 λητέον τοῖς ὑποχονδρίοις. Μὴ γενομένης δὲ μηδὲ πρὸς ταῦτα ἀνοχῆς, ὀλίγη μὲν ἐλπίς· ὅμως δὲ θαρσαλέως ὁ ἰατρὸς καστόρειον βιαζόμε-

la pivoine convient également; on donnera fréquemment à boire, dans de l'eau, quinze graines noires de cette plante, après les avoir triturées.

3. DE L'ÉPILEPSIE. — TIRÉ DE PHILUMÈNE.

1 Aux malades qui sont en proie à un accès d'épilepsie, on fait assidûment des embrocations sur les membres frappés de convulsions et de distorsions; on les retient et on les étend; on ouvre la bouche et on introduit le doigt ou une plume enduits d'huile à l'iris pour enlever la pituite; on excite leurs sens en leur faisant flairer des substances telles que le fenouil de porc, le suc de Cyrène, le bitume de Judée, la résine
2 de cèdre, ou le goudron. Après l'accès, on fait, si rien ne s'y oppose,
3 une saignée au pli du bras. Si l'accès ne diminue en aucune façon, on recouvre les extrémités de sinapismes, et on applique des ventouses sur
4 les hypocondres. S'il n'y a pas de soulagement après l'emploi de ces moyens de traitement, il reste peu d'espoir; cependant le médecin devra, sans hésiter, injecter de force [dans la bouche] soit du castoréum,

2. δίδου Paul; om. Codd. — CH. 3, tit. Ἐκ τῶν Φιλ. Vers. antiq.; om. Codd. gr. — 5. πτερῷ κεχρισμένῳ BP. — 10. παραληπτ. A. — 11. μηδέ om. BP.

νος ἐγχείτω· ἐγχείτω δὲ καὶ ὀπὸν κυρηναϊκὸν μετὰ μέλιτος καὶ ὄξους, καὶ διὰ ἕδρας ἐνιέτω κενταυρίου ἀφέψημα, ἢ κολοκυνθίδος. Τοὺς δὲ ἀνασταντας ἐκ τῆς ἐπιληψίας μετὰ τὴν ἀνάληψιν τῇ διὰ τῆς ἱερᾶς καθάρσει χρηστέον. Τοιαύτη μὲν δή τίς ἐστιν ἡ τῆς προσφάτου καὶ ὀξείας ἐπιληψίας θεραπεία· ἐφεξῆς δὲ ὅσα πρὸς ἀνασκευὴν τῆς κεχρονισμένης παραδώσομεν. Χρὴ τοίνυν τοὺς πάσχοντας ἐν ὑδροποσίᾳ μὲν μακρᾷ συνέχειν· ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ φλεβοτομεῖν, εἰ μηδὲν κωλύει, καὶ διαλιπόντας τέσσαρας ἢ πέντε ἡμέρας ἀναλαμβάνειν τὸ σωμάτιον, καὶ οὕτω καθαρτικῷ ὑποκενοῦν, μάλιστα μὲν διὰ ἐλλεβόρου μέλανος ἢ κολοκυνθίδος, εἴτε οὖν καὶ διὰ σκαμμωνίας. Δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου δίχα τῆς ἐντεριώνης κεκομμένου καὶ σεσησμένου ἐμπάσσειν μελικράτου κυάθοις πέντε ἢ ἕξ, ἢ μέλιτι ἀπέφθῳ ἀναλαμβάνειν μετὰ ὀλίγου πεπέρεως. Τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐκβαλόντας πληροῦν αὐτὴν ἔχουσαν τὴν ἐντεριώνην δεῖ γλυκέος, καὶ ἐᾷν ὅλην τὴν νύκτα, ἕωθεν δὲ κεράσαντα τὸ γλυκὺ

soit du suc de Cyrène avec du miel ou du vinaigre; et il administre un lavement de décoction de centaurée ou de coloquinte. Ceux qui sont revenus de leur accès doivent, après s'être restaurés, se purger avec le médicament sacré. Tel est à peu près le traitement de l'épilepsie récente et aiguë; nous allons maintenant exposer les moyens qui guérissent l'épilepsie chronique. On réduit les malades, pendant longtemps, à ne boire rien que de l'eau; quand on commence le traitement, on fait une saignée, si rien ne s'y oppose; puis on interrompt le traitement pendant quatre ou cinq jours, pour restaurer le corps; ensuite on pratique une petite évacuation avec un purgatif; à cet effet, on se sert de préférence de l'ellébore noir ou de la coloquinte, ou du moins de la scammonée combinée à l'un de ces médicaments. On pile l'ellébore sans la moelle et on le passe au tamis, pour le jeter, par pincées, sur cinq ou six cyathes d'eau miellée, ou pour l'incorporer dans du miel cuit, auquel on a ajouté un peu de poivre. Quant à la coloquinte, on en enlève les graines, mais on y laisse l'intérieur, puis on remplit ce fruit de vin d'un goût sucré, et on n'y touche pas de toute la nuit; le matin, on

1. ἐγχείτω δέ om. BFP. — 3. ἀνιστάντας BP. — 4. χρηστέον ex em.; χρήσῃ Codd. — 12. κυάθοις Paul.; κυάθους Codd. — 16. ἢ Paul.; om. Codd.

διδόναι πίνειν· μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν λούειν αὐτούς. Τῇ δὲ τρίτῃ σικυασθέον ὑποχόνδριά τε καὶ μετάφρενον μετὰ ἀμυχῶν, εἶτα διασθήσαντας ἱκανὰς ἡμέρας καὶ ἀναλαβόντας τὸ σωμάτιον τῆς διὰ κολοκυνθίδος ἱερᾶς προσάγειν, εἶτα μετὰ τοῦτο σικυασθέον κεφαλὴν καὶ ἰνίον, ταῖς δὲ ἑξῆς καταπλάτθειν αὐτὴν ἄρτῳ ἡψημένῳ μὲν ἐν μελικράτῳ, συλλελειωμένῳ δὲ πικροῖς ἀμυγδάλοις, ἢ ἑρπύλλῳ, ἢ ἡδυόσμῳ, ἢ καλαμίνθῃ, ἢ πηγάνῳ, καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας, καὶ μετὰ τοῦτο ξυράμενον τὴν κεφαλὴν καταχρίειν πευκεδάνου ὀπῷ ἐν ὄξει διειμένῳ, ᾧ σπονδύλιον ἐνήψηται· διασθήσαντας δὲ πάλιν καὶ ἀναλαβόντας τὸ σωμάτιον διδόναι τῆς διὰ κολοκυνθίδος ἀντιδότου ὀβολοὺς ἐννέα ἐν μελικράτῳ, καὶ διασθήσαντας ἡμέρας πάλιν διδόναι τῆς ἀντιδότου ∠γ', εἶτα πθαρμικοῖς χρῆσθαι, καὶ μετὰ πέντε ἢ δέκα ἡμέρας κασθόρειον διδόναι ἐν μελικράτῳ· καὶ διασθήσαντα πάλιν κλύζειν τῷ διὰ κενταυρίου, καὶ ἐφεξῆς ἀποφλεγ-

donne à boire ce vin coupé d'eau; quand les malades sont suffisamment purgés, on leur fait prendre un bain. Le troisième jour, on met des ventouses scarifiées sur les hypocondres et le milieu du dos; ensuite on interrompt le traitement pendant un nombre suffisant de jours pour restaurer le corps; on administre le purgatif sacré à la coloquinte, et, après cela, on met des ventouses sur la tête et sur la nuque; les jours suivants, on applique sur la tête un cataplasme de pain bouilli dans de l'eau miellée et trituré avec des amandes amères, du serpolet, de la menthe, de la *calaminthe* ou de la rue; on continue ce traitement pendant trois jours, après lesquels on rase la tête et on y pratique des onctions avec du suc de fenouil de porc délayé dans du vinaigre, dans lequel on a fait bouillir de la grande berce; on interrompt de nouveau le traitement pour restaurer le corps, et on donne, dans de l'eau miellée, neuf oboles du médicament à la coloquinte; on suspend encore une fois le traitement pendant quelques jours, et on donne de nouveau le même médicament à la dose de trois drachmes; ensuite on se sert des sternutatoires, et, cinq ou dix jours après, on donne du castoréum dans de l'eau miellée; on arrête encore une fois le traitement, on administre un lavement à la centaurée, puis on a recours aux apophlegma-

3. ἀναλαβόντας Aët.; ἀναλαμβάνοντας Codd. — 6. ἐν Paul.; om. Codd.

ματισμοῖς χρῆσθαι καὶ ἐῤῥίνοις, εἶτα τῷ σιναπισμῷ κατὰ τῆς κεφαλῆς. Δεῖ δὲ καὶ δριμυφαγίαις ἐν καιρῷ χρῆσθαι. 11

δ'. Πρὸς ἐπιληπτικούς. Ἐκ τῶν Γαληνοῦ.

Τοὺς ἐπιληπτικοὺς ὀνίνησιν ὀξύμελι κατὰ ἑκάστην λαμβανόμενον, 1
καὶ μάλιστα ἐὰν διὰ σκίλλης σκευασθῇ. Ὠφελεῖ δὲ αὐτοὺς καὶ κάπ- 2
5 παρις σύνθετος συνεχῶς ἐσθιομένη καὶ τάριχος. Ἔστι δὲ καὶ φάρ- 3
μακον διὰ σκίλλης ὠφελιμώτατον τοιόνδε· τῶν μελιτηρῶν ἀγγείων
παρασκευάσας τι καὶ εἰς λεπτὰ σκίλλαν διατρίψας ταῖς χερσὶ καὶ
βαλὼν εἰς τὸ ἀγγεῖον πωμάσας τε στεγανῷ πώματι καὶ περιθεὶς
ὅλῳ τῷ στόματι τοῦ ἀγγείου δέρμα καὶ δήσας ἀκριβῶς ἐν χωρίῳ
10 κατάθου πρὸς μεσημβρίαν μὲν ἐστραμμένῳ, σκεπομένῳ δὲ ἀπὸ τῶν
βορείων πνευμάτων. Γενέσθω δὲ ἐν τῇ τοῦ κυνὸς ἐπιτολῇ· ἡμέραι 4
δέ εἰσι τεσσαράκοντα. Ἀτρέμα δέ πως ὑπαλλάττειν χρὴ τὴν θέσιν 5

tismes et aux errhins, après quoi on applique un sinapisme sur la tête. On a aussi recours, en temps opportun, à l'alimentation âcre (*drimyphagie*). 11

4. REMÈDES CONTRE LES ÉPILEPTIQUES. — TIRÉ DE GALIEN.

Il est bon pour les épileptiques de prendre chaque jour de l'oxymel, 1
et surtout de l'oxymel préparé avec de la scille. Il leur est profitable 2
aussi de manger fréquemment des conserves de câpres et du poisson
salé. Le médicament suivant à la scille est encore éminemment utile : 3
on se procure quelque ustensile qui a contenu du miel, on écrase la
scille avec les mains, de manière à la réduire en filaments ténus; alors
on la met dans le vase, sur lequel on applique un couvercle qui ferme
bien; on entoure l'ouverture de l'ustensile, sur tout son pourtour, d'un
cuir qu'on lie avec soin; puis on place le pot dans un endroit exposé
au midi, mais qui soit à l'abri des vents du nord. Tout cela doit se 4
passer à l'époque du lever de la canicule, époque qui dure quarante
jours. On change peu à peu la position du vase; après les quarante jours, 5

CH. 4, l. 7. παρασκευάσαντι καί BFP; ρίῳ] ἐν ἡλίῳ BFP. — 10. ὑπό BFP.
— 11b. τὴν σκύλλαν ABP. — 9. ἐν χω 11. βορείων om. F.

τοῦ ἀγγείου· λύσας γὰρ μετὰ τὸν εἰρημένον χρόνον εὑρίσκεις τὸ σῶμα τῆς σκίλλης ἡψημένῳ παραπλήσιον, ἐξερρυηκότα δὲ καὶ χυλὸν αὐτῆς ὃν ἀνελόμενον ἡδύνειν χρὴ μέλιτι καλλίστῳ, καὶ διδόναι τούτου κατὰ ἑκάστην ἡμέραν κοχλιάριον ἓν μεστὸν, τοῖς μὲν παιδίοις μι-
6 κρὸν, τοῖς δὲ τελείοις μέγα. Καὶ μέντοι καὶ τὸ σωματῶδες τῆς σκίλλης 5
κόψας ἀκριβῶς καὶ λειώσας μετὰ μέλιτος δίδου καὶ ἐκ τούτου κοχλιά-
7 ριον ἕν· δεύτερον δέ ἐστι τοῦτο τῇ δυνάμει. Εἰ δὲ πρωτοπαθοῦντος τοῦ στομάχου γίνοιτο τὸ πάθος, κελεύειν χρὴ εὐπεψίας προνοοῦντα τὸν πάσχοντα περὶ τρίτην ὥραν ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι ἐξ οἴνου κεκραμένου τῶν ἠρέμα συφόντων καὶ λευκῶν. 10
8 Δίδου δὲ τούτοις καὶ τὸ διὰ ἀλόης φάρμακον δίς που καὶ τρὶς ἑκά-
9 στου ἔτους. Οἶδα δέ ποτε παιδίον οὐδὲ ὅλως ἐπιληφθὲν ἐξ ὅτου τῆς ῥίζης τῆς γλυκυσίδης ἐφόρει μέγα καὶ πρόσφατον μέρος ἐξαρτώ-
10 μενον τοῦ τραχήλου. Καὶ τὸ ἀγαρικὸν δὲ τοὺς ἐπιληπτικοὺς ὀνίνησι σέσελί τε καὶ τοῦ σπονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα, καὶ ἀριστολοχία 15

en ouvrant le pot, la partie solide de la scille semble avoir été cuite, et, en outre, elle a fourni un suc, que vous recueillerez et que vous assaisonnerez avec du miel de qualité tout à fait supérieure, pour en administrer chaque jour une cuillerée; pour les petits enfants, vous vous
6 servirez d'une petite cuiller, et pour les adultes d'une grande. Pilez et triturez aussi avec soin la partie solide de la scille, pour en donner une cuillerée avec du miel; mais cette préparation occupe le second
7 rang sous le rapport de l'efficacité. Quand l'épilepsie tient à une affection primaire de l'orifice de l'estomac, ordonnez au malade de prendre soin que la digestion se fasse bien; à cet effet, il mangera, vers la troisième heure, du pain préparé avec soin dans du vin blanc légèrement astrin-
8 gent et coupé d'eau. Donnez aussi deux ou trois fois par an à ces
9 malades le médicament à l'aloès. J'ai connu autrefois un petit enfant qui n'eut plus d'accès du tout depuis qu'il porta, suspendu à son cou,
10 un morceau grand et frais de racine de pivoine. L'agaric convient aussi aux épileptiques; il en est de même du séséli, du fruit et de la racine de la grande berce, ainsi que de l'aristoloche prise comme

6. ἀκριβ. Gal.; ἁπλῶς BFP: ἀσφαλῶς A. — Ib. καὶ ἐκ τούτ. om. BFP. — 13. μέρος Gal.; om. Codd. — 14. τῷ τραχήλῳ BFP. — Ib. τό conj.; τί Codd.

σlρογγύλη μετὰ ὕδατος πινομένη. Βοηθεῖ δὲ μεγάλως τούτοις καὶ ἡ 11
ἀπόσχασις τῶν σκελῶν συνεχῶς γινομένη.

ε'. Περὶ σκοτωματικῶν.

Τοὺς σκοτωματικοὺς ἐν ἐπιθέσει μὲν γινομένους διεγερτέον τοῖς 1
τε ἐπιτηδείοις ὀσφραντοῖς χρωμένους καὶ τρίψεσι τῶν ἄκρων καὶ
5 τοῖς τοιούτοις· ἐν ἀνέσει δὲ τυγχάνοντας πρὸς ἀνασκευὴν τοῦ πάθους φλεβοτομητέον πρῶτον, εἶτα καθαρτέον τῇ ἱερᾷ, καὶ διήσlαντας κλυσlῆρι δριμεῖ χρησlέον κενταυρίου ἢ κολοκυνθίδος ἀφεψήματι.
Μετὰ δὲ τὰς τοιαύτας κενώσεις ἀμυκτέον τοπικῶς τὴν κεφαλὴν σι- 2
κύας κατὰ τοῦ ἰνίου μετὰ ἐγχαράξεως τιθέντας, καὶ μετὰ ταῦτα
10 τοῖς ἀποφλεγματισμοῖς καὶ πlαρμικοῖς.

ς'. Περὶ ἀποπληξίας. Ἐκ τῶν Φιλουμένου.

Τῶν ἑαλωκότων ἀποπληξίᾳ ἐλαίῳ πολλῷ λιπαίνειν τεθειωμένῳ 1

boisson avec de l'eau. Les scarifications des jambes sont aussi d'une 11
grande utilité contre l'épilepsie, pourvu qu'on en fasse fréquemment.

5. DU VERTIGE.

Quand les gens affectés de vertige sont à l'époque de l'exacerbation, 1
on les réveille en leur faisant respirer les médicaments qui conviennent en pareil cas, en pratiquant des frictions sur les extrémités, et en appliquant d'autres moyens de traitement analogues; pendant le relâchement, on saigne pour guérir le mal, et on purge avec le *médicament sacré;* puis, après avoir attendu quelque temps, on donne un lavement
âcre, composé d'une décoction de centaurée ou de coloquinte. Après 2
ces évacuations, on produit une irritation locale de la tête, en appliquant des ventouses scarifiées sur l'occiput; puis on a recours aux apophlegmatismes et aux sternutatoires.

6. DE L'APOPLEXIE. — TIRÉ DE PHILUMÈNE.

On graisse tout le corps des apoplectiques avec une grande quantité 1

CH. 5, l. 5. τοῖς τοιούτοις Paul.; τῶν — 10. ἀποφλεγματισμοῖς καὶ πlαρμοῖς τοιούτων Codd. — 9. τιθέντας om. BFP. ABP.

τὸ ὅλον σῶμα, καὶ τὴν κεφαλὴν ἐπιβρέχειν ῥοδίνῳ σπονδυλίου ἐνη-
ψημένου, μελίκρατόν τε ἐνσταζειν καὶ ὀσφραντὰ προσάγειν, κασ-
2 τόρειον ἢ ὀποπάνακα καὶ χαλβάνην. Δεῖ δὲ καὶ βιαίως διανοίγοντας
τὸ στόμα καθιέναι δάκτυλον, ἢ πτερὸν ἐλαίῳ διαβραχὲν ἐπὶ τῷ
σμηχθῆναι εἴ τι περιττὸν ἐγκείμενον εἴη, καὶ διαχρίειν τὴν ἕδραν 5
3 τοῖς ἐπαγωγοῖς τῶν πνευμάτων. Εἰ δὲ μηδὲν ἀνύοι ταῦτα, χρῆσθαι
4 κλύσμασι δριμυτέροις, ἅλμην καὶ μέλι μίσγοντας. Τούτων πραχθέν-
των φλέβα τέμνειν χρή· μετὰ δὲ τὴν φλεβοτομίαν πάλιν τοῖς διε-
γερτικοῖς χρησόμεθα.

ζ'. Περὶ μελαγχολίας.

1 Ὅταν ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχῃ τὸ αἷμα, τὴν ἀρχὴν τῆς 10
θεραπείας ἀπὸ φλεβοτομίας ποιεῖσθαι προσήκει· ὅταν δὲ τὸ κατὰ
2 μόνον τὸν ἐγκέφαλον, οὐ χρήζει φλεβοτομίας ὁ κάμνων. Ἔστι δέ

d'huile soufrée; on pratique sur la tête des embrocations d'huile aux roses, dans laquelle on a fait bouillir de la grande berce; on verse dans la bouche quelques gouttes d'eau miellée; on approche du nez des médicaments comme le castoréum, le suc de panacée d'Hercule
2 ou le galbanum. On ouvre aussi la bouche de force pour y introduire le doigt ou une plume trempée dans l'huile, dans le but d'essuyer les superfluités qui pourraient s'y rencontrer, et on fait autour de l'anus des
3 onctions avec des médicaments qui attirent les flatuosités. Si ces moyens de traitement ne produisent aucun effet, on a recours à des lavements plus ou moins âcres composés d'un mélange de miel et d'eau salée.
4 Après cela, on saigne, et, après la saignée, on revient aux remèdes propres à réveiller.

7. DE LA MÉLANCOLIE.

1 Quand tout le corps contient du sang atrabilaire, on commence le traitement de la maladie par la saignée; mais, quand c'est le cerveau
2 seul qui contient un tel sang, la saignée est inutile. Il y a encore une

1. τὸ ὅλον σῶμα Paul.; om. Codd. — 1-2. ἐνηψημένου ex em.; ἐνηψημένον AF; ἐνεψημένον BP. — 3. Δεῖ δὲ βιαίως BP. — 5. εἴ τι] ἔστι BP. — Ch. 7, l. 10. Περὶ ταύτης μὲν ὅταν BP. — 11. προσῆκεν AF. — Ib. τό om. AF.

τις καὶ τρίτη διαφορὰ μελαγχολίας ὥσπερ ὅταν ἐπιληψία τὴν ἀρ-
χὴν ἀπὸ τῆς κοιλίας ἴσχῃ· καλοῦσι δὲ ἔνιοι τῶν παλαιῶν ὑποχον-
δριακὸν νόσημα τὴν τοιαύτην διάθεσιν. Ἐὰν μὲν οὖν ἄρξηται 3
πρῶτα τὰ κατὰ τὴν γαστέρα συμπτώματα, καὶ μείζοσιν αὐτοῖς
5 γενομένοις ἀκολουθήσῃ τὰ μελαγχολικὰ πάθη, κουφίζηταί τε ταῖς
διαχωρήσεσι καὶ τοῖς ἐμέτοις καὶ ταῖς εὐπεψίαις καὶ ταῖς ἐρυγαῖς ὁ
ἄνθρωπος, ὑποχονδριακὸν μὲν ὀνομάζομεν καὶ φυσῶδες τὸ νόσημα·
σύμπτωμα δὲ εἶναι φήσομεν αὐτοῦ τὴν δυσθυμίαν καὶ τὸν φόβον·
ὅταν δὲ τὰ μὲν τῆς μελαγχολίας ἴδια συμπτώματα φαίνηται μεγάλα,
10 κατὰ δὲ τὴν κοιλίαν ἤτοι μηδὲν, ἢ σμικρότατον, ἐγκέφαλον ἡγη-
τέον ἐπὶ τούτων πρωτοπαθεῖν, ἠθροισμένης ἐν αὐτῷ μελαίνης χολῆς.
Δεῖ δὲ τὴν τοιαύτην μελαγχολίαν διά τε λουτρῶν συνεχῶν καὶ 4
διαίτης εὐχύμου τε καὶ ὑγρᾶς ἐκθεραπεύειν χωρὶς ἑτέρου βοηθήμα-
τος, ὅταν γε μήπω διὰ χρόνου μῆκος δυσεκκένωτος ὁ λυπῶν ἢ χυμὸς,

troisième espèce de mélancolie analogue à l'épilepsie, qui dépend de
l'estomac; quelques médecins anciens appellent cette affection *maladie*
hypocondriaque. Si la maladie débute par les symptômes dépendant de 3
l'estomac; si ceux de la mélancolie ne surviennent que lorsque les pre-
miers ont augmenté d'intensité, si le malade est soulagé par les selles,
les vomissements, la bonne digestion et les éructations, nous appelons
son affection *maladie hypocondriaque* ou *maladie flatulente*, et nous di-
sons que la tristesse et la peur sont des symptômes de cette maladie;
si, au contraire, les symptômes propres à la mélancolie sont graves,
tandis que, du côté de l'estomac, on ne voit apparaître rien, ou très-
peu de chose, il faut admettre que, chez ces malades, le cerveau est
primitivement affecté, et qu'il y a dans cet organe une accumulation
de bile noire. Cette espèce de mélancolie peut être complétement guérie 4
par l'usage fréquent des bains et par un régime humide et composé de
substances qui contiennent de bons sucs, du moins quand l'humeur
nuisible n'est pas encore difficile à évacuer, par suite de la longue

1. ὥσπερ ὅταν Gal.; ὅταν ὥσπερ Codd. — 4. πρῶτον BP. — Ib. τὰ κατὰ γαστρός A. — Ib. μείζονος BP. — 5. ἀκολουθοῦσι BP. — Ib. κουφίζεται BFP. — 5-6. τοῖς διαχωρήμασι A. — 6. εὐπεψίαις e conj.; ἀπεψίαις Codd.; πέψεσι Paul.; κάτω φύσαις Gal. — 7. μέν om. A. — 13. θεραπεύειν A.

ἡνίκα ποικιλωτέρας τε καὶ ἰσχυρὰς προσάγειν χρὴ τὰς ἰάσεις.
5 Ἀρχόμενον οὖν θεραπεύειν τὸ πάθος προσήκει· χρονίσαν γὰρ
6 καὶ αὐξηθὲν δυσμεταχείριστον γίνεται. Καθαίρειν χρὴ τοίνυν πρώτοις ἐπιθύμῳ ἢ ἀλόῃ· τούτων γὰρ εἰ καὶ ὀλίγον ἐπὶ ἑκάστης ἡμέρας
7 λαμβάνει, ὠφελεῖ τὰ μέτρια καὶ ἡσυχῇ ὑπάγει. Καθήραντα γοῦν, ὡς 5
εἴρηται, διδόναι τοῦ ἀψινθίου, νῦν μὲν τῆς πόας βρέχοντα ἐν ὕδατι, καὶ ἕψοντα ὅσον κυάθους δύο, νῦν δὲ τοῦ χυλοῦ ὅσον ἡμίδραχμον
8 διατήκοντα ὕδατι συνεχῶς. Καὶ ὄξους δὲ ἐπιῤῥοφεῖν ὡς δριμυτάτου βραχύ, καθεύδειν δὲ μέλλοντα καὶ τὰ πολλὰ τῶν ὄψων εἰς τοῦτο
9 βαπτὰ ἐσθίειν. Ἄμεινον δὲ μεμῖχθαι τῷ ὄξει σκίλλης καὶ πολίου 10
10 καὶ τῆς λεπτῆς ἀριστολοχίας. Ὅταν δὲ ἐντύχῃς ἀρχομένῳ μὲν τῷ νοσήματι, συνεστῶτι δὲ τῷ σώματι, οὐ χεῖρον καὶ φλέβα ἐν ἀγκῶνι τέμνειν, μετὰ δὲ τὴν φλεβοτομίαν ἀνακομίσαντα κάτω καθαίρειν τῷ

durée de la maladie; dans ce cas, il faut recourir à des moyens de trai-
5 tement puissants et plus variés. On traitera donc cette maladie dès le début; car, lorsqu'elle est devenue chronique et qu'elle a augmenté
6 d'intensité, il est difficile d'en triompher. On administrera par conséquent une purgation, en se servant d'abord de l'agourre ou de l'aloès; car ces médicaments produisent un effet modéré, quoique utile, et évacuent doucement par les selles, même lorsqu'on n'en prend qu'une
7 petite quantité chaque jour. Après la purgation, on donnera fréquemment, ainsi que nous l'avons dit, de l'absinthe; tantôt on fera macérer et bouillir dans de l'eau deux cyathes de l'herbe en nature, tantôt on
8 délayera une demi-drachme du suc [épaissi] dans de l'eau. Après cela, on fera avaler au malade une petite quantité de vinaigre aussi âcre que possible; et, pour le repas que le malade prend avant de se coucher, on
9 trempera la plupart des mets accessoires dans ce liquide. Ajoutez à ce
10 vinaigre de la scille, du polium ou de la petite aristoloche. Lorsque vous avez à traiter cette maladie à son début, et que votre malade a le corps ferme, il n'est pas trop mauvais de faire une saignée au pli du bras, de restaurer les forces après la saignée, et de purger ensuite par le bas avec le médicament à la coloquinte ou avec le médicament à

6. βρέχ. ex em.; βρέχων Codd. — 7. ἕψοντα ex em.; ἕψων Codd. — 8. διατήκ. ex em.; διατήκων BFP.; τήκων A. — Ib. ἐπιῤῥοφ. Aët. ἐπιφέρειν Codd.

διὰ σικυωνίας καὶ τῷ διὰ τοῦ μέλανος ἐλλεβόρου. Ἀγαθὸν δὲ καὶ τὸ 11
διὰ τοῦ ἐπιθύμου καὶ τῆς ἀλόης· μίσγειν δὲ καὶ εὐφορβίου συμφέρει,
καὶ τοῖς ὀροῖς κατακλύζειν. Ἴασις δὲ τοῦ νοσήματος καὶ αἱ διουρη- 12
τικαὶ δυνάμεις· ἀγαθαὶ δὲ καὶ αἱ διὰ τῶν ἱδρώτων καθάρσεις. Χρὴ 13
5 δὲ καὶ τῶν ὑποχονδρίων φροντίδα ποιεῖσθαι, καὶ πυριᾷν μὲν αὐτὰ
διαβρέχοντας πηγάνου ἀφεψήματι καὶ ἀνήθου καὶ ἀψινθίου καὶ
γλήχωνος καὶ ἄγνου σπέρματος καὶ δάφνης τοῦ καρποῦ· ταῦτα γὰρ
καὶ τοὺς πόνους παρηγορεῖ καὶ τὰς φύσας μειοῖ· ἕψειν δὲ ἐν ἐλαίῳ
καὶ καταπλάττειν. Ἐχέτω δὲ καὶ τούτων τι τὰ καταπλάσματα, καὶ 14
10 τῶν πρὸς τὰς φύσας τὸ σέλινον, ἢ τὸ ἄνισον, ἢ τὸ κύμινον. Οὐ 15
χεῖρον δὲ κύπερον καὶ ἶριν καὶ λιβανωτίδα ἐμβάλλειν εἰς τὸ κατά-
πλασμα, ἐᾶν δὲ ἐπὶ πολὺ προσκεῖσθαι αὐτὰ καὶ διὰ ἡμέρας, καὶ
ἐδηδοκότι καὶ ἀσίτῳ. Ὅταν δὲ ἀφέλῃς, ἄλλο τι σκέπασμα ἐπίβαλλε, 16
ἢ ἔριον πλατύ. Καὶ σικύαις δὲ χρῆσθαι πρὸς μὲν τὰ πνεύματα 17

l'ellébore noir. Les médicaments à l'agourre et à l'aloès conviennent 11
aussi dans ce cas; seulement il est bon d'y ajouter de plus de
l'euphorbe et de donner des lavements de petit lait. Les médicaments 12
diurétiques sont aussi un moyen pour guérir cette maladie; il en est de
même des purgations qui se font par les sueurs. Veillez aussi aux hypo- 13
condres et fomentez-les en les humectant avec une décoction de rue,
d'aneth, d'absinthe, de pouliot, de graine de gattilier ou de baies de
laurier, car ces médicaments calment les douleurs et diminuent les fla-
tuosités; on fera bouillir ces substances dans l'huile et on les appliquera
sous forme de cataplasme. Les cataplasmes devront contenir quelqu'un 14
de ces ingrédients, et, en outre, ceux qui agissent contre les flatuosi-
tés, comme le céleri, l'anis, ou le cumin. Il n'est pas trop mauvais non 15
plus d'ajouter aux cataplasmes du souchet, de l'iris ou de l'armarinte, et
de les laisser pendant longtemps en place, même le jour, aussi bien
après qu'avant le repas. Quand vous les enlevez, vous appliquez un 16
large morceau de tissu de laine ou quelque autre tissu pour recou-
vrir. On se servira de ventouses sèches contre les flatuosités, et de ven- 17

1. τοῦ om. BP. — Ib. μέλανος] μελίτος BP. 3. καί ante αἱ om. BP. — 10-11. Οὐχ ἧττον δέ κύπερον BP. — 11. ἐμβαλεῖν BFP.

κούφαις, πρὸς δὲ τοὺς πόνους καὶ τὰς φλεγμονὰς ἀποσχάζοντας· προϊόντας δὲ τῇ θεραπείᾳ μηδὲ τοῦ νάπυος ἐπιλανθάνεσθαι· χρῆσθαι δὲ καὶ τοῖς δριμέσι σμήγμασι καὶ δρώπαξι κατά τε τοῦ μεταφρένου καὶ τῆς γαστρός.

η'. Περὶ μανίας. Ἐκ τῶν Φιλουμένου.

1 Θεραπεία τῆς μανίας ἐστὶν ἡ αὐτὴ τῇ τῆς μελαγχολίας· μάλιστα δὲ αὐτοὺς ὠφελεῖ ἱππομαράθρου ἡ ῥίζα καὶ τὸ σπέρμα πινόμενον ἐν ὕδατι καὶ βρυωνίας ῥίζης Λα' μετὰ ὕδατος κατὰ ἡμέραν.

θ'. Περὶ τῶν ἐρώντων.

1 Τοὺς δὲ ἐρῶντας δυσθυμουμένους καὶ ἀγρυπνοῦντάς τινες, ἀγνοοῦντες τὴν διάθεσιν, ἀλουσίαις τε καὶ ἀσιτίαις καὶ λεπτῇ διαίτῃ κατέτηκον, ἐπὶ ὧν ἐξευρόντες ἡμεῖς τὸν ἔρωτα ἐπί τε λουτρὰ καὶ οἰνοποσίαν αἰωρήσεις τε καὶ θεάματα καὶ ἀκούσματα τὴν διάνοιαν

touses scarifiées contre les douleurs; à une époque plus avancée du traitement on n'oubliera pas non plus la moutarde.

8. DE LA MANIE. — TIRÉ DE PHILUMÈNE.

1 Le traitement de la manie est le même que celui de la mélancolie; mais les maniaques se trouvent surtout bien de l'emploi de la racine et de la graine de fenouil de cheval, qu'on donne à boire dans de l'eau, et de celui de la racine de couleuvrée, dont on administre une drachme par jour dans de l'eau.

9. DES AMOUREUX.

1 Certains médecins, voyant des amoureux en proie à la tristesse et à l'insomnie, méconnaissent leur maladie, et les épuisent en leur défendant de manger et de prendre des bains et en leur prescrivant un régime; mais, ayant reconnu, dans des cas analogues, qu'il s'agissait d'amour, nous avons tourné notre pensée vers les bains, l'usage du vin,

1. ἀποσχάζοντας ex em.; ἀποσχάζων l. 5. τῇ conj.; om. Codd. — 7. μετά om. Codd. — 3. τοῦ om. BFP. — Ch. 8, A. — Ch. 9, l. 11. ἀκούσαντα BP.

ἀπηγάγομεν· ἐνίοις δὲ καὶ φόβον ἐπηρτήσαμεν· οἱ γὰρ σχολάζοντες ἀεὶ τῷ ἔρωτι δυσέκνιπΙον ἔχουσι τὸ πάθος. Χρὴ οὖν καὶ φιλονεικίας πρός τινας ἐπεγείρειν κατὰ τὰς ὑποθέσεις ὧν προῃρηνται βίων ἕκασΙοι. Παρακολουθεῖ δὲ τοῖς ἐρῶσι τάδε· ὀφθαλμοὶ κοῖλοι καὶ οὐ δακρύουσι, φαινόμενοι δὲ ὡσὰν ἡδονῆς πεπληρωμένοι εἰσίν· κινεῖται δὲ αὐτοῖς καὶ τὰ βλέφαρα θαμινά, τῶν τε ἄλλων τοῦ σώματος μερῶν συμπιπΙόντων, οὗτοι μόνοι τοῖς ἐρῶσιν οὐ συμπίπΙουσιν.

2 3

ι'. Περὶ λυκανθρωπίας.

Οἱ τῇ λυκανθρωπίᾳ κατεχόμενοι νυκτὸς ἐξίασι τὰ πάντα λύκους μιμούμενοι καὶ μέχρις ἡμέρας περὶ τὰ μνήματα διατρίβουσιν. Γνωριεῖς δὲ τὸν οὕτω πάσχοντα διὰ τῶνδε· ὠχροὶ τυγχάνουσι καὶ ὁρῶσιν ἀδρανὲς καὶ ξηροὺς τοὺς ὀφθαλμοὺς ἔχουσι καὶ οὐδὲ δακρύουσιν· θεάσῃ δὲ αὐτοὺς κοίλους τοὺς ὀφθαλμοὺς ἔχοντας, καὶ τὴν γλῶσσαν

1 2

les mouvements passifs, les spectacles et les jouissances de la musique; nous avons imaginé aussi de faire peur à quelques-uns; car la passion de ceux qui s'occupent incessamment de leur amour est difficile à déraciner. On excitera donc leur émulation contre certains adversaires sur le sujet que chacun en particulier s'est choisi comme la principale occupation de sa vie. Voici quels sont les symptômes qu'on observe chez les amoureux : les yeux sont creux, quoiqu'ils ne pleurent pas; ils semblent être remplis de volupté; les paupières sont continuellement agitées; et, tandis que toutes les autres parties du corps sont affaissées, les paupières seules ne le sont pas chez les amoureux.

2 3

10. DE LA LYCANTHROPIE.

Les malades pris de lycanthropie sortent la nuit, en imitant tout à fait les loups, et séjournent jusqu'au jour autour des sépulcres. Vous reconnaîtrez cette maladie aux signes suivants : pâleur, regard languissant, œil sec et sans larmes; vous observerez aussi que les yeux sont creux, que la langue est extrêmement sèche, et qu'il ne s'échappe pas la

1 2

1. ἐπηρτήσαμεν ex em.; ἀπαρτήσαμεν ABP; ὑπαρτήσαμεν F. — Ch. 10, l. 9. τά Aët. Paul.; om. Codd. — 10. τυγχάνωσι BFP.

ξηροτάτην, καὶ σίελον οὐδὲ ὅλως παραχωροῦν αὐτοῖς· εἰσὶ δὲ καὶ διψώδεις καὶ τὰς κνήμας διὰ τὸ πολλάκις προσπλαίειν ἀνιάτως
3 ἠλκωμένας ἔχουσιν. Τοιαῦτα μὲν αὐτῶν τὰ γνωρίσματα· γινώσκειν δὲ χρὴ εἶδος μελαγχολίας εἶναι τὴν λυκανθρωπίαν, ἣν θεραπεύσεις κατὰ τὸν χρόνον τῆς ἐπισημασίας τέμνων φλέβα καὶ κενῶν 5
τοῦ αἵματος ἄχρι λιποθυμίας, καὶ διαιτῶν τὸν κάμνοντα εὐχύμοις
4 τροφαῖς. Κεχρήσθω δὲ τοῖς λουτροῖς γλυκέσιν· εἶτα ὀρῷ γάλακτος χρησάμενος ἐπὶ τρεῖς ἡμέρας κάθαιρε τῇ διὰ κολοκυνθίδος ἱερᾷ, καὶ δεύτερον καὶ τρίτον· μετὰ δὲ τὰς καθάρσεις καὶ τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρήσῃ καὶ τὰ ἄλλα παραλήψῃ ὅσα ἐπὶ τῆς μελαγχολίας 10
5 εἴρηται. Ἐπερχομένης δὲ ἤδη τῆς νόσου τοῖς ὕπνους ἐμποιεῖν εἰωθόσιν ἐπιβρέγμασι χρήσῃ· καὶ ὀπίῳ δὲ χρῖσον ὦτα καὶ μυκτῆρας εἰς ὕπνον τρεπομένοις.

moindre salive de la bouche; les malades sont altérés et ont aux jambes
3 des ulcères incurables, parce qu'ils se heurtent souvent. Tels sont les signes de la lycanthropie; mais il faut savoir que cette maladie est une espèce de mélancolie, qu'on traite, à l'époque de l'invasion, par une saignée poussée jusqu'à la défaillance, et par un régime qui consiste en
4 des aliments doués de bons sucs. On prescrit des bains d'eau douce; ensuite, pendant trois jours, du petit lait; après quoi, on purge jusqu'à deux ou trois fois avec le médicament sacré à la coloquinte; après les purgations, on administre le médicament aux vipères qu'on donne contre les morsures des animaux venimeux, et on a recours aux autres moyens de traitement que nous avons énumérés à propos de la mélan-
5 colie (chap. 7). Quand le malade sent les approches de son mal, employez les embrocations dont on se sert habituellement pour faire dormir; lorsque le sommeil vient, faites, sur les oreilles et sur le nez, des onctions avec l'opium.

1. προχωροῦν ABP. — 8. διὰ τῆς κ. ABP.

ια'. Περὶ φλεγμονῆς ἐγκεφάλου. Ἐκ τῶν Φιλουμένου.

Φλεγμαίνων ὁ ἐγκέφαλος οἰδεῖ πολλάκις οὕτως ὥστε καὶ τὰς ἐν 1
κεφαλῇ ῥαφὰς διίστασθαι. Καὶ ὀδύνη δὲ μεγίστη καὶ διαρκὴς πα- 2
ρέπεται, καὶ ἄση πολλὴ, ἔρευθός τε κατὰ τοῦ προσώπου πολὺ
συνίσταται, καὶ τὰ ὄμματα προπετῆ γίνεται, καὶ οἰδεῖ τὸ πρόσωπον
5 καὶ ἡ κεφαλὴ πᾶσα. Φλεβοτομεῖν οὖν τούτους χρὴ καὶ κενοῦν ἀπὸ 3
ἀγκῶνος· δεῖ δὲ καὶ ἀπὸ ῥινὸς καὶ τῶν ὑπὸ τὴν γλῶσσαν ἀγγείων
κενοῦν τοῦ αἵματος. Χρῶ δὲ καὶ ταῖς πρὸς τὰς φλεγμονὰς κατὰ τῆς 4
κεφαλῆς διαβροχαῖς καὶ καταπλάσμασι τοῖς ἀνυγραίνουσί τε καὶ
πεπαίνειν δυναμένοις.

ιβ'. Περὶ ἐρυσιπέλατος ἐν ἐγκεφάλῳ. Ἐκ τῶν Φιλουμένου.

10 Γίνεται καὶ ἐρυσίπελας ἐν ἐγκεφάλῳ, καὶ πάσχει ὁ κάμνων τάδε· 1
ἀλγεῖ τὴν κεφαλὴν πᾶσαν καὶ δοκεῖ φλόγας ἐν αὐτῇ εἶναι, καὶ τὸ

11. DE L'INFLAMMATION DU CERVEAU. — TIRÉ DE PHILUMÈNE.

Quand le cerveau est enflammé, il se gonfle souvent à un tel degré, 1
qu'il se produit un écartement des sutures de la tête. Il survient une 2
douleur persistante et très-grave, une jactitation très-forte et une rougeur
très-prononcée de la face; les yeux deviennent saillants, et il y a de la
tuméfaction de la face et de toute la tête. Il faut donc saigner ces ma- 3
lades au pli du bras; mais on évacuera aussi du sang par le nez et par
les veines placées au-dessous de la langue. Ayez aussi recours aux em- 4
brocations et aux cataplasmes, qu'on applique habituellement sur la
tête pour combattre les inflammations, et qui ont la propriété d'humec-
ter et d'amener à maturité.

12. DE L'ÉRÉSIPÈLE DU CERVEAU. — TIRÉ DE PHILUMÈNE.

Il peut aussi survenir un érésipèle au cerveau; dans ce cas, le ma- 1
lade présente les symptômes suivants : toute sa tête est douloureuse, et

Ch. 11; l. 8. *τε* om. ABP. — Ch. 12; tit. *Ἐκ τῶν Φιλουμένου* Vers. antiq.; om. Codd. gr. — 10. *καί* ante *ἐρυσίπελας* Aët.; om. Codd.

πρόσωπον τοῦ πάσχοντος ψυχρόν ἐστι καὶ ὕπωχρον, καὶ ξηραίνεται
2 τὸ στόμα. Φλεβοτόμει οὖν τὸν οὕτω πάσχοντα, καὶ μάλιστα τὰς
ὑπὸ τῇ γλώσσῃ φλέβας διαίρει, καὶ πρόσφερε τὰ ψύχοντα, οἷς καὶ
ἐπὶ τῶν ἄλλων ἐρυσιπελάτων χρώμεθα.

ιγ'. Περὶ λυσσοδήκτων. Ἐκ τῶν Γαληνοῦ.

1 Οἱ δηχθέντες ὑπὸ λυσσῶντος κυνὸς ἐμπίπτουσιν εἰς τὸν ὑδροφό- 5
2 βον. Σημεῖα δὲ τοῦ λυσσῶντος κυνὸς τάδε· ἄφωνοι τὸ ἐπίπαν εἰσὶ
καὶ ἔκφρονες, ὥστε μηδὲ τοὺς οἰκειοτάτους γνωρίζειν, ἀπόσιτοι δὲ
καὶ διψώδεις μέν, οὐ ποτικοὶ δέ, καὶ ἀσθμαίνουσιν ἐπὶ πολύ, καὶ
3 τὰ ὦτα κλίνουσιν· σίελον δὲ καὶ δαψιλὲς καὶ ἀφρῶδες ἀφιᾶσιν. Τοὺς
δηχθέντας οὖν αὐτίκα θεραπεύεσθαι πάσῃ τῇ νενομισμένῃ θερα- 10
πείᾳ, κἂν μικρὸν καὶ ἐπιπόλαιον ᾖ τὸ ἕλκος, καὶ γυμνοῦν πάντο-

il lui semble qu'elle contient des flammes; la face est froide et légère-
2 ment pâle, et la bouche sèche. Dans de telles conjonctures, pratiquez
donc une saignée; mais divisez surtout les veines placées au-dessous de
la langue, et appliquez les médicaments refroidissants que nous em-
ployons aussi dans les autres cas d'érésipèle.

13. DE LA MORSURE DES CHIENS ENRAGÉS. — TIRÉ DE GALIEN.

1 Ceux qui ont été mordus par un chien enragé sont pris d'hydro-
2 phobie. Voici les signes que présente un chien enragé : en général, ces
chiens perdent la voix et l'entendement, de telle manière qu'ils ne re-
connaissent pas même ceux qui leur sont le plus familiers; ils ont de
l'aversion pour les aliments et de la soif; cependant ils ne sont pas
portés à boire; ils sont tout à fait haletants et baissent les oreilles; ils
3 laissent écouler une grande quantité de salive écumeuse. On doit im-
médiatement appliquer à ceux qui ont été mordus le traitement géné-
ralement reçu dans toute son étendue : quand la plaie est petite et
superficielle, on la débride en tous sens, et on applique des cautères

2. φλεβοτόμει Paul.; φλεβοτομητέον Codd. — 3. διαίρει Paul.; διαιρεῖν Codd. — Ch. 13; tit. Ἐκ τῶν Γαληνοῦ Versio antiq.; om. Codd. gr. — 5-6. ἐμπ. εἰς τὸν ὑδροφόβον... κυνός om. BP. — 8. δέ om. BP. — 9. δέ om. BP. — Ib. καί om. ABP. — 11. καὶ ἐπιπ... ἕλκος om. BP.

θεν, καίειν τε καυτηρίοις σιδηροῖς· τηρεῖν γὰρ δεῖ τὸ ἕλκος, καὶ μὴ ἄγειν εἰς οὐλὴν ταχέως· ἀπονίζειν δὲ ἕψοντας ἐν τῷ ὕδατι τὴν ἀνθεμίδα καὶ τὴν τοῦ ἀγρίου λαπάθου ῥίζαν· πίνειν δὲ τὸ λύκιον, καὶ τὸν ὀπὸν τοῦ σιλφίου· τούτου δὲ καὶ εἰς τὸ ἕλκος ἐντιθέναι· πίνειν
5 δὲ καὶ χαμαίδρυν καὶ σκόρδιον καὶ γεντιανῆς ῥίζαν καὶ πόλιον, καὶ ποταμίων καρκίνων ἀφέψημα, ἀνήθου πολὺ μίσγοντα· καθαίρειν δὲ τῷ διὰ τῆς σικυωνίας καθαρτικῷ, καὶ διδόναι ἐπὶ ἡμέρᾳ τούτου τοῦ φαρμάκου οὐκ εἰς κάθαρσιν ὅσον κυάμου μέγεθος. Τὸ δὲ ὑγρὸν 4
ἕψω ἐλελισφάκου ἀφέψημα, ἢ τῆς σιδηρίτιδος τῆς ἡρακλείας, ἣν
10 καὶ ἄλυσσον ὀνομάζουσι διὰ τὸ καὶ μόνην αὐτὴν ὠφελεῖν. Δοίη δὲ 5
ἄν τις ὠφελίμως καὶ τοῦ διὰ ἐχιδνῶν· παραλαμβάνειν δὲ καὶ οὐρητικά. Χρῆσθαι δὲ δεῖ καὶ τῇ προσφορᾷ τοῦ ἥπατος τοῦ δακόντος 6
κυνός· μὴ θαρρεῖν δὲ μόνῃ, ἀλλὰ διὰ πάντων ἐπιχειρεῖν θεραπεύειν. Ἀπολλώνιος δὲ ὁ Περγαμηνὸς ἱστορηκέναι φησὶ πολλοὺς 7

en fer; car on doit tenir la plaie ouverte et ne pas la laisser cicatriser promptement; on la lave avec de l'eau, dans laquelle on a fait bouillir de la camomille ou de la racine de patience sauvage, et on donne à boire du suc de petit nerprun ou de silphium; on met aussi de ce dernier suc dans la plaie; on fait boire aussi de la germandrée lucide, de la germandrée aquatique, de la racine de gentiane, du polium, ou une décoction d'écrevisses dans laquelle on a mis beaucoup d'aneth; on provoque une purgation à l'aide du purgatif à la coloquinte, et, en outre, on donne chaque jour un morceau gros comme une fève de ce même médicament, mais dans le but de purger. On prend ce médicament 4
dans une décoction de sauge, ou de la *sidéritis* d'Héraclée, qu'on appelle également *alyssos* (c'est-à-dire *remède contre la rage*), parce qu'elle fait aussi du bien quand on la prend seule. On peut administrer avec 5
avantage le médicament aux vipères, et recourir aux substances qui poussent aux urines. Il faut encore donner à manger le foie du chien 6
qui a infligé la morsure; seulement ne vous en rapportez pas à l'emploi de ce remède seul, mais efforcez-vous d'appliquer à la fois tous les remèdes reçus. Apollonius de Pergame prétend avoir constaté que jamais 7

2. ἕψοντας Paul.: ἑψῶντας BDFP. — 6. μίσγοντα ex em.; μίσγων A; σμίγων BDFP. — 11. περιλαμβάνειν Codd. — 13. ἀλλὰ καὶ BP.
Ib. τῷ om. BP. —

σεσωσμένους τοὺς ὑδροφόβῳ ληφθέντας διὰ ἄλλην τινὰ κατασκευὴν ἁλόντας τῷ πάθει, τῶν δὲ διὰ δῆξιν λυσσῶντος κυνὸς οὐδένα.

ιδ'. Περὶ παραλύσεως.

1 Πάντων μὲν ἅμα τῶν νεύρων ἀπολεσάντων τὴν αἴσθησίν τε καὶ κίνησιν ἀποπληξία τὸ πάθος ὀνομάζεται· κατὰ θάτερον δὲ μέρος, ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, εἰ συμβαίη τοῦτο, παράλυσις καλεῖ- 5
2 ται, τοῦ μέρους ἐκείνου δηλονότι κατὰ ὃ συνέστηκεν. Συμβαίνει δὲ τὸ πάθος ὑγρῶν γλίσχρων καὶ παχέων ἐμφραττόντων τὰ νεῦρα,
3 διὰ ὧν αἱ κατὰ προαίρεσιν κινήσεις ἀποτελοῦνται. Πρόδηλον οὖν ὡς ἐκκενῶσαι δεῖ τὸν τοιοῦτον χυμόν· ἐκκενωθήσεται τοῦ καθαρτη-
4 ρίου τῆς ἱερᾶς ποθείσης. Δεῖ οὖν ἀπὸ δραχμῆς ἀρξάμενον διδόναι 10 τοῦ φαρμάκου χωρὶς μέλιτος ἐπεμβάλλοντα πεπέρεως χυοώδους· βουλόμεθα γὰρ ἀναδοθῆναι τὸ φάρμακον, οὐ καθῆραι, καὶ διὰ τρίτης πάλιν δοθῆναι τὴν δραχμὴν, ἢ καὶ πλέον, εἶτα διαστήσαντα ἡμέρας

aucun malade pris d'hydrophobie n'a guéri, quand sa maladie provenait de la morsure d'un chien enragé, tandis que plusieurs de ceux dont l'hydrophobie tenait à quelque autre circonstance ont été sauvés.

14. DE LA PARALYSIE.

1 Quand tous les nerfs à la fois ont perdu le sentiment et le mouvement, on donne le nom d'*apoplexie* à la maladie qui en résulte; mais, quand le même phénomène a lieu d'un seul côté, que ce soit à droite ou à gauche, on dit qu'il y a *paralysie* du côté où l'affection s'est dé-
2 veloppée (*hémiplégie*). Cette maladie a lieu quand des humeurs épaisses et visqueuses obstruent les nerfs qui président au mouvement volon-
3 taire. Il est donc clair qu'il faut évacuer cette humeur, et on l'évacuera
4 en donnant à boire le *purgatif sacré*. Nous commencerons donc l'administration de ce médicament par la dose d'une drachme, que nous donnerons sans miel, en jetant dessus du poivre réduit en poudre impalpable; car nous ne voulons pas que le médicament purge, mais qu'il pénètre dans le corps; tous les trois (*deux*) jours, nous donnerons de

1. τούς om. A. — CH. 14; tit. παραλύσεως. Ἐκ τῶν Ἀρχιγένους Aët. — 6. δηλονότι om. BP. — 7. τὸ νεῦρον BFP. — 8. συντελοῦνται A. — 9-10. τοῦ καθαρθέντος BP. — 13. διαστήσαντα ex em.; διαστήσας Codd.

τέσσαρας αὖθις διδόναι δύο ὁμοίως, καὶ πάλιν τρεῖς δραχμὰς διδόναι· διασθήσαντα δὲ μετὰ ταῦτα τὴν τελείαν διδόναι δόσιν ∠δ', καὶ τοῦ μέλιτος ἐπεμβάλλοντα καὶ τῶν ἁλῶν ὅσον κοχλιάριον· μιγνύναι δὲ καὶ νῦν πέπερι. Ἐὰν μὲν οὖν ἐπὶ τῇ τοιαύτῃ δόσει καθαρθῇ τελέως 5
5 ὁ θεραπευόμενος· εἰ δὲ μὴ, ἀλλὰ καὶ πέντε ∠ διδόναι· ἔσθι δὲ οἷς καὶ ἕξ, ἐὰν ἀκμάζοντες κατὰ τὴν ἡλικίαν ὦσιν. Δίαιτα δὲ λεπτύ- 6
νουσα ἔσται. Ἐπὶ δὲ τὸ τὴν ἔμφραξιν ἐσχηκὸς μόριον ἐπίβαλλέ τι 7
τῶν διαφορητικῶν φαρμάκων. Χρὴ δὲ τῶν μὲν κατὰ πρόσωπον πα- 8
ραλελυμένων ἀποφλεγματισμοῖς τε χρῆσθαι συνεχέσι παραύξοντας
10 τὴν ἰσχὺν αὐτῶν, καὶ πταρμοὺς κινεῖν, καὶ τῆς κεφαλῆς προνοεῖν παντοίως· ἐπὶ ὧν δὲ οὐδὲν τῶν κατὰ πρόσωπον πέπονθεν, ἀρκεῖ προσφέρειν τὰ φάρμακα τῷ κατὰ ἰνίον τε καὶ τοὺς πρώτους σπονδύλους· χρῆσθαι δὲ καὶ ἐπὶ τούτων ἀποφλεγματισμοῖς.

nouveau une drachme de ce médicament, ou même une dose plus forte; puis nous attendrons quatre jours pour administrer de nouveau deux drachmes de la même manière, puis nous en donnerons encore une fois trois drachmes; après quoi nous attendrons quelque temps pour administrer ensuite la dose complète, qui est de quatre drachmes; seulement, cette fois, nous ajouterons aussi du miel et une cuillerée de sel; nous n'en continuerons pas moins d'ajouter aussi du poivre. Si, 5
par l'effet de cette dose, on obtient une purgation complète du malade en traitement, on en restera là; dans le cas contraire, on donnera aussi cinq drachmes; chez quelques malades on en donnera même six. Le régime devra être atténuant. Sur le nerf qui est le siége de l'obs- 6-7
truction, on placera quelque médicament qui dissipe. Chez les malades 8
qui ont une paralysie de la face, on aura fréquemment recours à des apophlegmatismes, dont on augmentera l'intensité; on provoquera des éternuments et on prendra soin de la tête de toutes les façons; chez les malades dont aucune partie de la face n'a été affectée, il suffit d'appliquer des médicaments sur l'occiput et les premières vertèbres; cependant, chez ces malades, on aura aussi recours aux apophlegmatismes.

5. δόσιν om. BFP. — 3. ἐπεμβάλλοντα ex em.; ἐπεμβαλλόντος BP. — 6. δέ] τε A. — 7. τὸ διὰ τὴν. BP. — 9. τε om. BP. — 11. πεπονθότων BP.

ιε'. Περὶ ῥίγους ἀνεκθερμάντου.

1 Ἐπὶ ὑαλώδει πάνυ ψυχρῷ φλέγματι γίνεται τὸ τοιοῦτον ῥῖγος ἄνευ πυρετοῦ, καὶ χρὴ ἀδεῶς κεχρῆσθαι τοῖς θερμαίνουσιν ἐπὶ τούτων καὶ τέμνουσι πάχος χυμῶν ἐδέσμασί τε καὶ πόμασι καὶ
2 φαρμάκοις τοιούτοις. Δεῖ δὲ ἐν ἀρχῇ διδόναι τούτοις καὶ τὸ διὰ τριῶν πεπέρεων, εἶτα τὸ διὰ καλαμίνθης, εἶτα τὸ διὰ ὀποῦ κυρηναϊκοῦ καὶ κασ7ορείου.

ις'. Περὶ σπασμῶν.

1 Ὅταν εὐθὺς ἐξ ἀρχῆς, ἢ οὐ μετὰ πολὺ τῆς ἀρχῆς τοῦ νοσήματος ἀρξάμενοι γίνεσθαι σπασμοὶ διαμένωσιν, ὑπὸ πληρώσεως ἴσχουσι τὴν γένεσιν· ὅταν δὲ μετὰ ἱδρῶτας πολλοὺς, ἢ ἐμέτους, ἢ διαχωρήσεις, ἢ αἱμοῤῥαγίας, ἢ ἀγρυπνίας, ἢ λιμὸν, ἢ κινήσεις πολλὰς
2 καὶ σφοδρὰς, κενώσεσιν ἕπονται. Καὶ ὅταν τινὶ τῶν ὑγιαινόντων

15. DU FRISSON NON SUIVI DE CHALEUR.

1 Cette espèce de frisson sans fièvre provient d'une pituite vitreuse extrêmement froide; pour le combattre, employez sans crainte les aliments, les boissons et les médicaments qui exercent un effet échauffant
2 et incisif sur les humeurs épaisses. Donnez aussi, au commencement, le médicament aux trois espèces de poivre, puis celui à la *calaminthe*, et ensuite celui qui contient du suc de cyrène et du castoréum.

16. DES CONVULSIONS.

1 Lorsque des convulsions qui ont commencé dès le début de la maladie, ou peu après ce début, persistent, elles tirent leur origine d'une réplétion; au contraire, lorsque des convulsions viennent à la suite de sueurs, de vomissements, de selles, ou d'écoulements sanguins abondants, de veilles prolongées, d'alimentation insuffisante, ou de mouvements nombreux et violents, ils sont la conséquence d'une perte d'hu-
2 meurs. De même, quand un individu bien portant est subitement pris

Ch. 15; l. 3. καὶ post πόμ. om. BFP. — 4. ἐν... τούτοις om. BP.

ἐξαίφνης σπασθῆναι συμβῇ, ἀναγκαῖον ἐπὶ πληρώσει γεγονέναι.
Εἰ δὲ ἐκ πυρετῶν διακαῶν ξηρανθείη ὅλον τὸ σῶμα καὶ τὰ νεῦρα, 3
κἄπειτα διὰ τὴν ξηρότητα σπασθείη, μέγιστον δὴ τοῦτο τὸ κακόν
ἐστι καὶ σχεδὸν ἀνίατον. Ὅταν μὲν οὖν εἰς τὰ πρόσω τείνηται τὰ 4
5 μόρια τοῦ σώματος, ἐμπροσθότονος λέγεται τὸ πάθος· ὅταν δὲ εἰς
τοὐπίσω, ὀπισθότονος· τέτανος δὲ ὅταν ἰσοσθενῶς ἐπὶ ἑκάτερα.
Τοὺς μὲν οὖν ἐπὶ ξηρότητι σπασμοὺς οὐκ ἂν ἰάσαιο· τοὺς δὲ διὰ 5
πλῆθος ἢ φλεγμονὴν γινομένους σπασμοὺς ἰάσῃ τὸ μὲν πλῆθος
κενῶν, τὴν δὲ φλεγμονὴν τοῖς ἰδίοις αὐτῆς βοηθήμασιν ἐκθεραπεύων.
10 Γίνεται δὲ σπασμὸς καὶ ὅταν σπαραχθῶσι σφοδρότερον ἐμοῦντες. 6
Βοηθεῖ δὲ τοῖς σπωμένοις ἀκανθίου ῥίζα, καὶ ἀκάνθου τῆς λευκῆς τὸ 7
σπέρμα πινόμενον, καὶ τῆς αἰγυπτίας ἀκάνθου. Καὶ τοῦ κενταυρίου 8
δὲ τοῦ μικροῦ τὸν χυλὸν ἔνιοι διδόασι πίνειν ὅταν διὰ πλήρωσιν ὁ

de convulsions, cet accident tient certainement à la réplétion. Si les 3
nerfs, et en général tout le corps, ont été desséchés par des fièvres brûlantes, et qu'ensuite cette sécheresse donne lieu à des convulsions, c'est un mal très-grave et presque incurable. Lorsque les parties du 4
corps sont courbées en avant, on donne à la maladie le nom d'*emprosthotonos;* si elles le sont en arrière, on se sert du mot *opisthotonos;* si elles sont tirées avec une force égale dans les deux sens, la maladie est appelée *tétanos*. Les convulsions qui viennent de la sécheresse sont in- 5
curables; mais on guérit celles qui tiennent à la surabondance d'humeurs ou à l'inflammation : les premières, en évacuant la surabondance, et les autres, en guérissant complétement l'inflammation par les médicaments appropriés. Il survient aussi des convulsions quand les vomis- 6
sements causent des tiraillements trop forts. La racine de chardon bâ- 7
tard, la graine de cnicus ferox ou d'onoporde d'Arabie, prises en boisson, sont bonnes contre les convulsions. Lorsque les convulsions 8
tiennent à la réplétion, quelques-uns font boire du suc de petite cen-

3. τοῦτον BP. — Ib. τῶν κακῶν ABP. — 5. τὸ πάθος Gal. Paul.; om. Codd. — 6. ὅταν A; om. BP. — Ib. ἰσοσθενοῦς BFP. — 9. αὐτοῖς BFP. — Ib. ἐκθεραπεύειν A. — 11. ἀκάνθης (*bis*) ABP. — 12. τοῦ ante κενταυρίου om. A. — 13. δέ om. A. — Ib. λεπτοῦ AF.

9 σπασμὸς γένηται. Μὴ μόνον δὲ δίδου πίνειν, ἀλλὰ καὶ ἔξωθεν ἐπίχριε κατὰ τοῦ δέρματος κασΙόρειον ἅμα σικυωνίῳ.

ιζ'. Περὶ τετάνου. Ἐκ τῶν Φιλουμένου.

1 Ἐπὶ τετανικῶν κύσΙιν πλατεῖαν θερμὸν ἔχουσαν ἔλαιον τοῖς τένουσιν ὑποτιθέναι χρὴ, ἵνα ὅλα θαλπόμενα προσηνῶς ἐπὶ τἀναντία
2 τῆς τάσεως δύνηται φέρειν. Τὸ ὅλον γοῦν ἀγωνισΙέον ταῖς ἐμβροχαῖς καὶ τοῖς πιλήμασι, πρῶτον μὲν διὰ ἐλαίου γλυκέος, ἔπειτα δὲ διὰ
3 ἐλαίου πηγανίνου τε καὶ σικυωνίου. Πλέον δὲ ἀνύει τὰ καταπλάσματα διὰ τήλεως, λινοσπέρμου, κριθίνου ἀλεύρου, μέλι δαψιλὲς καὶ ἔλαιον ἔχοντα· περιλαμβανέτω δὲ καὶ αὐχένας καὶ σιαγόνας ἑκατέρας καὶ
4 ῥάχιν ὅλην μέχρι τῶν ψοῶν. Καὶ σικύαι δὲ μετὰ ἀμύξεως παραλη-
ΠΙέαι· κολλάσθωσαν δὲ κατὰ τραχήλου καὶ ῥάχεως ἑκατέρωθεν, καὶ
5 κατὰ τῶν τοῦ σΙέρνου μυωδῶν, καὶ κατὰ τῶν ὑποχονδρίων. Ἐπὶ δὲ

9 taurée. On ne donnera pas seulement à boire le castoréum, mais on l'appliquera aussi à l'extérieur sur la peau, sous forme de liniment, combiné au suc de concombre sauvage.

17. DU TÉTANOS. — TIRÉ DE PHILUMÈNE.

1 Contre le tétanos, on place au-dessous de la partie postérieure du cou une vessie large remplie d'huile chaude, afin que toute cette région, étant doucement échauffée, puisse donner au corps une direction
2 contraire à celle où la tension l'attire. En général, il faut combattre cette maladie par les embrocations et la laine feutrée [imbibée de substances médicamenteuses]; à cet effet, on se servira d'abord d'huile
3 douce, et ensuite d'huile à la rue ou d'huile de Sicyone. Cependant les cataplasmes composés de fenugrec, de graine de lin ou de farine d'orge, et qui contiennent une grande quantité de miel et d'huile, ont une action plus efficace; mais ils doivent recouvrir le cou, les deux
4 mâchoires et toute l'épine du dos jusqu'aux lombes. On emploie aussi des ventouses scarifiées, qu'on applique sur le cou, des deux côtés de l'épine du dos, sur les parties musculeuses de la poitrine et sur les hy-
5 pocondres. Quand cette maladie est devenue chronique, on prescrit

Ch. 17; l. 3. Ἐπὶ τῶν τετανικῶν ABP. BFP. — 9. ἔχοντος A. — Ib. δέ om. — 4. ἐπιτιθέναι BFP. — 6. δέ om. A. — 10-11. περιληπΙέαι A.

τῶν χρονισάντων καὶ ταῖς εἰς ἔλαιον ἐμβάσεσι χρησΊέον, καὶ δὶς τῆς ἡμέρας, εἰ τὰ τῆς δυνάμεως ἐπιτρέποι. Πηγάνινον ἔλαιον τερ- 6
μινθίνης ἐντακείσης θερμὸν προσηνῶς διὰ ἕδρας ἐνιέμενον θαυμασΊῶς ὀνίνησιν αὐτούς. Προποτίζειν δὲ αὐτοὺς ὀπὸν κυρηναϊκὸν, 7
5 ἀλλὰ ἐπεὶ διαλυθεὶς δάκνει τὴν κατάποσιν, περιπλασΊέον μέλιτι ἑφθῷ ὀρόβου τὸ μέγεθος. Καὶ ἡ ῥίζα δὲ τοῦ σιλφίου ἐμπασθεῖσα 8
μελικράτῳ δίδοται συμφερόντως, καὶ ἡ σμύρνα ὁμοίως, καὶ ὑσσώπου ἀφέψημα. Πάντων δὲ ὠφελιμώτατον τὸ κασΊόρειον· διόπερ καὶ δύο 9
κοχλιάρια δοτέον μετὰ μελικράτου μεμερισμένως, οὐχ ὑπὸ ἕν.

ιη'. Περὶ κεφαλαλγιῶν.

10 Τὰς διὰ ἔγκαυσιν ἤ τινα θερμότητα κεφαλαλγίας ἰᾶται τὰ ψυ- 1
κτικὴν ἔχοντα δύναμιν ἄνευ τοῦ σΊύφειν· ἄρισΊα δὲ αὐτῶν ἐσΊιν ὅσα λεπΊομερέσΊερα ταῖς οὐσίαις ἐσΊίν· διὸ κατὰ ἀρχὰς οὐδὲν ἄμεινον

les bains d'huile même deux fois par jour, si l'état des forces le permet. C'est un remède merveilleux pour ces malades qu'un lavement 6
d'huile à la rue dans laquelle on a fait fondre de la résine de térébenthinier, pourvu qu'on lui communique une chaleur douce avant de l'administrer. Avant le repas, on fait avaler à ces malades du suc de 7
Cyrène; mais, comme ce suc excite des mordications aux organes de la déglutition, on en donnera, enveloppé dans du miel cuit, gros comme un
ers. On emploie encore avec avantage de la racine de silphium, dont on 8
saupoudre de l'eau miellée; il en est de même de la myrrhe et d'une décoction d'*hysope*. Le plus utile de tous les remèdes est le castoréum; 9
on en fait prendre deux cuillerées avec de l'eau miellée; seulement on ne le donne pas d'un seul coup, mais par portions.

18. DES MAUX DE TÊTE.

Les maux de tête qui tiennent à un échauffement ou à quelque effet 1
de chaleur sont guéris par les médicaments doués de propriétés refroidissantes, mais qui ne resserrent pas; les meilleurs sont ceux dont la substance est la plus subtile; pour cette raison, il n'y a pas de meilleur

6. ἐμπασθ. ex em.; ἐμπλασθέντα Paul.; πασθεῖσα BF; παθεῖσα P; σπασθ. A.

τοῦ ῥοδίνου τοῦ χωρὶς ἁλῶν ἐσκευασμένου ψυχροτάτου κατὰ τοῦ
2 βρέγματος διαβρεχομένου· ἔστω δὲ μὴ παλαιὸν τὸ ῥόδινον. Ἐφεξῆς
δὲ τῷ ῥοδίνῳ τὸ χαμαιμήλινόν ἐστιν ἔλαιον ἐπὶ ὧν μετρίαν δεῖ τὴν
ἔμψυξιν ἐργάσασθαι· ἐπειδὰν δὲ σφοδρῶς ψῦξαι βουληθῶμεν τὸ
ῥόδινον, μιγνύναι αὐτῷ προσήκει χυλὸν ἀειζώου, ἢ ἀνδράχνης, ἢ 5
θριδακίνης, καὶ ὄμφακος σταφυλῶν· μήκωνος δὲ καὶ μανδραγόρου
3 χυλὸν φυλάττεσθαι· οὐκ ἀβλαβῶς γὰρ ἐμψύχει. Ἀνάγκης δέ ποτε
4 καταλαβούσης ὀλίγον αὐτῶν μιγνύναι χρή. Ἐρασίστρατος δέ φησιν
μεγίστην εἶναι προφυλακὴν ὅταν εἰς πυρίαν εἰσέλθῃ τις· σπογγίον
τῶν πυκνῶν καὶ κοίλων βρέξας εἰς ὕδωρ καὶ ἐκπιέσας σφόδρα, ἐπι- 10
5 τίθει κατὰ τῆς κεφαλῆς. Ἐπὶ δὲ τῆς κατὰ ψῦξιν κεφαλαλγίας πη-
γανίνῳ ἐλαίῳ χρήσῃ· σφοδροτέρας δὲ εἴπερ δεηθείη τῆς θερμασίας,
6 ἐπεμβαλεῖς εὐφορβίου βραχὺ τῷ ἐλαίῳ. Ἀλείφειν δὲ δεῖν μύρῳ ἰρίνῳ

remède au commencement que l'huile aux roses préparée sans sel, et qu'on applique, sous forme d'embrocation très-froide, sur le sommet
2 de la tête; cette huile aux roses ne doit pas être vieille. Après l'huile aux roses vient l'huile à la camomille, pour les cas où l'on doit produire un refroidissement modéré; mais, pour que l'huile aux roses refroidisse fortement, on y ajoute du suc de joubarbe, de pourpier, de laitue ou de raisins verts; on évitera d'y mettre du suc de pavot ou de mandragore, car ces médicaments ne refroidissent pas sans causer du
3 dommage. Malgré cela, on est quelquefois forcé par la nécessité d'ajou-
4 ter aussi un peu de ces substances. Érasistrate dit que la meilleure précaution qu'on puisse prendre en entrant dans une étuve consiste à tremper dans l'eau une éponge serrée et creuse, à l'exprimer fortement et à
5 la mettre sur la tête. Dans le mal de tête qui tient au refroidissement, ayez recours à l'huile à la rue, et, si vous avez besoin de réchauffer plus
6 fortement, ajoutez un peu d'euphorbe à cette huile. On pratique aussi des onctions avec l'huile parfumée à l'iris ou à la marjolaine; l'huile aux baies de laurier convient encore pour le cas dont nous parlons; avec ces

1. ἐσκευασμένου Gal.; κατ' ἐσκευασμ. AF; κατασκευασμ. BP. — 1-2. ψυχροτ... διαβρεχ. om. BP. — 5. ἢ ante ἀνδρ. om. BP. — 9-10. μεγίστην... κοίλων om. BP. — 12. σφοδρότερον BP. — 13. ἐπεμβαλεῖς ad Eun.; ἐπεμβάλλειν AFP; ἐπεμβάλλει B. — Ib. δεῖν om. BP.

καὶ ἀμαρακίνῳ· καὶ τὸ δάφνινον δὲ εἰς τὰ παρόντα χρήσιμον· διαχρίειν δὲ τούτοις τὸ μέτωπον καὶ τῶν ῥινῶν καὶ τῶν ὤτων τοὺς πόρους. Ταῦτα μὲν οὖν ἐπὶ τῶν προσφάτων κεφαλαλγιῶν· ἐπὶ δὲ τῶν χρο- 7
νιζουσῶν ἀναγκαῖον γίνεται ξύραντα τὴν κεφαλὴν φάρμακα προσ-
5 φέρειν ἐμπλαστώδη τε καὶ κηρωτοειδῆ· τῇ δὲ τρίχας ἐχούσῃ σμικροτάτας τὰ ὑγρότερα. Τὴν δὲ ὕλην τῶν φαρμάκων χρὴ μεταφέρειν, 8
τὴν μὲν ψύχουσαν ἀπὸ τῶν τὰ ἐρυσιπέλατα ἰωμένων· τὴν δὲ θερμαίνουσαν διὰ τῶν θερμαινόντων συνθετέον, οἷον τὸ διὰ εὐφορβίου. Ἀρκεῖ δὲ τὸ α' ἐμβάλλειν ἐν ἐλαίου γλυκέος λίτρᾳ μιᾷ καὶ κηροῦ τὸ γ'. 9
10 Τὴν δὲ ἐπὶ στομάχῳ κεφαλαλγίαν ἰάσῃ κενῶν τὴν γαστέρα ὡς ὅτι 10
τάχιστα διὰ ἐμέτων· μηδενὸς δὲ ἐμουμένου, κἂν σπαραχθῶσι, κατακιρνᾷν χρὴ τὴν μοχθηρὰν κακοχυμίαν διὰ εὐχύμου τροφῆς. Χει- 11
ρίστη δὲ γίνεται διάθεσις ἐπὶ μοχθηροῖς χυμοῖς ἀναποθεῖσι δυσεκνίπτως εἰς τοὺς χιτῶνας τῆς γαστρὸς, ὧν ἄριστον βοήθημά ἐστιν ἡ

huiles on fera des onctions sur le front et sur les orifices des narines et des oreilles. Tel est le traitement des maux de tête récents; mais, 7
quand les douleurs deviennent chroniques, il est nécessaire de raser la tête et d'appliquer des médicaments qui aient la forme d'un emplâtre ou d'un cérat; quand les cheveux sont très-courts, on a recours à des médicaments plus humides que dans les autres cas. On choisit les mé- 8
dicaments refroidissants dans la classe de ceux qui guérissent l'érésipèle, et on compose les échauffants avec des substances échauffantes, par exemple le médicament à l'euphorbe. Il suffit d'ajouter une once d'eu- 9
phorbe à une livre d'huile douce et à trois onces de cire. On guérit le 10
mal de tête qui tient à l'orifice de l'estomac en évacuant aussi vite que possible l'estomac, à l'aide de vomissements; mais, si rien n'est évacué par les vomissements, bien que les malades soient tiraillés, on tempère les mauvaises qualités des humeurs par des aliments qui contiennent de bons sucs. On est dans les plus fâcheuses conditions quand des humeurs 11
mauvaises ont été résorbées par l'orifice de l'estomac [de manière qu'il est difficile de les enlever à l'aide d'un lavage]; dans ce cas, le meilleur

4. φάρμακον ABP. — 5. τε om. BP. — 6. τοῖς ὑγροτέροις Codd. — 8. συνθετέον Gal.; om. Codd. — 9. ἐμβαλεῖν BFP. — 10. στομάχου ABP.

12 πικρά. Ὀδυνώδους δὲ ἐπικρατούσης θερμότητος ἀποκρουστικῇ θε-
ραπείᾳ χρηστέον ἐκ τῆς τῶν ψυχόντων δυνάμεως γινομένῃ· μετὰ
δὲ ταῦτα τῶν παρηγορικῶν τε καὶ πεπτικῶν φαρμάκων μιγνύναι
χρὴ τοῖς ἀποκρουστικοῖς, εἶτα τῶν διαφορητικῶν τι καὶ λεπτυνόντων
13 προσθετέον. Τῆς ἐπὶ μεγέθει πυρετῶν γινομένης κεφαλαλγίας 5
ἰάματά ἐστιν αἱ ψυχραὶ ποιότητές τε καὶ δυνάμεις, διὰ ἐλαίου τε
14 καὶ ὀξυῤῥοδίνου καὶ μήκωνος κωδυῶν ἐπιβροχαί. Τοῖς δὲ ἐξ οἴνου
15 κεφαλαλγοῦσι χρεία κενώσεως καὶ τῆς ἐμψυχούσης δυνάμεως. Ῥόδινον
οὖν ἤ τι τοιοῦτον ἀρκεῖ προσφερόμενον, ὕπνος τε καὶ ἡσυχία καὶ
16 εἰς ἑσπέραν λουτρὸν καὶ τροφαὶ εὔχυμοι, οὐ θερμαίνουσαι δέ. Ἐπὶ 10
δὲ τῆς διὰ κατάπτωσιν ἢ πληγὴν κεφαλαλγίας, ἐπειδὴ φλεγμονή
τις συνίσταται, φλεβοτομίᾳ χρηστέον· εἰ δέ τι κωλύει, διὰ κλυστῆρος
τὴν κένωσιν ποιησόμεθα.

12 remède est le purgatif amer. Quand c'est une chaleur douloureuse qui
prédomine, on emploie un traitement répercussif composé de médica-
ments doués de propriétés refroidissantes; après cela, on mêle des mé-
dicaments calmants et maturatifs aux répercussifs; ensuite on ajoute une
13 certaine quantité de médicaments qui dissipent et atténuent. Les moyens
de guérir les maux de tête qui tiennent à l'intensité de la fièvre sont les
propriétés froides et les médicaments froids qui consistent en embroca-
tions d'huile ou d'un mélange de vinaigre, d'huile aux roses et de têtes
14 de pavot. Ceux qui ont mal à la tête par suite d'un excès de vin ont be-
15 soin d'une évacuation et de l'emploi des médicaments refroidissants. Il
suffit donc d'appliquer l'huile aux roses ou quelque autre médicament
semblable, de dormir, de se reposer, de se baigner le soir et de prendre
des aliments qui contiennent de bons sucs, mais qui n'échauffent pas.
16 Contre le mal de tête qui est la conséquence d'une chute ou de coups,
on fait une saignée lorsqu'il survient quelque inflammation; s'il y a obs-
tacle à la saignée, on pratique une évacuation à l'aide d'un lavement.

6-7. ἐστὶν αἱ ψυχραὶ..... μήκωνος om. BP. — 8-9. τῆς ἐμψυχούσης..... προσφερόμενον om. BP. — 10. καὶ τροφαῖς ταῖς εὐχύμοις BFP. — Ib. οὐ Gal. Aët.; om. Codd. — Ib. θερμαινούσαις δέ BFP. — 10-11. Ἐπὶ δὲ τῶν διά BP. — 12. φλεβοτόμῳ χρηστέον F; φλεβοτομητέον A.

ιθ'. Περὶ κεφαλαίας.

Ἐπὶ τῆς κεφαλαίας τὰ μὲν μετὰ βάρους ἀλγήματα πλῆθος δηλοῖ, 1
τὰ δὲ μετὰ δήξεως ἢ ἀτμῶν ἢ χυμῶν δριμύτητα, τὰ δὲ μετὰ σφυγμοῦ
φλεγμονὴν, τὰ δὲ μετὰ τάσεως, εἰ μὲν ἄνευ βάρους καὶ σφυγμοῦ,
πνεύματος ἀπέπλου καὶ φυσώδους πλῆθος, εἰ δὲ μετὰ σφυγμοῦ,
5 φλεγμονὴν ὑμενώδους σώματος, εἰ δὲ μετὰ βάρους, πλῆθος ἐντὸς
τῶν ὑμένων ἰσχόμενον. Εἰ μὲν οὖν πλῆθος εἴη περιεχόμενον ἀτμῶν 2
ἢ χυμῶν, ἐπισκοπεῖσθαι πότερον διὰ τὴν τοῦ μέρους ἀῤῥωστίαν, ἢ
διὰ τὴν ἐν παντὶ τῷ σώματι ἐγένετο πλησμονὴν, ἣν ἰάσῃ ταῖς τοῦ
ὅλου σώματος κενώσεσιν· τὴν δὲ ἐπὶ ἀσθενείᾳ τοῦ μορίου ἰάσῃ, τὸ
10 μέν τι πάντῃ τοῦ σώματος ἀντισπῶν, τὸ δέ τι ταῖς τοῦ μέρους
ἰάσεσιν.

19. DU MAL DE TÊTE CHRONIQUE.

Dans le mal de tête chronique, si les douleurs sont accompagnées de 1
pesanteur, elles indiquent de la plénitude; s'il y a en même temps des picotements, elles signifient qu'il existe des vapeurs ou des humeurs âcres; accompagnées de pulsation, elles révèlent une inflammation; accompagnées de tension, sans qu'il existe des pulsations ou de la pesanteur, elles indiquent une grande quantité de gaz mal cuit et flatulent; s'il y a en même temps des pulsations, il s'agit de l'inflammation de quelque corps membraneux; enfin, si la tension est accompagnée de pesanteur, des humeurs surabondantes sont retenues dans l'intérieur des membranes. Lorsqu'il existe à l'intérieur une surabondance de va- 2
peurs ou d'humeurs, on doit examiner si cet état tient à la faiblesse de la partie ou à la plénitude qui existe dans tout le corps; car on guérira la dernière affection par une évacuation générale de tout le corps, tandis qu'on guérira le mal de tête tenant à la faiblesse de la partie, d'un côté en opérant une révulsion dans toutes les directions du corps, et de l'autre côté par des médicaments appliqués sur la partie elle-même.

Ch. 19; l. 4. καί om. BP. — Ib. δυσώδους F; δυσῶδες BP. — 4-5. εἰ δὲ μετὰ σφυγμοῦ... πλῆθος om. BP. — 6. ἰσχομένων BP. — Ib. οὖν om. A. — Ib. ἐκ πλήθους A. — Ib. περιεχομένων A. — 8. ἐγένετο e Gal.; om. Codd. — Ib. ἥν] ἵνα BDFP. — Ib. ταῖς] τῶν A. — 9. ἰάσῃ ex em.; ἴασιν Codd. — 10. τι om. BP. — Ib. ἀντισπῶν BFP.

κ'. Περὶ ἡμικρανίας.

1 Θεραπεύειν τις ἐγχειρῶν ἡμικρανίαν ἐπισκεψάσθω πρότερον ὁποτέρας δεῖται καθάρσεως ἢ φλεβοτομίας ὁ κάμνων, εἶτα οὕτως ἐπὶ τὰ τῆς κεφαλῆς αὐτῆς ἀφικόμενος βοηθήματα, διά τε τῶν δακτύλων τῆς ἑαυτοῦ χειρὸς καὶ διὰ σινδόνων ἀνατρίβων τὸ ἥμισυ μέρος τοῦ μετώπου ἐκθερμαινέτω πρὸ τῶν παροξυντικῶν ὡρῶν· μετὰ δὲ τὸν παροξυσμὸν τοῖς καλουμένοις ἡμικρανικοῖς φαρμάκοις χρήσθω, θερμασίας μὲν πολλῆς ἐν ταῖς ὀδύναις αἰσθόμενος τοῖς ἔχουσί τι ψυκτικὸν, ἄνευ δὲ ταύτης τοῖς ἱκανῶς θερμαίνουσιν· μεμίχθω δὲ ἑκατέροις τῶν τονούντων τι, στυπτικὴν ἔχον δηλονότι ποιότητα.
2 Ὀνίνησι δὲ τούτους καὶ εἰς τὸ οὖς ἐγχεόμενον ἔλαιον χλιαρὸν ἐμβεβλημένου βραχέος εὐφορβίου, εἰς ℞ μίαν ϝο ⊂″.

20. DE LA MIGRAINE.

1 Quand on commence à traiter l'hémicranie (*migraine*), on doit examiner d'abord si le malade a besoin d'être purgé ou saigné; ensuite, passant aux remèdes qui s'appliquent sur la tête elle-même, on réchauffe, avant l'heure de l'accès, la moitié du front, en frottant avec les doigts de la main et avec des linges de coton; après les accès, on emploie les médicaments appelés *hémicraniques* (c'est-à-dire *qui agissent spécialement contre la migraine*); et, quand le malade ressent une grande chaleur au moment où il a ses douleurs, on se sert de ceux qui ont quelque chose de refroidissant; si ce symptôme manque, on a recours à ceux qui échauffent suffisamment; mais, dans les deux cas, on ajoute à ces médicaments quelque ingrédient renforçant, doué, bien entendu, de
2 propriétés astringentes. On soulage aussi les gens affectés de migraine en faisant dans l'oreille une injection d'huile tiède, dans laquelle on a mis un peu d'euphorbe, une demi-once par livre

Ch. 20; l. 1. τις om. BP. — Ib. ἐπιχειρῶν BP. — Ib. ἡμικρανίαν Gal.; ἡμικραίραν A; ἡμικραίνας BFP. — 2. ὁποτέρας ex em.; ὁποίας Codd. — 5. προσώπου A. — Ib. παροξυσμῶν BP. — 7. μέν Gal.; δέ Codd. — Ib. αἰσθομένοις BF; αἰσθανομένοις P; αἰσθανόμενος Gal. — 8. θερμ. *ad Eun.* Gal.; ἐκθερμ. Codd. — Ib. μεμίχθαι BP. — 9-10. ποιότητα... ἐγχεόμενον om. BP.

κα'. Πρὸς σεισοκεφάλους. Ἐκ τῶν Διοσκορίδου.

Στοιχάδα βοτάνην διὰ ὕδατος ἢ ὑδρομέλιτος δίδου πίνειν, καὶ 1
ἀπαλλάσσονται.

κε'. Πρὸς σειριῶντα παιδία. Τοῦ αὐτοῦ.

Κατὰ τοῦ βρέγματος ἐπιτιθέναι χρὴ ἡλιοτροπίου τοῦ σκορπιούρου 1
καλουμένου φύλλα, κολοκύνθης ξέσματα, σικύου πέπονος τὸ περι-
5 κείμενον τῇ σαρκὶ δέρμα, σπύχνου κηπαίου τῶν φύλλων τὸν χυλὸν
μετὰ ῥοδίνου.

κγ'. Περὶ ἀλωπεκίας καὶ ὀφιάσεως.

Διὰ μοχθηρίαν ὑγρῶν ἀλωπεκίαι συνίστανται καὶ ὀφιάσεις. — 1
Ὁποία δέ ἐστιν ἡ μοχθηρία τῶν ὑγρῶν διὰ τῆς χρόας τοῦ τῆς κεφαλῆς 2
δέρματος γνώσῃ, καὶ δώσεις καθαρτήριον τοῦ πλεονάζοντος χυμοῦ

21. REMÈDES POUR LES GENS QUI BRANLENT LA TÊTE. — TIRÉ DE DIOSCORIDE.

Donnez-leur à boire, dans de l'eau ou de l'hydromel, l'herbe ap- 1
pelée *lavande à toupet*, et ils seront délivrés de leur mal.

22. REMÈDES CONTRE LES CONVULSIONS DES PETITS ENFANTS. — TIRÉ DU MÊME AUTEUR.

Appliquez sur le sommet de la tête des feuilles de l'espèce d'hélio- 1
trope qu'on appelle *queue de scorpion*, ou des raclures de courges, ou la membrane qui entoure la chair des pastèques, ou du suc de feuilles de morelle cultivée avec l'huile aux roses.

23. DE L'ALOPÉCIE ET DE L'OPHIÀSIS.

L'alopécie et l'ophiasis proviennent de la mauvaise qualité des hu- 1
meurs. Or vous reconnaîtrez à la couleur de la peau de la tête de quelle 2
nature est cette mauvaise qualité des humeurs, et vous donnerez un purgatif capable d'évacuer l'humeur surabondante, en prenant cette

CH. 21; l. 1. βοτάνην om. BP. — CH. 22; l. 3-4. τοῦ... καλουμένου om. BP. — 5. τῇ om. BP. — Ib. τὰ φύλλα BP. — CH. 23; l. 7-p. 431, l. 10. Διὰ μοχθηρίαν..... ἀλωπεκίας καὶ ὀφιάσεις om. BP.

3 κενωτικὸν, ἐκ τῆς χρόας τὸν πλεονάζοντα τεκμαιρόμενος. Ἐγὼ δὲ
ἀεὶ διὰ τῆς ἱερᾶς καθαίρω, προσβάλλων ἐνίοτε μὲν ἐλλεβόρου μέ-
λανος, εἰ μελαγχολικώτερον δέοι κενῶσαι χυμόν· ἐνίοτε δὲ σκαμ-
4 μωνίας, εἰ πικρόχολον· εἰ δὲ φλεγματικὸν, οὐδὲν ἔμιξα. Μετὰ δὲ
τὴν τοῦ ὅλου σώματος κάθαρσιν ἀποφλεγματισμὸν παραληπτέον, 5
εἶτα οὕτω χρῆσθαι τοπικοῖς βοηθήμασι, τουτέστι τοῖς διαφοροῦσι
μετρίως, οἷόν ἐστι τὸ εὐφόρβιον καὶ ἡ θαψία κηρωτῇ μιγνύμενα.
5 Ξυρᾷν δὲ δεῖ τὰς τρίχας καὶ ἀνατρίβειν ὀθόνῃ τὸ πεπονθὸς δέρμα
καὶ οὕτω σκεπάζειν τῷ φαρμάκῳ, ἐκ τῆς τρίψεως ἐρεύθους ἐπιγενο-
6 μένου. Ὅσα ἁπλᾶ πρὸς ἀλωπεκίας καὶ ὀφιάσεις, εὐφόρβιον μὲν 10
πάνυ θερμὸν, ἧττον δὲ αὐτοῦ θαψία, εἶτα νᾶπυ καὶ κάρδαμον καὶ
ἀδάρκη, τούτων ἐφεξῆς σπρούθιον καὶ ὁ τοῦ νίτρου ἀφρὸς, καὶ τὸ
βερενίκειον, καὶ ἐλλέβοροι ἀμφότεροι, καὶ τὸ δάφνινον ἔλαιον, καὶ
τὰ ἀλκυόνια, καὶ αἱ ῥίζαι τοῦ καλάμου καὶ ὁ φλοιὸς καυθέντα ἄμφω,

3 couleur pour signe de celle qui prédomine. Je me sers toujours du
médicament sacré pour purger; quelquefois j'y ajoute de l'ellébore
noir, lorsqu'il faut évacuer une humeur plus ou moins atrabilaire;
d'autres fois j'y mets de la scammonée, quand il s'agit d'une humeur
de la nature de la bile amère; mais, quand il s'agit de la pituite, je
4 n'ajoute rien du tout. Après la purgation de tout le corps, employez
un apophlegmatisme, et passez ensuite à l'usage des médicaments lo-
caux, c'est-à-dire à ceux qui dissipent modérément, comme l'euphorbe
5 et la thapsie avec du cérat. Il faut raser la tête et frotter la peau malade
avec un linge, pour la recouvrir ensuite du médicament, quand cette
6 friction a produit de la rougeur. Parmi les médicaments simples qui con-
viennent contre l'alopécie et l'ophiasis, l'euphorbe est tout à fait chaud,
la thapsie l'est moins que lui, et ensuite viennent la moutarde, le cresson
d'Alep, l'adarcé, puis la saponaire, l'écume de soude, la soude brute de
Bérénice, les deux espèces d'ellébore, l'huile aux baies de laurier, les
diverses espèces d'alcyonium, les racines et l'écorce de roseau odorant,
brûlées l'une aussi bien que les autres, le goudron, la résine de cèdre

6. τουτέστι om. A. — 9-10. ἐπιγεν. ex em.; ἐπιγιν. Codd. — 10. Ὅσα | Hic novum inchoat caput A. — 12. τοῦ νίτρου ὁ ἀφ. A. — 13. βερενίκειον ex em.; βερενίκιον Codd.; βερενικάριον Gal. — Ib. τό om. BP.

καὶ ἡ ὑγρὰ πίτυα καὶ ἡ κεδρία ἄρκτου τε σύεαρ. Τούτοις κέχρησο, 7
τοῖς μὲν ἰσχυροῖς κηρωτὴν μιγνύς, τὰ δὲ ἀσθενῆ δαφνίνῳ ἐλαίῳ.

κδ'. Περὶ ῥεουσῶν τριχῶν.

Οὔτε ἐπειράθην, οὔτε ἐπινοῶ κρεῖττον ἔσεσθαι φάρμακον ἐπὶ 1
ῥεουσῶν τριχῶν τοῦ μιχθέντος ἔκ τε τοῦ λαδάνου καὶ τοῦ σχινίνου·
εἰ δὲ πολλὴ ῥύσις εἴη διὰ ἀραιότητα τοῦ δέρματος μεγάλην, οὐκ ἀνε-
πιτήδειον πρὸς τὰ παρόντα καὶ μυρσίνινον ἀντὶ σχινίνου μίγνυσθαι
τῷ λαδάνῳ. Πρόδηλον δὲ ὅτι προηγεῖσθαι δεῖ τρίψιν τε τῆς κεφαλῆς 2
καὶ τῶν πολλῶν τριχῶν ἀφαίρεσιν. Ἐκ νόσου δὲ ῥεουσῶν τῶν τρι- 3
χῶν τῆς ἀναλητικῆς διαίτης ἐστὶ χρεία. Λωτὸς δὲ τὸ δένδρον 4
ῥεούσας τρίχας ἐπέχει. Καὶ ἀβροτόνου ἡ τέφρα μετά τινος τῶν 5
ἐλαίων βραδέως ἀνιόντα γένεια προκαλεῖται. Τὴν δὲ χωρὶς νόσου 6

et la graisse d'ours. Employez ces médicaments en ajoutant du cérat 7
pour ceux qui sont actifs, et de l'huile aux baies de laurier pour les faibles.

24. DE LA CHUTE DES CHEVEUX.

L'expérience ne m'a pas enseigné de meilleur médicament contre la 1
chute des cheveux, et je ne m'imagine pas non plus qu'il puisse en exister de meilleur, qu'un mélange de ladanum et d'huile au lentisque; s'il tombe beaucoup de cheveux à cause d'une grande raréfaction de la peau, il n'est pas sans utilité, dans ce cas spécial, de remplacer l'huile de lentisque par l'huile aux feuilles de myrte, pour l'ajouter au ladanum. Il est clair qu'avant d'appliquer ce médicament on doit frotter la 2
tête et enlever la plupart des cheveux. Quand les cheveux tombent par 3
suite d'une maladie, on a besoin d'un régime restaurant. L'arbre ap- 4
pelé lotus arrête la chute des cheveux. La cendre d'aurone, combinée 5
à une huile quelconque, active la croissance de la barbe qui pousse lentement. La chute des cheveux qui ne tient pas à une maladie est 6

1. καὶ ἡ κεδρία om. BP. — Ib. ἄρκτου Gal.; ἄρκου Codd. — Ib. τε Gal.; om. Codd. — 2. κηρωτήν Gal.; κηρωτῇ ABP; κηρωτή F. — Ch. 24; l. 3. ἐπινοῶ Gal. Aët.; νοῶ A; ἐπινῶ F; ἐπὶ νῶ BP. — Ib. κρεῖσσον A. — 7. τοῦ λαδάνου BP. — 8-9. Ἐκ νόσου..... τῶν ex em.; Τῶν δὲ ἐκ νόσου ῥεουσῶν Codd. — 10. τὰς τρίχας BP. — 11. προσκαλεῖται ABP.

ῥύσιν ἰᾶται κράμβη ξηρὰ λεία μετὰ ὕδατος καταπλασσομένη, ἢ λωτοῦ
7 ῥίζα ὁμοίως. — Πρὸς τὸ μὴ ἀπορρεῖν τρίχας, ὃ ἐπαινεῖ ὁ Γαληνὸς,
λάδανον ἀποβρέχων ἐν οἴνῳ λέαινε ἐναλλὰξ παρεπιχέων μυρσίνινον ἔλαιον καὶ οἶνον ὡς μέλιτος ἔχειν πάχος, καὶ χρίε τὴν κεφαλὴν
8 πρὸ βαλανείου καὶ μετὰ βαλανεῖον. Βέλτιον δέ ἐστι καὶ ἀδιάντου τὸ 5
ἥμισυ μέρος τοῦ λαδάνου προσβάλλειν καὶ χρῆσθαι μετὰ τοῦ μυρ-
9 σινίνου ἢ μετὰ ναρδίνου. Ἐκ πυρικαύτου τρίχας φῦσαι· συκῆς φύλλα
10 λειοτριβηθέντα κατάπλασον τὸν τόπον. Πρὸς δὲ τὰς ἐκ τῶν ὀφρύων
τρίχας κεδρίαν καύσας τῇ αἰθάλῃ κατάχριε.

κε'. Ὅσα λεπτυντικά ἐστι τριχῶν.

1-2 Κριθαὶ, κύαμοι, ὄροβοι, ἀφρόνιτρον, νίτρον. Τὰ δὲ σφοδρότερα 10
τάδε· τῶν κεραμίδων τὰ ὄστρακα καὶ τὰ τοῦ κριβάνου, κίσηρις
ἄκανθος, ἀλκυόνια, ἐλλέβοροι, βρυωνίας ῥίζα, καὶ ἡ τοῦ δρακον-

guérie par du chou sec trituré, quand on l'emploie comme cataplasme
7 avec de l'eau; il en est de même de la racine de *lotus*. — Médicament que
Galien préconise pour empêcher la chute des cheveux : Triturez du ladanum en le macérant dans du vin, et ajoutez tour à tour de l'huile aux feuilles de myrte et du vin jusqu'à ce que le mélange ait acquis la consistance du miel, et employez-le comme liniment pour la tête, aussi
8 bien avant qu'après le bain. Il est préférable d'ajouter aussi du capillaire en quantité moitié moindre que le ladanum, et d'administrer le médicament avec de l'huile aux feuilles de myrte ou de l'huile au nard.
9 Moyen de faire pousser des poils sur les cicatrices des brûlures : Appliquez sur l'endroit dont il s'agit un cataplasme de feuilles de figuier
10 triturées. Contre les poils des sourcils on brûle de la résine de cèdre, et on emploie la suie comme liniment.

25. REMÈDES QUI AMINCISSENT LES CHEVEUX.

1 De l'orge, des fèves, de l'ers, de l'aphronitron, de la soude brute.
2 Les remèdes suivants agissent plus efficacement dans le même sens : les tessons de poterie et ceux des petits fours, la pierre ponce non brûlée, les diverses espèces d'alcyonium, les deux espèces d'ellébore, la racine

4-5. μέλιτος.... βαλανεῖον om. BP. — 8. κατάπλασσε A.

τίου, καὶ ἀριστολοχία, καὶ κάχρυ. Εὐώδη δὲ αὐτὰ ποιῆσαι βουλό- 3
μενος μίξεις κυπέρου καὶ μελιλώτου καὶ ῥόδων ξηρῶν καὶ σχοίνου
ἄνθους, ἴρεώς τε καὶ στάχυος, νάρδου τῆς τε ἰνδικῆς καὶ τῆς κελτι-
κῆς, καὶ μαλαβάθρου φύλλου καὶ ἀμώμου καὶ κόστου.

κς'. Περὶ πιτυριάσεως.

5 Ἡ πιτυρίασις διὰ μοχθηροὺς γίνεται χυμούς· πρόδηλον οὖν ὅτι 1
διαφορητικά τε καὶ ῥυπτικὰ προσακτέον ἐστὶ φάρμακα. Πιτύρων 2
χοίνικος τὸ ἥμισυ βρέξας ἐν ὕδατος κοτύλαις δύο, μετὰ δὲ ταῦτα
τρίψας καὶ διηθήσας τὸν χυλὸν ἕψησον μετὰ ὄξους ἡμικοτυλίου μέ-
χρις οὗ γλοιοῦ πάχος λάβῃ, καὶ τούτῳ τὴν κεφαλὴν ἀπόσμα, εἶτα
10 κλύζε ὕδατι σεύτλου ἐναφηψημένου, ἢ τήλεως, ἢ θέρμων· χρί- 3
σματι δὲ χρῶ ἰρίνου μύρου ὑποστάθμῃ. Τοῦτο τὸ φάρμακον διαφο- 3
ρητικόν ἐστιν ἀδήκτως. Πρὸς δὲ τὰς χρονιζούσας πιτυριάσεις χαλ- 4

de couleuvrée et celle de serpentaire, l'aristoloche et l'armarinte. Si on 3
veut donner une bonne odeur à ces médicaments, on y ajoute du souchet, du mélilot, des roses sèches, du jonc odorant, de l'iris, de l'épi de nard, que ce soit du nard de l'Inde ou du nard celtique, des feuilles de fausse cannelle, de l'*amome* ou du costus.

26. DE LA PITYRIASIS.

La pityriasis provient d'humeurs mauvaises; il est donc clair qu'il 1
faut y appliquer des médicaments qui dissipent et détergent. Macérez 2
une demi-chénice de son dans deux cotyles d'eau; triturez, passez le suc au tamis, et faites-le bouillir dans un demi-cotyle de vinaigre, jusqu'à ce qu'il prenne la consistance de la crasse des baignoires; détergez la tête avec cette préparation et lavez-la ensuite avec de l'eau dans laquelle on a fait bouillir de la bette, du fenugrec ou des lupins; comme liniment, employez le sédiment de l'huile parfumée à l'iris. Ce médi- 3
cament dissipe sans causer des mordications. Contre la pityriasis chro- 4

4. φύλλου Gal.; φύλλων A; φύλλα BFP. — Ch. 26; l. 5. Ἡ om. BP. — 6. προσαπλέον A. — 7. σχοίνικος BP. — Ib. ὕδατι ABP. — Ib. κοτύλας δύο P. — Ib. ταύτας BP. — 8. μετά] διὰ BP. — 9. γλοιοῦ Gal.; οἴνου Codd. — 10-11. χρίσμασι BFP. — 12. Π. δὲ τ. χρονίας A; Π. δὲ τ. χρονίσας BP.

κάνθου, θείου ἀπύρου, ἀφρονίτρου, τὸ ἴσον οἴνῳ ἀναλύσας ἀναλάμβανε ἐλαίῳ σχινίνῳ, καὶ ποιήσας γλοιοῦ πάχος ὑπάλειφε τὰς τρίχας.

κζ'. Πρὸς φθειριάσεις.

1 Σταφίδος ἀγρίας μέρη δύο, σανδαράκης καὶ νίτρου ἀνὰ μέρος ἕν· σὺν ὄξει καὶ ἐλαίῳ ἄλειφε τὴν κεφαλήν.

κη'. Πρὸς ἀχώρας καὶ κηρία.

1 Ἐν τῷ δέρματι τῆς κεφαλῆς ταῦτα συνίσταται λεπτοῖς τρήμασι κατατετρημένα νοτίδα λεπτὴν καὶ ἁλμυρὰν ἔχουσιν· τὸ δὲ κηρίον
2 μείζονας ἔχει τὰς κατατρήσεις. Δῆλον οὖν ὅτι κενῶσαι δεῖ τοὺς ἐργαζομένους τὸ πάθος χυμούς· εἰ δὲ ἐπιῤῥέοιεν ἔτι, κωλῦσαι πρό-

nique, prenez des parties égales de vitriol bleu, de soufre brut et d'aphronitron, que vous dissoudrez dans du vin, et que vous incorporerez dans l'huile de lentisque; après avoir donné ainsi à ce mélange l'épaisseur de la crasse des baignoires, vous vous en servirez pour oindre le dessous des cheveux.

27. REMÈDE CONTRE LA PHTHIRIASE.

1 Staphisaigre, deux parties; réalgar et soude brute, de chacun une partie; ajoutez du vinaigre et de l'huile, et faites avec le mélange des onctions sur la tête.

28. REMÈDES CONTRE LES ACHORES ET LES FAVUS.

1 Ces affections se développent sur la tête; les régions qui en sont frappées sont percées de petits trous qui contiennent un liquide ténu et salé; mais les trous du favus sont plus grands que ceux de l'achore.
2 Il est clair qu'il faut évacuer les humeurs qui causent l'affection, et les arrêter dans leur marche si elles affluent encore; à cet effet, on amène

1. ἀναλύσας ex em.; ἀναχύσας Codd. — Ch. 28, l. 6. Ἐν δέ τῷ BP. — 7. κατατιτραμένου BFP. — Ib. ἔχουσι Gal.; ἔχοντι BP; ἔχοντα AF.

τερον τὴν ἐπιῤῥοὴν τῇ τε τῆς κεφαλῆς κενώσει, καὶ πρὸ αὐτῆς ὅλου τοῦ σώματος, ὡς ἐπὶ τῶν ἀλωπεκιῶν εἴρηται· ἁρμόσει δὲ τοπικὰ φάρμακα τὰ τέμνοντα. Ἔνια μὲν οὖν τῶν φαρμάκων τοὺς ἀρχομέ- 3
νους ἀχῶρας ἰᾶται, ὅταν ἀπέριτον ᾖ τὸ ὅλον σῶμα, σλυπτικήν τε
5 καὶ ἀποκρουστικὴν ἔχοντα δύναμιν, οἷά ἐστι μυρσίνη τε καὶ μύρτα καὶ ὁ τῆς πίτυος φλοιὸς, βάτος τε καὶ συκάμινος· ἔνια δὲ ἀπειλὴν μεγάλην ἐχόντων τῶν ἀχώρων ἐνίσταται ταῖς αὐξήσεσιν, ἅμα μὲν ἀποκρουόμενα τὸ ἐπιῤῥέον, ἅμα δὲ καὶ συμπέτοντα καὶ διαφοροῦντα τὸ περιεχόμενον μικτῆς ὄντα δυνάμεως οἷον τό τε μυρσίνινόν
10 ἐστι καὶ τὸ ῥόδινον, σχῖνός τε καὶ κύπερος, καὶ οἱ φακοί· ἔνια δὲ τοῖς ἐπιπολῆς καὶ μικροῖς ἀρήγει μόνοις διαφορητικῆς ὄντα καὶ ῥυπτικῆς δυνάμεως ἄνευ θερμασίας αἰσθητῆς, οἷόν ἐστι τὸ τεῦτλον καὶ ἡ κεκαυμένη κιμωλία· ἄλλα δὲ ἰσχυρότατα ταῖς δυνάμεσίν ἐστιν,

une déplétion de la tête. Seulement, avant de s'occuper de la tête, on fait une évacuation générale de tout le corps, comme il a été dit pour l'alopécie (chap. 23); en fait de topiques, ce sont les médicaments incisifs qui sont les meilleurs. Il y a des médicaments qui guérissent 3
les achores commençants quand le corps est exempt de superfluités; ces médicaments ont des propriétés astringentes et répercussives; c'est à cette classe qu'appartiennent les feuilles et les baies de myrte, l'écorce du pin, la ronce et le mûrier; d'autres empêchent les progrès des achores qui menacent de devenir très-graves, attendu qu'à cause de leurs propriétés mixtes ils repoussent ce qui afflue, en même temps qu'ils dissipent et qu'ils amènent à maturité ce qui est contenu dans la partie malade; on peut ranger dans cette classe l'huile aux feuilles de myrte, l'huile aux roses, le lentisque, le souchet et les lentilles; d'autres médicaments encore ne produisent de l'effet que sur les affections légères et superficielles; ces médicaments ont des propriétés détersives et dissipantes, sans posséder une chaleur appréciable aux sens; on peut citer comme exemple la bette et la terre de cimole brûlée; enfin il y a une quatrième classe de médicaments douée de propriétés

7. ἔχοντα BFP. — Ib. τῶν om. A. — 8. ἀποκρουομένου BP. — 9. μύρσινον Codd. et sic fere semper. — 11. τοῖς... μόνοις Gal.; om. Codd.

ὡς καὶ τοὺς ὑπὸ παχέων καὶ γλίσχρων ὑγρῶν γεγονότας ἀχῶρας δύνασθαι κενοῦν, ὁποῖόν ἐστιν ἅλες καὶ χαλκῖτις, καὶ ἡ κεκαυμένη τρὺξ τοῦ οἴνου καὶ ἡ σανδαράκη καὶ ἡ ἀκατάσβεστος τίτανος καὶ αἱ
4 χολαὶ τῶν θερμῶν καὶ ξηρῶν ζῴων. Ὄξος ἐπιτηδειότατόν ἐστιν ἐν παντὶ καιρῷ πρὸς ἀχῶρας τὸ δριμύτατον· τούτῳ γὰρ δεύων ἄλ- 5
5 λοτε ἄλλο τῶν μεταλλικῶν ἰάσῃ τοὺς ἀχῶρας. Ἐὰν δὲ φλεγμονώδης ἀχὼρ ᾖ, δῆλον ὡς πρότερον τὸ φλεγμονῶδες παύσεις τῷ παρύγρῳ
6 καλουμένῳ φαρμάκῳ. Ἔστι δὲ ἐπιτήδεια καὶ ἁπλᾶ τάδε· μήκωνος ἀγρίας καὶ ὑοσκυάμου τὰ φύλλα τρίψας μετὰ οἴνου κατάπλασσε.
7 Ἢ σκωρίαν σιδήρου καὶ ῥόδων τὸ ἴσον τρίψας μετὰ οἴνου ἐπιτίθει. 10
8 Ἔνιοι δὲ ἀναλαμβάνουσι κηρωτῇ ῥοδίνῃ.

κθ'. Πρὸς τὰ τῆς κεφαλῆς ἑλκύδρια.

1 Μολιβδαίνης καὶ μήκωνος φύλλων τὸ ἴσον τρίψας μετὰ οἴνου

très-actives, de manière à pouvoir chasser aussi les achores qui proviennent d'humeurs épaisses et visqueuses : ce sont le sel, le cuivre pyriteux, la lie de vin brûlée, le réalgar, la chaux non éteinte, la bile des
4 animaux chauds et secs. Le vinaigre très-âcre est un médicament fort approprié à toutes les époques du développement des achores : en effet, vous guérirez cette affection en trempant dans ce liquide tantôt
5 l'un, tantôt l'autre des médicaments appartenant au règne minéral. Si les achores sont enflammés, il est clair qu'il faut d'abord faire cesser
6 cette complication, en employant le médicament dit *parhygrum*. Les médicaments simples suivants conviennent aussi contre ces affections : triturez des feuilles de pavot sauvage et de jusquiame et faites-en un cata-
7 plasme avec du vin. *Autre :* Triturez des quantités égales de scories de
8 fer et de roses et faites-en un cataplasme avec du vin. Quelques-uns emploient le cérat à l'huile aux roses comme excipient pour le dernier médicament.

29. REMÈDES CONTRE LES PETITS ULCÈRES DE LA TÊTE.

1 Triturez avec du vin des quantités égales de galène et de feuilles de

4. ἐστιν om. A. — 8. λεγομένῳ BP. — 9. κατάπλ.] ἐπιτίθει ABF.

ἀναλάμβανε μυρσινίνῳ ἐλαίῳ, ὥστε κηρωτῆς ἔχειν πάχος, καὶ τούτῳ ἐπαλείφων χρῶ. Ἢ καλαμίνθης ἁπαλῆς τὰ φύλλα καὶ ψιμμιθίου τὸ 2
ἴσον τρίψας καὶ διαλύσας κωδυῶν ἀφεψήματι ἀναλάμβανε μυρσινίνῳ ἐλαίῳ, ὡς γλοιοῦ ἔχειν πάχος, καὶ χρῶ πρὸς τὰ ῥηγνύμενα
5 τῶν ψυδρακίων καὶ ἐπώδυνα.

λ'. Πρὸς δυσωδίαν κεφαλῆς.

Βαλάνου μυρεψικῆς ἀποπίεσμα καὶ νάρδον ἴσα τρίβων ἐν τῷ 1
αὐτῷ καὶ πάχος ποιῶν μέλιτος ἄλειφε σμηξάμενος τὴν κεφαλὴν μετὰ οἴνου παλαιοῦ.

λα'. Πρὸς τὰς τῆς ῥινὸς δυσωδίας.

τὴν ὑσΐεραίαν ὁμοίως δὶς, εἶτα τρίψει τῶν κώλων καὶ δεσμοῖς ἐν τῇ πρώτῃ χρησάμενος, εἰς ἐσπέραν δώσεις τὸ διὰ σπερμάτων· ἐν δὲ τῇ δευτέρᾳ μετὰ τὴν ἐπαφαίρεσιν ἐπιθήσεις παντὶ τῷ θώρακι τῆς διὰ τῆς θαψίας κηρωτῆς, εἶτα ἄρας αὐτὴν εἰς ἑσπέραν, ὅπως μὴ θερμανθῇ περαιτέρω τοῦ προσήκοντος, ἐν τῇ τρίτῃ πάλιν ἐπιθεὶς ὥραις που τρισὶ λοῦε τὸν ἄνθρωπον καὶ τρέφε τρισὶν ἐφεξῆς ἡμέραις, ταῖς μὲν πρώταις δύο ἡμέραις ῥοφήμασι, τῇ τρίτῃ δὲ πρὸς τῷ χυλῷ τῆς πΐισάνης δίδου καὶ ἰχθύν τινα τῶν εὐπέπΐων ἁπλῶς ἠρτυμένον. Δίδου δὲ ὁμοίως εἰς ἑσπέραν τοῦ διὰ σπερμάτων φαρμάκου ἔν τε τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν· ὑπνοποιόν τε γάρ ἐσΐι καὶ ἀνώδυνον καὶ ξηραντικόν. Ἤδη οὖν τῶν τε μορίων ἐν εὐκρασίᾳ γενομένων καὶ τῆς φλεγμονῆς παυσαμένης, ἀνακαθαίρειν ἐπιτεταμένως δυνήσῃ, καὶ μετὰ τοῦτο χρήσασθαι τῷ διὰ τῶν ἐχιδνῶν φαρμάκῳ, μετὰ ὃ τῇ τε γαλακτοποσίᾳ καὶ τῇ ἄλλῃ τροφῇ δεόντως ἂν χρήσαιο. Οὕτω μὲν τοὺς κατὰ

jour, frictionnez les membres et appliquez-y des bandages; le soir, donnez le médicament aux graines; le second jour, après la seconde saignée, recouvrez toute la poitrine de cérat à la thapsie; puis enlevez-le le soir, de peur que ce médicament ne s'échauffe plus qu'il ne le faut; le troisième jour, appliquez encore, durant un espace de trois heures, le même médicament; quant à la nourriture qu'on donne durant ces trois jours consécutifs, on s'en tient, les deux premiers, aux bouillies seules, mais, le troisième, on ajoute à la crème d'orge mondé quelque poisson facile à digérer, qu'on sert avec un assaisonnement simple. Donnez également, le soir du deuxième et du troisième jour, le médicament aux graines; car ce médicament provoque au sommeil, apaise les douleurs et dessèche. Quand les parties ont déjà repris leur bon tempérament habituel, et que l'inflammation est apaisée, vous pouvez instituer un traitement expectorant vigoureux, que vous faites suivre de l'administration du médicament aux vipères; après cela, c'est le moment d'en venir au traitement par le lait donné sous forme de boisson et à l'administration des autres substances nutritives. Voilà comment vous guérirez les ma-

2. σπέρματος BP. — 3. τὴν om. BP. — 3-4. τῇ..... κηρωτῇ BP. — 5. ἐπὶ τὴν τριτην BP. — 6-7 ταῖς..... ἡμέραις e Gal. et Aët; om. Codd. — 10. τε om. BP. — Ib. ξηρόν BFP. — 14-p. 465, l. 1. Οὕτω..... ἰάσαιο ἄν om. BP.

αὐτὴν τὴν πρώτην ἡμέραν ἑαυτοὺς ἐγχειρίσαντας ἰάσαιο ἄν· οὐ μὴν
τούς γε μετὰ δύο ἢ τρεῖς ἡμέρας ἅπαντας, ἀλλὰ ἐνίοτε αὐτῶν τινες
7 ἀνίατον ἔσχον τὸ ἕλκος. Χαλεπωτέραν δὲ ἔχει τὴν ἴασιν τὰ ἐν τῷ
πνεύμονι συνιστάμενα τῶν ἑλκῶν, καὶ χρὴ παραχρῆμα τέμνειν τὴν
ἐν ἀγκῶνι φλέβα τὴν ἔνδον, ἐπαφαιρεῖν τε δίς που ἢ καὶ τρὶς, τρί- 5
βειν δὲ καὶ διαλαμβάνειν ὅλα τὰ κῶλα δεσμοῖς· ἐπειδὰν δὲ ταῦτα
πραχθῇ, πρῶτον μὲν ὀξύκρατον ὑδαρές τε καὶ χλιαρὸν διδόναι πί-
νειν, ὅπως, εἴ τις εἴη θρόμβος ἐν τῷ σπλάγχνῳ, διαλυθεὶς ἐκβληθείη,
καὶ τοῦτο οὐδὲν κωλύει καὶ δὶς καὶ τρὶς ἐργάσασθαι· μετὰ δὲ ταῦτα
διδόναι τῶν ἐμπλατύντων τε ἅμα καὶ συφόντων φαρμάκων, ἤτοι 10
διὰ ὑδαροῦς ὀξυκράτου τὴν πρώτην, ἢ διὰ ἀφεψήματος μήλων ἢ
μύρτων ἤ τινος ἄλλου τῶν συπτικῶν, εἰς ἑσπέραν τε πάλιν ὁμοίως
8 διδόναι τὸ φάρμακον, εἴργοντα πάσης τροφῆς. Κάλλιστον δὲ καὶ τῇ

lades qui se confient à votre direction dès le premier jour; mais vous ne guérirez pas tous ceux qui ne réclament vos soins que le deuxième ou le troisième jour; parfois, au contraire, quelques-uns de ces malades
7 auront un ulcère incurable [au poumon]. Les ulcères qui se forment au poumon sont plus difficiles à guérir que les affections dont nous avons parlé jusqu'ici; on fait donc immédiatement une saignée à la veine interne du pli du bras, et on revient à cette opération pour la deuxième ou même pour la troisième fois; on frotte les membres et on les lie avec des bandes dans toute leur étendue; puis on donne d'abord à boire de l'eau vinaigrée tiède qui contienne peu de vinaigre, pour dissoudre et faire rejeter les caillots qui pourraient s'être formés dans le viscère, et rien n'empêche de revenir, pour la deuxième ou la troisième fois, à l'administration de cette eau vinaigrée; après cela, on donne des médicaments qui ont à la fois la propriété de resserrer et de boucher les conduits, et on les administre le premier jour, soit dans de l'eau légèrement vinaigrée, soit dans une décoction de pommes, de baies de myrte ou de quelque autre substance astringente; le soir, on prescrit de nouveau, de la même manière, le médicament, et on interdit complétement
8 l'usage des aliments. Ce qu'on peut faire de mieux, c'est de répéter le

1. ἰάσαιο ἄν ex em.: ἰάσαιο AF. — — Ib. τε] δέ A. — 6. τε καί ABP. — 4. παραυτίκα A. — 5. τὴν ἔνδον om. A. 7. καί om. BP. — 10. καὶ τῶν συφ. F.

ὑστεραίᾳ ἐπαφαιρεῖν αὖθις ὀλίγον, καὶ τροφαῖς καὶ φαρμάκοις ὁμοίως χρῆσθαι μέχρι τετάρτης ἡμέρας, καὶ βρέχοντα κύκλῳ τὸν θώρακα, θέρους μὲν μηλίνῳ καὶ ῥοδίνῳ, χειμῶνος δὲ ναρδίνῳ. Χρῶ δὲ κατὰ 9
αὐτοῦ καὶ τοῖς ἐμπλαστοῖς φαρμάκοις, οἷά ἐστι τὰ διὰ ἀσφάλτου
5 καὶ ὄξους. Μόνοι δὲ ἀνιάτως μοι δοκοῦσιν ἔχειν οἱ διὰ κακοχυμίαν 10
ἀναβρωθέντες.

β'. Περὶ ἀναγωγῆς αἵματος. Ἐκ τῶν Γαληνοῦ.

Ὁ πρῶτος κίνδυνός ἐστι τῆς τοῦ αἵματος ἀναγωγῆς κατὰ αὐτὴν 1
τὴν ἄμετρον κένωσιν· βοηθεῖν οὖν ἐκ τοῦ παραυτίκα τοῖς πάσχουσι
δυνήσῃ διὰ τῶν ὑπογεγραμμένων· τὴν γὰρ ὅλην διάθεσιν ἰατρῶν
10 ἔργον ἰάσασθαι. Ἀνδράχνη ἐσθιομένη ποιεῖ· δραστικώτερος δὲ ὁ
χυλὸς αὐτῆς πινόμενος· βαλαύστιον, βάτου ὁ καρπὸς καὶ τὸ ἄνθος, 2

second jour la saignée, qui, cette fois, sera petite, d'observer jusqu'au quatrième jour les mêmes règles par rapport aux aliments et aux médicaments, en faisant sur tout le pourtour de la poitrine des embrocations, en été, d'huile aux coings ou d'huile aux roses, et, en hiver, d'huile au nard. On applique aussi sur la poitrine des médicaments em- 9
plastiques, par exemple celui qui contient du bitume de Judée et du vinaigre. Les seuls malades que je considère comme incurables sont 10
ceux qui ont une érosion [des vaisseaux du poumon] causée par la mauvaise qualité des humeurs.

2. DU CRACHEMENT DE SANG. — TIRÉ DE GALIEN.

Le danger le plus pressant qu'amène le crachement de sang consiste 1
dans la quantité excessive de l'écoulement; vous pourrez donc, dans les premiers instants, prêter secours aux malades à l'aide des médicaments que nous allons énumérer ci-dessous; mais c'est l'affaire des médecins d'entreprendre la guérison complète de cette maladie. Le pourpier est 2
efficace quand on le mange; toutefois le suc de cette plante est plus actif pris en boisson; les fleurs de grenadier sauvage, ainsi que le fruit

3. καί om. BP. — Ib. ναρδίνῳ Gal.; νάρδῳ Codd. — 4. ἐμπλαστικοῖς φαρ. BFP. — Cu. 2; tit. Ἐκ τῶν Γαληνοῦ Vers. antiq.; om. Codd. gr. — 8. εὔμετρον BP. — 10. θεάσασθαι BP. — Ib. ἐθισμένη BP.

δρυὸς τὸ ὑμενῶδες τὸ ὑπὸ τῷ φλοιῷ τοῦ πρέμνου, καὶ τὸ ὑπὸ τῷ
κελύφει τῆς βαλάνου· μάλιστα δὲ ἕψοντες αὐτῷ χρῶνται· φηγοῦ
3 δὲ καὶ πρίνου δραστικώτερα. Ἀλθαίας τῆς ῥίζης ἀφέψημα· ἡδύο-
σμον πρὸς τὰς προσφάτους· κενταυρίου τοῦ μεγάλου ∠β' διδόμεναι
τοῖς μὲν πυρέσσουσι μετὰ ὕδατος, τοῖς δὲ ἀπυρέτοις μετὰ οἴνου· 5
4 ῥῆον, σχίνου τῶν φύλλων ὁ χυλός. Σάμιος ἀστὴρ πρὸς πᾶσαν ὁμοίως
5 καὶ λημνία σφραγίς. Πρὸς δὲ αἵματος θρομβώσεις ποιεῖ πυτία πο-
6 θεῖσα, καὶ μάλιστα ἡ λαγῴα. Διαχεῖ δὲ θρόμβους καὶ ἡ συκίνη
κονία μετὰ ὕδατος ποθεῖσα, καὶ θύμος ἢ θύμβρα μετὰ ὄξους.

γ'. Περὶ ἐμπύων. Ἐκ τῶν Γαληνοῦ.

1 Ἐμπύους καλοῦσι τοὺς κατὰ θώρακα καὶ πνεύμονα πύον ἀθρόον 10

et la fleur de la ronce [agissent contre le crachement de sang]; la partie membraneuse qu'on trouve sous l'écorce du tronc du chêne et celle qui est placée sous la pelure du gland [ont les mêmes propriétés]; on les emploie surtout bouillies; mais ces parties ont encore plus d'efficacité
3 quand on les prend sur le chêne à glands doux ou sur l'yeuse. *Autres :* Décoction de racine de guimauve; menthe, contre les crachements de sang récents; deux drachmes de grande centaurée, pourvu qu'on les donne dans de l'eau quand il y a de la fièvre, et dans du vin quand il
4 n'y en a pas; rhapontic et suc de feuilles de lentisque. La terre étoilée de Samos convient également contre toutes les espèces de crachement
5 de sang, et il en est de même de la terre sigillaire de Lemnos. Boire de la présure est bon pour combattre la formation des caillots, surtout si
6 on emploie de la présure de lièvre. Les cendres de bois de figuier dissipent les caillots, si on en boit avec de l'eau; il en est de même du *thym* et du *thymbre*, si on en prend avec du vinaigre.

3. DE LA SUPPURATION DE LA POITRINE. — TIRÉ DE GALIEN.

1 On appelle *suppurés* (empyématiques) ceux qui ont une grande quan-

1. τὸ ὑπὸ τῷ... πρέμνου om. AF. — Ib. τό *ad Eun.* Gal.; καὶ τῷ BP. — Ib. ὑπὸ τῷ φλοιῷ *ad Eun.*; ὑπὸ φλ. BP. — 1-2 καὶ τὸ... τῆς om. BP. — 2. βαλάνου om. BP. — 3. δέ om. BFP. — 5. μέν om. BP. — 6. ὁ χυλός *ad Eun.*; Gal.; ὁ φλοιός Codd. — 7-8. πυτία ποθ. ex em.; πιτύα ποθ. AF. πιτ. ποιεῖ ποθ. BP. — 8. δὲ καὶ θρ. BP; om. A. — 8-9. καὶ ἡ ..... ποθ. om. A.

ἔχοντας· περιέχεται δὲ μετὰ τὴν ῥῆξιν ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος χώρᾳ τὸ πύον, ὅ περ εἰ μὴ διὰ ταχέων ἀναπλυσθείη, φθινώδεις ἀποτελοῦνται· πυρέτλουσι δὲ ἀεὶ λεπλῶς ἑκτικὸν πυρετόν. Ῥήγνυται δὲ τὸ πύον, τὸ μὲν ἄνω, τὸ δὲ κάτω· καὶ τῶν κάτω τὸ μὲν εἰς κοιλίαν καὶ ἔντερα μεταλαμβάνεται, τὸ δὲ εἰς κύσλιν τῆς μεταλήψεως διὰ ἀγγείων τινῶν γινομένης· ὅσα δὲ ἄνω ῥήγνυται, κινδυνωδέσλερά ἐσλιν. Δεῖ δὲ πρῶτον μὲν τῇ πέψει τοῦ ἐμπυήματος συνεργεῖν διά τε σπύγγων πυριῶντας καὶ καταπλάσματα προσάγοντας ἐξ ἀλεύρων κριθῆς, προσμιγνυμένων καὶ ἰσχάδων ἑφθῶν, ὀλίγου δὲ καὶ ῥητίνης καὶ περισλερᾶς κόπρου καὶ νίτρου καὶ ἐβίσκου· ταῦτα γὰρ λεπλύνει καὶ διαφορεῖ. Συνεργεῖ δὲ τῇ ῥήξει καὶ ἡ ἐπὶ τὸ ἀπαθὲς πλευρὸν κατάκλισις. Καταῤῥοφείτωσαν δὲ ἐκ διασλημάτων μελίκρατον καὶ χυλὸν πλισάνης μετὰ μέλιτος· οἱ δὲ εὐτονώτεροι προποτιζέσθωσαν ὕσσωπον ἢ θύμον. Συνεργεῖ δὲ πρὸς τὴν ῥῆξιν καὶ ταριχοφαγία,

tité de pus dans la poitrine et dans le poumon; après la rupture de la collection, ce pus est contenu dans l'espace qui existe entre les parois de la poitrine et le poumon; s'il n'est pas rapidement rejeté par les crachats, les malades deviennent phthisiques, et ils ont toujours une petite fièvre hectique. Le pus se fraye une route ou par le haut ou par le bas; 2
si c'est par le bas, il est transporté ou dans l'estomac et les intestins, ou dans la vessie, transport qui a lieu par certains vaisseaux; les ruptures qui ont lieu par le haut sont plus dangereuses que les autres. On favo- 3
rise d'abord la rupture de la collection par des fomentations avec une éponge, par des cataplasmes de farine d'orge dans lesquels on met des figues sèches bouillies, ainsi qu'un peu de résine, d'excréments de pigeon, de soude brute et de guimauve; ces médicaments atténuent et dissipent. C'est encore un moyen de favoriser la rupture de la collection 4
que de coucher sur le côté sain. Les malades avaleront de temps en 5
temps de l'eau miellée ou de la crème d'orge mondé contenant du miel; ceux qui sont plus robustes boiront avant le repas de l'*hysope* ou du *thym*. D'autres moyens pour favoriser la rupture de la collection con- 6

1. τὴν om. BP. — 5. καὶ ἔντερον BFP. — 7. ἐκπυήματος BP. — 9. ὀλίγου δὲ καί e conj.; ὀλίγον δὲ καί A; ὀλίγου δέ BFP. — 11. ἀπαθὲς πλευρὸν] ἀληθὲς λευκόν BP. — 13. ποτιζέσθωσαν BP.

καὶ τῆς διὰ κολοκυνθίδος ἱερᾶς καταπότια πρὸς κοίτην λαμβανό-
7 μενα. Ἀρξαμένου δὲ ἐκκρίνεσθαι τοῦ πύου δίδοναι ὕσσωπον ἐν με-
λικράτῳ ἑψηθὲν, καὶ καταπλάττειν γῦριν ἐν μελικράτῳ καὶ ἐλαίῳ
8 ἑψηθεῖσαν. Δυσανακαθάρτου δὲ τῆς ἑλκώσεως οὔσης μελικράτῳ συν-
εχέστερον χρηστέον, ἐνηψημένων δυοῖν ἢ τριῶν ἀστραγάλων ἴρεως.
9 Χρήσιμος δὲ καὶ τῆς γλυκείας ῥίζης ὁ χυλὸς λεαινόμενός τε καὶ ση-
σάμῳ συμπλεκόμενος.

δ'. Περὶ φθίσεως. Ἐκ τῶν Γαληνοῦ.

1 Φθίσις ἐστὶν ἕλκος ἐν πνεύμονι· γίνεται δὲ ἐπί τε τοῖς ἐμπύοις
καὶ τοῖς ῥευματικοῖς χρονίζουσι, καὶ ἐπὶ ταῖς τοῦ αἵματος πτύσεσιν,
ὅταν τῆς αἱμοῤῥαγίας ἐπισχεθείσης μήτε κολληθῇ τὸ ἕλκος, μήτε
2 εἰς οὐλὴν ἔλθῃ. Θεραπεύειν δὲ χρὴ πρὸς τὸ εὐανάγωγα ταῖς βηξὶ
3 γίνεσθαι τὰ παρακείμενα, καὶ ἕτερα μὴ ἐπισυλλέγεσθαι. Κεφαλω-

sistent à manger du poisson salé et à prendre, avant de se coucher, du
7 purgatif sacré à la coloquinte. Quand le pus commence à être rejeté, on
donne de l'*hysope* bouilli dans de l'eau miellée et on applique un cata-
plasme de farine de froment de qualité supérieure bouillie dans de l'eau
8 miellée et de l'huile. Quand l'ulcère se mondifie difficilement par l'ex-
pectoration, on use assez fréquemment d'eau miellée dans laquelle on a
9 fait bouillir deux ou trois tubercules d'iris. C'est aussi un bon remède
dans ce cas que le suc de réglisse trituré et combiné avec du sésame.

4. DE LA PHTHISIE. — TIRÉ DE GALIEN.

1 La phthisie est un ulcère du poumon; c'est une conséquence de la
suppuration ou des fluxions chroniques [de la poitrine], ainsi que des
crachements de sang, dans les cas où l'écoulement sanguin a été arrêté
2 sans que l'ulcère ait été recollé ou cicatrisé. Le but qu'on se propose
d'atteindre en traitant la phthisie consiste à faire que les liquides qui
existent déjà dans le poumon se prêtent facilement à être rejetés par les
3 crachats et qu'il ne se forme pas de nouvelle collection. C'est donc un

3. ἑψηθὲν... μελικράτῳ om. BP. — Ib. ἑψηθέντα F. — 5. ἐν ἡψημένων BP. — Ib. δύο ἢ καὶ τριῶν A. — Ch. 4; tit. Ἐκ τῶν Γαληνοῦ Vers. antiq.; om. Codd. gr.

τὸν οὖν ἁρμόσει πράσον ἐν πτισάνῃ συντακὲν, ἤδη δὲ καὶ ἑτέροις ῥοφήμασι συνεψηθὲν ἢ πόλτοις. Καὶ κατὰ ἑαυτὸ δὲ δὶς ἡψημένον 4
λαμβανέσθω. Τὸ δὲ πινόμενον ὕδωρ ὄμβριον ἔστω, καὶ ἐπὶ ἱκανὸν 5
καθηψημένον. Καταπλάσματα δὲ παραληπτέον ἐν ταῖς ἀρχαῖς τῶν 6
ἀνέσεων τὰ διὰ λινοσπέρμου καὶ γύρεως διὰ ἀφεψήματος τήλεως ἢ μαλάχης, ἐλαίου τε καὶ μέλιτος. Παραμιγνύσθω δὲ αὐτοῖς καὶ τὰ τῆς 7
ἀληθαίας φύλλα. Χρόνου δὲ παρελθόντος ἐπὶ τὰς κηρωτὰς μεταβα- 8
τέον τὰς διὰ βουτύρου καὶ δαφνίνου καὶ κυπρίνου καὶ ἴρεως· μετὰ δὲ ταῦτα μαλάγματι χρηστέον, τὸ μὲν πρῶτον τῷ διὰ τεσσάρων ἐκ κηροῦ καὶ τερεβινθίνης καὶ ἴρεως, καὶ οἰσύπου ἴσων· μετὰ δὲ ταῦτα ἐμπλάστρῳ τῇ Μνασέου· ῥευματιζομένων δὲ τῶν τόπων τὴν διὰ ἰτεῶν προσακτέον. Τῶν δὲ φαρμάκων ἁπλούστατον μέν ἐστι μελί- 9
κρατον κατὰ ἑαυτὸ καὶ σὺν ἀμύλῳ· ἐπιτήδειον δὲ καὶ ἴρεως δύο ἢ τρεῖς ἀστράγαλοι συνεψηθέντες τῷ μελικράτῳ μετὰ γλυκείας ῥίζης.

remède convenable dans ce cas que des oignons de poireau qu'on laisse désagréger dans de la ptisane, et même dans d'autres bouillies ou aliments semi-liquides. On peut aussi prendre ces oignons seuls, 4 pourvu qu'ils soient bouillis deux fois. On donne à boire de l'eau de 5 pluie fortement bouillie. Quand il se produit du relâchement, on em- 6 ploie des cataplasmes de graine de lin et de farine de froment de qualité supérieure qu'on prépare avec une décoction de fenugrec ou de mauve, de l'huile et du miel. On met aussi dans les cataplasmes des 7 feuilles de guimauve. A une époque plus avancée du traitement, on 8 passe aux cérats préparés avec du beurre, de l'huile aux baies de laurier, de l'huile à l'alcanna, ou de l'iris; après cela, on se sert d'un malagme, d'abord du malagme aux quatre ingrédients composé de parties égales de cire, de résine de térébenthinier, d'iris et de suint de laine, et plus tard, de l'*emplâtre de Mnaséas;* quand les parties affectées sont le siége d'une fluxion, on applique le médicament aux feuilles de saule. Le plus simple des médicaments qu'on puisse employer dans ce cas est 9 l'eau miellée, prise soit seule, soit avec de l'amidon; mais il est convenable aussi de prendre deux ou trois tubercules d'iris bouillis dans de

10. οἰσύπου ex em.; ὑσύπου F; ὑσσώπου ABP; et sic fere semper. — 13. ἑαυτὸ καὶ σὺν ἀμ. Aët.; ἑαυτὸ σὺν ἀμ. Codd.

10 Βηχὸς δὲ χαλεπῆς ἐνερειδούσης θύμος λεῖος καὶ ὕσσωπος ἀνα-
λαμβάνεται μέλιτι ἀπέφθῳ μεγέθει ψηφίων καὶ ὑπὸ τῇ γλώτῃ
11 διακρατεῖται. Ἁρμόσειε δὲ ἂν καὶ ἡ μιθριδάτειος ἐκ διαστημάτων
12 λαμβανομένη καὶ ἡ διὰ ἐχιδνῶν. Συμφορώτατον δὲ φθίσει καὶ ἡ
γαλακτοποσία. 5

ε'. Περὶ ἀσθματικῶν. Ἐκ τῶν Γαληνοῦ.

1 Τοῖς λεγομένοις ἀσθματικοῖς ἁρμόσει τὰ τέμνοντα φάρμακα χωρὶς
τοῦ θερμαίνειν σφοδρῶς, καὶ διὰ τοῦτο αὐτοὺς κάλλιστα ὀνίνησιν
ὄξος τε σκιλλιτικὸν, αὐτή τε ἡ σκίλλα, καὶ τὸ διὰ τοῦ τοιούτου
2 ὄξους ὀξύμελι. Συνενέγκοι δὲ ἂν τῷ ὀρθοπνοϊκῷ κίσηρις μετὰ νίτρου
καὶ τρὺξ οἰνηρὰ κεκαυμένη μετὰ σχοίνου ἄνθους, καὶ ἀρσενικὸν μετὰ 10
3 ἀλκυονίου. Φίλιππος δέ φησιν ἐγνωκέναι τινὰ ὃς δύο μέρη κισήρεως
καὶ ἓν μέρος ἀφρονίτρου κόπτων καὶ σήθων προσέπασσε τῷ ἀλείμ-

10 l'eau miellée avec de la réglisse. Si une toux pénible oppresse la poitrine, on incorpore dans du miel cuit du *thym* ou de l'*hysope* triturés; on fait avec cette préparation des morceaux gros comme de petites *bri-*
11 *ques*, qu'on tient sous la langue. Il convient encore de prendre de temps
12 en temps le *médicament de Mithridate* ou le *médicament aux vipères*. Il est éminemment utile aussi, dans la phthisie, de prendre du lait comme boisson.

5. DES ASTHMATIQUES. — TIRÉ DE GALIEN.

1 Les médicaments qui conviennent aux malades dits *asthmatiques* sont ceux qui ont des propriétés incisives sans échauffer très-fortement; pour cette raison, le vinaigre scillitique, la scille et le vinaigre miellé, préparé avec cette espèce de vinaigre, procurent le plus grand soulagement.
2 L'orthopnée est amendée par une combinaison de pierre ponce et de soude brute, par de la lie de vin brûlée à laquelle on ajoute du jonc
3 odorant et par de l'orpiment combiné à l'alcyonium. Philippe prétend avoir connu quelqu'un qui pilait ensemble et passait au tamis deux parties de pierre ponce et une partie d'alcyonium, et qui saupoudrait ensuite

3. Ἁρμόσειε ex em.; ἁρμόσει ABP.; ἁρμόσῃ F. — Ib. ἂν om. A. — Ib. μιθριδάτου. AF. — Ib. ἐκ διαστήματος ABP. — CH. 5; tit. Ἐκ τῶν Γαληνοῦ. Vers. antiq.; om. Codd. gr. — 9. ἂν ex em.; om. Codd.

ματι, ἔπειτα ἀνέτριβε, καὶ πυρρὸς καὶ αἱματώδης ἐγίνετο, καὶ τοῦτο ποιῶν ἄσθμα, βῆχα, καὶ πυώδη διάθεσιν ἀπετρίβετο. Τὰ δὲ 4 μείζω τῶν ἰαμάτων κάθαρσις μὲν συνεχεστέρα ἀπὸ φαρμάκων ἰσχυροτέρων, καὶ ἔμετοι ἀπὸ ῥαφανίδων καὶ μαλάγματα δὲ ὅσα ἕλκοῖ 5 τὴν ἐπιφάνειαν καὶ ἕλκει ἰχῶρας. Καὶ ἀριστολοχία δὲ ἡ στρογγύλη 5 μετὰ ὕδατος πινομένη ἀσθματικοῖς βοηθεῖ· κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα, σπονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα, καλαμίνθης ὁ καρπὸς, καὶ ὕσσωπος, καὶ ἶρις, μελάνθιον. Ὄνων τῶν ὑπὸ ταῖς ὑδρίαις ξεστὴν 6 βαλὼν εἰς ἄγγος κεραμεοῦν φρῦγε ἐπὶ ἀνθράκων· λευκανθέντας δὲ 10 τρῖβε, καὶ μέλιτι ἑφθῷ ἀναλαβὼν δίδου μύστρον ἐκλείχειν πρὸ τροφῆς. Ἄλλο· Σκίλλης ὠμῆς τὸν χυλὸν ἔκθλιβε καὶ μίξας αὐτῷ 7 μέλιτος τοσοῦτον ἕψε ἐπὶ ἀνθράκων καὶ δίδου μύστρον πρὸ τροφῆς καὶ μετὰ τροφήν.

avec ce mélange le liniment dont il voulait se frictionner [en prenant un bain]; puis, après avoir fait ces frictions, il devenait rouge et couleur de sang; en agissant ainsi, il s'était débarrassé de son asthme, de sa toux et de sa maladie purulente. Les remèdes les plus importants [contre 4 l'asthme] sont une purgation assez fréquemment répétée et provoquée par des médicaments assez actifs, des vomissements à l'aide du raifort, et les malagmes qui ulcèrent la surface du corps et attirent les liquides séreux. L'aristoloche ronde soulage les asthmatiques, pourvu qu'on la 5 prenne comme boisson avec de l'eau; il en est de même de la racine de grande centaurée, de la racine et de la graine de la grande berce, du fruit de la *calaminthe*, de l'*hysope*, de l'iris et de la nielle. Jetez un se- 6 tier de millepieds qu'on trouve sous les seaux dans un vase en poterie et torréfiez-les sur des charbons; quand ils sont devenus blancs, triturez-les, incorporez-les dans du miel et donnez un mystre de ce miel à lécher avant le repas. *Autre remède :* Exprimez le suc de la scille crue, 7 ajoutez-y une quantité égale de miel, faites bouillir ce miel sur des charbons et donnez-en un mystre avant et après le repas.

1. καί ante αἱματώδης om. BP. — 4. δέ Aët.; om. Codd. — 5. τὴν ἐπιφανείαν Aët.; om. Codd. — 8. καί om. ABP. — Ib. Ὄνων τῶν Paul.; Ὄνον τόν BFP; Ὄνους δὲ τούς A. — Ib. ξεστήν Paul.; ἔξεστιν BFP; om. A. — 9. βαλών BP; ἐμβαλών A; βλαβών F 2ª m.; λαβεῖν F 1ª m.

ϛ'. Περὶ τῶν ἐν καρδίᾳ παλμῶν.

1 Οἶδά τινα, φησὶ Γαληνὸς, κατὰ ἐνιαυτὸν ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα τῆς καρδίας· κἀπειδὴ τρισὶν ἔτεσιν ἐπειράθη φλεβοτομίας ὠφελούσης, ἔφθασεν ἐπὶ τοῦ τετάρτου φλεβοτομηθεὶς πρὶν ἁλῶναι τῷ συμπτώματι, καὶ οὕτως ἔπραττε κατὰ τὸ ἑξῆς πλειόνων ἐτῶν. 5

ζ'. Περὶ πλευρίτιδος. Ἐκ τῶν Γαληνοῦ.

1 Ἡ ἀκριβὴς πλευρῖτις ἐν πρωτοπαθείᾳ τοῦ ὑπεζωκότος γίνεται·
2 διὸ μέχρι κλειδὸς καὶ ὑποχονδρίων ὁ πόνος ἐξικνεῖται. Εἰ μὲν οὖν εἰς κλεῖν ὁ πόνος διατείνει, φλεβοτομίας χρεία· εἰ δὲ εἰς ὑποχόνδριον, καθάρσεως· εἰ μέντοι μέτριον εἴη τὸ ἄλγημα καὶ μὴ νυγμα-
3 τῶδες, οὐ μεγάλης δεῖται βοηθείας. Δώσομεν οὖν τοῖς οὕτω κάμνουσι 10 φάρμακα τῆς λεπτυνούσης δυνάμεως, μέτρια μὲν ἐπὶ τῶν φλεγμαι-

6. DES PALPITATIONS DE CŒUR.

1 Je connais quelqu'un, dit Galien, qui, chaque année, à l'époque du printemps, éprouvait des palpitations accidentelles du cœur; s'étant aperçu, trois années de suite, que la saignée lui faisait du bien, il prévint sa maladie, la quatrième année, en se faisant saigner avant d'en être pris, et il agit de même, depuis ce temps, plusieurs années de suite.

7. DE LA PLEURÉSIE. — TIRÉ DE GALIEN.

1 La pleurésie proprement dite consiste en une affection primaire de la membrane qui revêt les côtes : pour cette raison, la douleur s'étend
2 jusqu'à la clavicule et jusqu'aux [fausses] côtes. La douleur s'étend-elle jusqu'à la clavicule, la maladie exige une saignée; descend-elle jusqu'aux hypocondres, on doit purger; cependant une douleur modérée et non
3 pongitive ne réclame pas un traitement très-actif. Dans ces conditions, nous prescrivons des médicaments doués de propriétés atténuantes; durant l'inflammation, ils doivent être de force moyenne, et nous réser-

CH. 7; tit. Ἐκ τῶν Γαληνοῦ. Vers. antiq.; om. Codd. gr. — 7. καί om. BP. — 8. ἡ ὀδύνη ABP. — 8-9. ὑποχόνδρια BP. — 9. μή om. BP. — 11. μέτρια om. F. — 11-p. 474, l. 1. ἐπὶ τῶν φλεγμονῶν A; om. F.

νόντων, ὅσα δὲ ἰσχυρότερα κατὰ τὰς παρακμὰς τῶν φλεγμονῶν. Μέτρια μὲν οὖν ἐστιν ὅ τε τῆς πλισάνης χυλὸς καὶ τὸ μελίκρατον· 4
ἰσχυρότερον δὲ τὸ τῆς ἀκαλήφης σπέρμα καὶ ὅταν ἐμβληθῇ τι τῷ μελικράτῳ τῶν δριμειῶν βοτανῶν, οἷον ὀριγάνου καὶ ὑσσώπου καὶ
5 καλαμίνθης, γληχοῦς τε καὶ ἴρεως.

η'. Πρὸς πλευρῶν ὀδύνας. Ἐκ τῶν Γαληνοῦ.

Πλευρῶν δὲ ὀδύνας ἄνευ πυρετῶν βδέλλιον ἰᾶται, καὶ κόστος. 1
Κράμβης καυλῶν καυθέντων τῇ τέφρᾳ μιγνύντες στέαρ παλαιὸν, 2
εἰς τὰ τῶν πλευρῶν ἀλγήματα χρώμεθα, καὶ εἴ τι τοιοῦτον ἕτερον· διαφορητικὸν γὰρ ἰσχυρῶς ἐστι τὸ φάρμακον.

θ'. Πρὸς τιτθούς.

10 Πάτος φλεγμαινόντων τιτθῶν βοήθημά ἐστι δραστικώτατον ἐπι- 1
τιθέμενον· ἐὰν δὲ ξηρότερόν σοι φαίνηται, κυπρίνῳ μάλατε ἢ ῥοδίνῳ.

vons les médicaments plus forts pour la période de déclin. La crème 4
d'orge mondé et l'eau miellée sont des médicaments de moyenne force; mais la graine d'ortie et l'eau miellée dans laquelle on a mis quelque plante âcre, comme l'origan, l'*hysope*, la *calaminthe*, le pouliot et l'iris, sont des médicaments plus forts.

8. REMÈDES CONTRE LES DOULEURS DE CÔTÉ. — TIRÉ DE GALIEN.

Le bdellium et le costus guérissent les douleurs de côté non accom- 1
pagnées de fièvre. Nous employons contre les douleurs de côté et contre 2
toutes les affections analogues des cendres de tiges de chou brûlées, auxquelles nous ajoutons de la vieille graisse; car ce médicament est capable de dissiper vigoureusement.

9. REMÈDES CONTRE LES [AFFECTIONS DES] MAMELLES.

La crasse des palestres appliquée sur les mamelles enflammées est un 1
médicament très-efficace; si cette crasse semble trop sèche, ramollissez-

4. δριμειῶν ex em.; δριμέων Codd. BFP; γλήχωνος A. — CH. 8. Ἐκ τῶν Gal. — 5. γληχοῦς ex em.; γλίχους Γαληνοῦ Vers. antiq.; om. Codd. gr.

2 Καὶ πρὸς τὸ ἐκ τοκετῶν δὲ σβέσαι γάλα τυρωθὲν κατὰ τοὺς μαστοὺς
3 χρήσιμον ἱκανῶς ἐστιν. ὯΙῳ ὅλῳ ὠμῷ χρώμεθα μιγνύντες ῥοδίνου,
οὐ μόνον ἐπὶ τιτθῶν φλεγμαινόντων, ἀλλὰ καὶ ἐπὶ ἄλλων πλειόνων
4 μορίων. Ὁ ῥύπος ὁ ἐν ταῖς παλαίστραις ἵαμα φλεγμονῆς ἐστι
τιτθῶν· καὶ γὰρ τὸ πυρῶδες αὐτῶν σβέννυσι, καὶ τὸ ἐπιῤῥέον ἀνα- 5
5 στέλλει, καὶ τὸ περιεχόμενον διαφορεῖ. Κυάμων ἄλευρον μαστῶν
καὶ διδύμων ἀγαθόν ἐστι κατάπλασμα· φιλεῖ γὰρ ταῦτα τὰ μόρια
μετρίως ψύχεσθαι φλεγμαίνοντα, καὶ μάλιστα ὅταν τυρωθῇ τὸ γάλα.
6 Τὸ τῆς ναξίας ἀκόνης ἀπότριμμα τιτθούς τε παρθένων κωλύει πρὸ
7 ὥρας ἐμφυσᾶσθαι καὶ παίδων ὄρχεις. Χοῖρον ἐκτεμὼν κατάχριε τῷ 10
8 αἵματι τοὺς μαστοὺς, καὶ οὐκ αὔξονται. Τὰς σπαργανώσεις τῶν
μαστῶν ἀποκαθίστησι φακὸς ἑψηθεὶς ἐν θαλάσσῃ καὶ καταπλασσό-
μενος, ἢ ἡδύοσμον σὺν ἀλφίτῳ καταπλασθὲν, ἅλμη πυριωμένη.

2 la avec de l'huile à l'alcanna ou de l'huile aux roses. Ce remède est très-
utile aussi pour dissoudre le lait qui s'est transformé en fromage dans
3 les seins après l'accouchement. Nous appliquons un œuf cru entier,
non-seulement sur les mamelles enflammées, mais aussi sur plusieurs
4 autres parties qui le sont également. La crasse des palestres est un re-
mède contre l'inflammation des seins, car elle éteint ce que ces inflam-
mations ont de brûlant, réprime ce qui afflue, et dissipe ce qui est con-
5 tenu dans la partie enflammée. La farine de fèves est un bon cataplasme
pour les seins et pour les testicules; car ces parties aiment à être modé-
rément refroidies quand elles sont enflammées, et surtout quand le lait
6 s'est transformé en fromage. La raclure de la pierre à aiguiser de Naxos
empêche les seins des jeunes filles et les testicules des garçons de se
7 gonfler avant l'âge. Châtrez un jeune porc, oignez les mamelles avec
8 le sang [qui s'écoule de la plaie], et elles ne grandiront pas. Un cata-
plasme de lentilles bouillies dans l'eau de mer, la menthe employée sous
forme de cataplasme avec de l'alphiton, ou une fomentation d'eau de
mer ramènent les seins à leur état normal quand l'abondance de lait

1. δέ om. BP Gal. — 1b. τὸ γάλα BFP. — 2. ῥοδίνῳ ABP. — 3. ἐπὶ τῶν τιτθῶν A. — 4. Ὁ om. ABP. — 6. Κυάμινον BP; Κυάμων δέ A. — 9. τε] καὶ BP. — 10. καὶ παίδων Gal.; καὶ παιδίων Codd.

Σβέννυσι δὲ μετὰ ταῦτα ἄλευρον κυάμινον κατὰ ἑαυτὸ καὶ σὺν ἀλφίτῳ 9
καταπλασθὲν, κιμωλία σὺν ὄξει καταχριομένη, γάλα γυναικεῖον
μετὰ κωνείου χυλοῦ, κωνείου φύλλα καταπλασσόμενα, ἅλμη πυριω-
μένη. Τοὺς δὲ χονδριῶντας μασθοὺς παύει ἡδύοσμον σὺν ἀλφίτῳ 10
καταπλασθὲν, κρόκος σὺν γάλακτι καταχριόμενος, ἄλευρον κυά-
μινον κατὰ ἑαυτὸ καὶ σὺν ἀλφίτῳ καταπλασθὲν, κυδώνια ἑφθὰ σὺν
μέλιτι. Οὐκ ἐᾷ δὲ ἐπὶ τῶν τιθηνουσῶν γάλα τυροῦσθαι κηροῦ λευ- 11
κοῦ δέκα τὸν ἀριθμὸν κεγχριαῖα τὸ μέγεθος κατὰ ἡμέραν κατα-
πινόμενα.

ι'. Περὶ τῶν τοῦ στόματος τῆς γαστρὸς παθῶν. Ἐκ τῶν Γαληνοῦ.

Τοῖς τὴν κυνώδη καλουμένην ὄρεξιν ἔχουσι, τουτέστι τοῖς ἀπαύ- 1
στως λιμώττουσιν, οἶνον διδόναι χρὴ δαψιλῆ τῶν ἱκανῶς θερμαι-

les rend turgescents. Le lait est ensuite dissous par un cataplasme de 9
farine de fèves, soit seule, soit combinée à l'alphiton; par la terre de
Cimole employée comme liniment avec du vinaigre, par un mélange de
lait de femme et de suc de ciguë, par un cataplasme de feuilles de ci-
guë, par une fomentation d'eau de mer. Un cataplasme de menthe et 10
d'alphiton, du safran employé sous forme de liniment avec du lait, un
cataplasme de farine de fèves, soit seule, soit combinée à l'alphiton, des
coings bouillis combinés au miel, dissipent les grumeaux des seins. Des 11
pilules de cire blanche du volume d'un grain de millet empêchent le
lait des nourrices de se transformer en fromage, pourvu qu'elles en
prennent dix chaque jour.

10. DES AFFECTIONS DE L'ORIFICE DE L'ESTOMAC. — TIRÉ DE GALIEN.

Aux malades qui ont ce qu'on appelle la *faim canine*, c'est-à-dire qui 1
ne cessent pas un seul instant d'avoir faim, il faut donner comme un
souverain remède une grande quantité de vin d'une espèce suffisam-

3-4. ἅλμη πυρ. Diosc. *ad Eun.*; om. Codd. — 4. Τοὺς δὲ χονδρ. μασθοὺς παύει Diosc.; Τοὺς δὲ χονδρ. παύει ἅλμη πυριωμένη *ad Eun.*; om. Codd. — 5-6. κυάμινον κατὰ ἑαυτὸ καὶ σὺν ἀλφίτῳ *ad Eun.* Diosc.; om. Codd. — Ib. καταπλ. *ad Eun.*; om. Codd. — 7. γάλα Diosc.; τὸ γάλα Codd. — 7-8. κηροῦ λευκοῦ Diosc. κηροῦ *ad Eun.*; om. Codd. — 8-9. δέκα τὸν ἀριθμὸν..... καταπινόμενα om. A. — Ch. 10; l. 11. δαψιλῆ *ad Eun.*; δαψιλῶς Codd.

νόντων ὡς μέγα ἵαμα· τοιοῦτοι δέ εἰσιν οἱ κιρροὶ τὴν χρόαν ἢ ἐρυθροὶ χωρὶς τοῦ σλύφειν· αἱ γὰρ λιμώδεις ὀρέξεις διὰ ψυχρότητα
2 τοῦ σλομάχου συνίσλανται. Εἰκότως οὖν ὁ τοιοῦτος οἶνος αὐτὰς παύει· χρεία δὲ αὐτοῖς, ὅταν ἐπὶ τὸ ἄρισλον ἀφίκωνται, πρῶτον διδόναι τὰ λιπαρὰ καὶ ἐλαιώδη τῶν ἐδεσμάτων, καὶ τὰ ἄλλα δὲ πάντα διὰ ἐλαίου πολλοῦ σκευάζοντα καὶ μηδὲν αὐσληρὸν καὶ σλρυφνὸν ἔχοντα· μετὰ δὲ ταῦτα τὸν οἶνον κἂν μηδέπω διψῶσι κελεύειν προσφέρεσθαι· πραύνεται μὲν γὰρ αὐτοῖς εὐθέως ὁ λιμὸς ἐπὶ τῇ τοιαύτῃ διαίτῃ, πλείονι δὲ χρόνῳ πρατλόντων οὕτω καταπαύεται.
3 Τοῖς δὲ λύζουσι διδόναι χρὴ πήγανον μετὰ οἴνου, ἢ νίτρον ἐν μελικράτῳ, ἢ σέλινον, ἢ κύμινον, ἢ σκιλλιτικὸν ὄξος, ἢ καλαμίνθην ἢ
4 ἄσαρον, ἢ νάρδον κελτικὴν, ἰδίᾳ ἕκασλον καὶ ὁμοῦ. Κασλόρειον τοῖς ὑπὸ πλήθους λύζουσιν ἐπὶ ψυχροῖς καὶ γλίσχροις χυμοῖς δίδου πίνειν διὰ ὀξυκράτου· καὶ κατὰ τοῦ δέρματος δὲ ἐπιτιθέμενον ὠφελεῖ ἅμα

ment échauffante : tels sont les vins paillets ou rouges, mais qui n'ont aucune astringence; car la faim canine tient à ce que l'orifice de l'es-
2 tomac est froid. Il est donc tout simple qu'un tel vin supprime cette faim; au moment du déjeuner, il est nécessaire de donner d'abord des aliments gras et huileux, d'assaisonner même tous les autres mets avec une grande quantité d'huile, et de faire en sorte que ces mets n'aient aucune âpreté, soit forte, soit faible; après cela, on ordonnera de prendre le vin, lors même que les malades n'auraient encore aucune soif; par suite d'un tel régime, la faim s'apaise tout de suite, et, si l'on continue à agir ainsi pendant un espace de temps assez long, elle cesse
3 complétement. A ceux qui ont le hoquet, on donnera de la rue avec du vin, ou de la soude brute dans de l'eau miellée, ou du céleri, ou du cumin, ou du vinaigre scillitique, ou de la *calaminthe*, ou du cabaret, ou du nard celtique, soit chacune de ces substances séparément, soit toutes
4 ensemble. Donnez à boire du castoréum dans de l'eau vinaigrée à ceux qui ont un hoquet causé par des humeurs froides et visqueuses; ce médicament appliqué sur la peau avec de l'huile de Sicyone ou de la vieille

4. αὐτῆς BFP; αὐτούς A. — 9. διαίτῃ — 10. χρή om. A. — 12. ἕκ. τούτων A. Gal.; om. Codd. — Ib. καταπραύνεται A. — 13. διδόναι BP. — 14. δέ om. ABP.

σικυωνίῳ ἢ παλαιῷ ἐλαίῳ. Ὅταν δὲ ὑπὸ πληρώσεως ὑγρῶν γένηται 5
λυγμὸς, τοὐπίπαν δὲ οὕτω συνίσταται, βιαίας δεῖται κενώσεως· τοῦτο
δὲ πταρμὸς ἐργάζεται. Αἱ δὲ ναυτίαι γίνονται πρὸς ἔμετον ὁρμώσης 6
τῆς γαστρὸς, ποτὲ μὲν πλήθους βαρύνοντος αὐτὴν, ποτὲ δὲ δήξεως
5 ἢ ὅλως μοχθηρῶν χυμῶν. Τινὲς δὲ σπαράττονται μὲν, ἐμοῦσι δὲ 7
οὐδὲν, ἐπὶ ὧν οὔτε πολύς ἐστιν ὁ λυπῶν χυμὸς, οὔτε κατὰ τὴν εὐ-
ρυχωρίαν τῆς γαστρὸς, ἀλλὰ αὐτοῖς περιέχεται τοῖς χιτῶσιν, ἐνίοις
μὲν ὡς ὕδωρ ἐν σπόγγῳ, ἐνίοις δὲ ἐμπεπλασμένος δυσαπολύτως. Ἡ 8
δὲ ἴασις ἐν τρισίν ἐστι κειμένη κεφαλαίοις, πέψει καὶ ἐπικράσει
10 καὶ κενώσει. Πέττονται μὲν οὖν οἱ φλεγματωδέστεροι καὶ ὠμοὶ τῇ 9
τε ἡσυχίᾳ καὶ ἀσιτίᾳ καὶ ὕπνῳ· τῶν δὲ ἄλλων τοὺς λεπτοὺς τὴν
σύστασιν καὶ μετρίως ἐσφηνωμένους ἐκβάλλειν ἐμέτοις, ποτὲ μὲν
ἐπὶ τῷ τῆς πτισάνης χυλῷ γενομένοις ἢ μελικράτῳ, ποτὲ δὲ ἐπὶ

huile est également bon. Le hoquet qui tient à une surabondance 5
d'humeurs, or c'est là, en général, sa cause la plus ordinaire, exige une
évacuation violente; on obtient ce résultat à l'aide d'un éternument.
Les nausées ont lieu quand l'estomac s'apprête à vomir, étant opprimé 6
soit par la surabondance des humeurs, soit par leurs mordications, ou,
en général, par leur mauvaise qualité. Quelques-uns éprouvent seu- 7
lement des tiraillements, mais ne vomissent rien; chez eux, l'humeur
qui incommode n'est pas contenue dans la cavité de l'estomac, mais
dans les tuniques mêmes de cet organe; quelquefois elle l'est comme
de l'eau dans une éponge, et d'autres fois elle y est fixée de manière à
s'en détacher difficilement. Le traitement de la nausée doit, en résumé, 8
satisfaire à trois indications principales : celles d'amener à maturité, de
tempérer et d'évacuer les humeurs. Or les humeurs crues et plus ou 9
moins pituiteuses sont mûries par le repos, l'abstinence des aliments et
le sommeil; quant aux autres humeurs, celles qui ont une consistance
ténue et se trouvent modérément enclavées doivent être rejetées par
les vomissements qu'on provoquera quelquefois à l'aide de la crème
d'orge mondé ou de l'eau miellée, d'autres fois à l'aide de l'eau

8. ἐμπεπλασμένος ex em.; ἐμπεπλασμένως AF; ἐμπεπλασμένοι A; ἐμπεπλασμένα BP. — 12. καί om. BFP. — Ib. ἐκβαλεῖν BP; et sic fere semper. — 13-p. 479, l. 1. ἐν ὕδατι A; ἐφ' ὕδατος BP.

ὕδατι μόνῳ· ὅσοι δὲ γλίσχροι τέ εἰσι καὶ παχεῖς δυσλύτως ἐμπε-
10 πλασμένοι τῇ γαστρὶ τῶν λεπτυνόντων χρῄζουσι τοὺς χυμούς. Ἔνθα
δὲ ὑγρότης μοχθηρὰ διέβρεξε τοὺς χιτῶνας τῆς γαστρὸς, ἡ διὰ τῆς
ἀλόης πικρὰ χρησίμως ἐκκαθαίρει ταύτην, τὰ δὲ στύφοντα βλάπτει
γενναίως, ὥσπερ πάλιν ἐπὶ ὧν ὑγρότης πολλὴ χωρὶς κακίας χυμῶν, 5
ὅταν οἷον πλάδος τις ᾖ, τῷ ποσῷ λυποῦσα μόνῳ, τὰ στύφοντα μὲν
ὠφελιμώτατα γίνεται, τὸ δὲ διὰ τῆς ἀλόης φάρμακον εἰς μαρασμὸν
11 ἄγει πάντως τοὺς χρησαμένους. Μίξειε δὲ ἄν τις τοῖς στύφουσι καὶ
τῶν θερμαινόντων τι ψυχρᾶς τῆς διαθέσεως αἰσθανόμενος· ἱκανὸν δὲ
γνώρισμα τοῦ ψυχροτέραν τὴν διάθεσιν εἶναι τὸ ἄδιψον· ὅταν γὰρ 10
μήτε διψώδης ὁ κάμνων ᾖ, μήτε καύματος αἴσθηται κατὰ τὸ τῆς
12 κοιλίας στόμα, δῆλόν ἐστιν οὐκ εἶναι διάθεσιν θερμήν. Αἱ δὲ φλεγ-
μοναὶ τοῦ στόματος τῆς κοιλίας καὶ τοῦ ἥπατος δέονται τῆς τῶν
στυφόντων παραπλοκῆς· ἐὰν γὰρ διὰ τῆς χαλαστικῆς ἀγωγῆς μόνης

seule; tandis que les humeurs épaisses et visqueuses qui sont fixées dans l'estomac de manière à ne pouvoir s'en détacher que difficile-
10 ment exigent l'emploi d'ingrédients qui les atténuent. Lorsque les tuniques de l'estomac sont imbibées d'une humeur vicieuse, le médicament amer à l'aloès expulse cette humeur d'une manière utile, tandis que les astringents causent un dommage considérable; au contraire, lorsque les humeurs pèchent uniquement par excès de fluidité, sans avoir aucune [autre] mauvaise qualité, lorsqu'il y a une espèce de clapotement, et que, par conséquent, elles ne sont nuisibles que par la quantité, les astringents deviennent éminemment utiles, tandis que le médicament à l'aloès jette infailliblement dans le marasme ceux qui y
11 ont recours. Si on s'apercevait d'une affection froide, on pourrait ajouter quelque substance échauffante aux astringents; or c'est un signe suffisant pour reconnaître une affection froide de l'orifice de l'estomac que l'absence de soif : en effet, quand le malade n'est pas altéré et ne sent aucune ardeur dans cette partie, il est clair que son affection n'est pas
12 chaude. Les inflammations de l'orifice de l'estomac et du foie exigent qu'on ait recours à des astringents; si on les traite par la méthode relâ-

4. τὰ στύφ. δέ ABP. — 7. ὠφελιμώτερα BP. — 1b. γίνονται ABP. — 10. ψυχροτέρου BP. — 14. παραπλ. *ad Eun.*; περιπλοκῆς Codd.

θεραπεύῃ τις, κίνδυνον ἐπάξει περὶ τῆς ζωῆς. Δεῖ τοίνυν, εἴτε 13
ἔλαιον εἴη τὸ ἐπαντλούμενον τοῖς πεπονθόσι τόποις, εἴτε κατά-
πλασμα, παραπλέκειν τι τῶν στυφόντων, οἷον ἀψίνθιον, ἢ νάρδινον
μύρον, ἢ μήλινον, ἢ κυδώνιον ἑψήσαντα. — Κηρωτὴ ᾗ συνεχῶς χρώ- 14
μεθα· Κηροῦ λευκοῦ Γο α', ναρδίνου χειμῶνος μὲν Γο α', θέρους δὲ
∠ζ', ἀλόης, μαστίχης ἀνὰ ∠α'. Εἰ δὲ πλείονος δέοιτο στύψεως, 15
ἀτονίας οὔσης, ὡς μηδὲ τῶν τροφῶν κρατεῖν, προσμιγνύσθω καὶ
ὀμφακίου τὸ ἴσον. Μιγνύσθω δὲ ἐν τῇ κηρωτῇ πρῶτον τὸ ὀμφάκιον, 16
εἶτα οὕτω τἄλλα· μιγνύειν δὲ ὥσπερ τὸ ὀμφάκιον, οὕτω καὶ ἀψιν-
θίου χυλόν· ἔστι δὲ ὅτε καὶ ἄμφω, καὶ τρίτον γε ἐπὶ αὐτοῖς τῆς
ὑποκιστίδος καὶ οἰνάνθης καὶ ῥοῦ χυλόν. Παραύξειν δὲ χρὴ τῆς κη- 17
ρωτῆς τὸ πλῆθος ἀνάλογον τῷ τῶν ἄλλων φαρμάκων ἀριθμῷ· χρο-
νιζούσης δὲ τῆς φλεγμονῆς καὶ σκληρυνομένης ἤδη, ποικιλώτερα

chante seule, on met les malades en danger de mourir. Il faut donc, 13
soit qu'on fasse des affusions d'huile sur les parties affectées, soit qu'on
y applique des cataplasmes, ajouter à ces préparations médicamenteuses
quelque substance astringente comme l'absinthe, l'huile parfumée au
nard ou aux coings, ou des coings bouillis. — *Cérat dont nous nous servons* 14
fréquemment : Cire blanche une once, huile de nard, en hiver, une once,
et en été sept drachmes, aloès et mastic, de chacun une drachme. Si l'on 15
a besoin d'une astringence plus prononcée, parce qu'il existe un relâ-
chement tel que les malades ne peuvent même pas retenir les aliments,
on ajoutera une quantité égale de verjus. On mêle en premier lieu le 16
verjus au cérat [simple], et après lui les autres ingrédients; cependant
le verjus n'est pas indispensable; on peut aussi remplacer ce liquide
par du suc d'absinthe; quelquefois nous mettons ces deux liquides à la
fois, ou même nous les remplaçons par du suc d'hypocistis, de fleurs
de vigne sauvage ou de sumac. On augmentera la quantité de cérat 17
[simple] en proportion du nombre des autres médicaments, et, quand
la tumeur inflammatoire traîne en longueur et commence à se durcir,

1. περί om. BP. 3. περιπλέκειν F. — 5. ναρδίνου ex em.; νάρδου AF; καὶ νάρδου Gal. *Eupor.*; om. BP. — 8. τὸ ante ὀμφ. *ad Eun.*; om. Codd. — 11. Παράξειν A. — Ib. χρή *ad Eun.* Gal.; om. Codd. — 13. ποικιλώτατα BFP.

φάρμακα προσφέρειν χρὴ, καὶ τῶν ἀρωμάτων ἔχοντά τι καὶ τῶν
μαλακτικῶν καὶ τῶν διαφορητικῶν, οἷόν ἐστι καὶ τὸ διὰ μελιλώτου
18 σκευαζόμενον. Ὁ χλωρὸς ἴασπις ὠφελεῖ τόν τε στόμαχον καὶ τὸ
στόμα τῆς γαστρὸς περιαπτόμενος, καὶ πεῖράν γε ἱκανὴν δέδωκε,
καὶ χρὴ ποιοῦντας ὁρμαθὸν ἐξάπτειν τοῦ τραχήλου σύμμετρον οὕ- 5
19 τως ὡς ψαύειν τοῦ στόματος τῆς γαστρός. Ἐπὶ δὲ τῶν θερμῶν
τοῦ στομάχου δυσκρασιῶν, καὶ καυσουμένων μετὰ ἐκλύσεως, ἢ
ὀλιγοψυχίας, ἤ τινος ἀνορεξίας ἐξ οἱασδήποτε προφάσεως πλὴν
πυρετοῦ, ψυχρὸν ὕδωρ δίδου, μετὰ ὄμφακος χυλοῦ, ἢ μήλων κυδω-
νίων ἀφέψημα, ἢ ἑλίκων ἀμπέλου, ἢ σικύου σπερμάτια ὡς ὀκτὼ 10
λεῖα μετὰ ψυχροῦ, ἢ κλωνίον ἡδυόσμου λεάνας δὸς πίνειν· ἐπι-
τίθει δὲ ἔξωθεν ἐπὶ τὸν στόμαχον κύστιν πληρώσας ὕδατος ψυ-
20 χροῦ, ἢ χιόνα ἐπίβαλλε, ἢ κολοκύνθης ξέσματα. — Ἐκκαιομένοις

il faut appliquer des médicaments plus variés, qui contiennent une certaine quantité d'aromates et de substances capables de ramollir et de dissiper; tel est le médicament au mélilot tel qu'on le propose habi-
18 tuellement. Le jaspe vert, employé sous forme d'amulette, soulage l'œsophage et l'orifice de l'estomac; ce médicament a suffisamment fait ses preuves; on en fabrique un collier qu'on suspend au cou et auquel on donne une longueur suffisante pour qu'il touche l'orifice de l'estomac.
19 Lorsqu'il existe un tempérament vicieux de l'orifice de l'estomac, péchant par la chaleur, et que les malades éprouvent des ardeurs accompagnées de faiblesse, de défaillance, ou de quelque inappétence, quelle que soit la cause de ces accidents, pourvu que ce ne soit pas la fièvre, on donnera de l'eau froide combinée au suc de raisins verts, ou une décoction soit de coings soit de vrilles de vigne, ou bien de l'eau froide dans laquelle on aura trituré soit huit graines de concombre soit un rameau de menthe; à l'extérieur, on appliquera sur l'orifice de l'estomac une vessie pleine d'eau froide, ou de la neige, ou des raclures de courge.
20 — *Pilule pour étancher la soif, destinée aux malades qui éprouvent des*

3. τόν τε στόμαχον *ad Eun.*; τὸν στόμαχον Codd. — 5. σύμμετρον Gal.: συμμέτρως Codd. — 10. ἢ ἑλίκων Gal. *Eupor.*; ἢ ἕλικος Codd.

ἄδιψον καταπότιον· Σικύου ἡμέρου σπέρματος ∠η′, τραγακάνθης ∠ς′. Λύε τὴν τραγάκανθαν ᾠῶν ὠμῶν προσφάτων τῷ λευκῷ, 21
καὶ ὅταν διαλυθῇ, τρίψας ἐπιμελῶς ἐπίβαλλε τοῖς λοιποῖς, καὶ
μίξας ἀνάπλατ|ε καταπότια, καὶ ξηράνας ἐν σκιᾷ δίδου ἓν ὑπὸ τὴν
5 γλῶσσαν κατέχειν, καὶ τὸ διαλυόμενον ὑγρὸν καταπινέτω. Καὶ 22
τοῦτο καὶ τὸ μετὰ τοῦτο ψυκτικόν τε ἅμα καὶ τονωτικὸν πλαδῶντός
ἐσ|τι σ|τομάχου διάθεσιν ἔχοντος ὑγρὰν καὶ θερμήν. — Ἄλλο· Ῥόδων 23
χλωρῶν τῶν φύλλων ∠ς′, γλυκυῤῥίζης ∠δ′, νάρδου ἰνδικῆς ∠δ′.
Οἴνῳ γλυκεῖ ἀναλάμβανε καὶ ποίει καταπότια, καὶ δίδου ἓν ὑπὸ τὴν 24
10 γλῶτ|αν κατέχειν, ἢ διαλύων ὕδατι ψυχρῷ ἐρεβίνθου τὸ μέγεθος,
δίδου πίνειν. Ἐπὶ δὲ τῶν κατεψυγμένων καὶ ἐπὶ τῶν διὰ πάχος τοῦ 25
φλέγματος θερμαίνεσθαί τε καὶ τέμνεσθαι δεομένων χρήσιμόν ἐσ|τι
τόδε· μαράθρου ῥίζης φλοιοῦ ∠ο ς′, ὄξους ξ α′, μέλιτος χ α′, ἀλόης

ardeurs : Graine de concombre cultivée huit drachmes, gomme adragant
six drachmes. Dissolvez la gomme adragant dans du blanc d'œufs frais 21
crus; quand la dissolution a eu lieu, vous triturez avec soin et vous
ajoutez le mélange aux autres ingrédients; vous broyez le tout en-
semble et vous en faites des pilules, que vous séchez à l'ombre, et
dont vous donnez une à tenir sous la langue et pour avaler le li-
quide qui se forme à mesure que la pilule se dissout. Ce médicament 22
et celui que nous allons décrire maintenant refroidissent et renforcent
simultanément l'orifice de l'estomac frappé d'une affection humide et
chaude qui y occasionne du clapotement. — *Autre remède :* Feuilles de 23
roses vertes six drachmes, réglisse quatre drachmes, nard indien quatre
drachmes. Employez comme excipient du vin d'un goût sucré, faites 24
des pilules et donnez-en une à tenir sous la langue, ou dissolvez
dans l'eau froide gros comme un pois chiche de ce mélange, et donnez
cela à boire. Le médicament suivant est utile chez les malades dont 25
l'orifice de l'estomac s'est refroidi et qui doivent être soumis à un trai-
tement échauffant et incisif à cause de la présence d'une pituite épaisse :
écorce de racines de fenouil six onces, vinaigre un setier, miel une livre,

4. ἓν Gal.; om. Codd. — 11. δίδ. πιν. Gal.; om. Codd. — 1b. ἐπὶ τῶν Gal. *Eupor.;* ἐφ' ὧν Codd. — 13. χ α′ Gal.; om. Codd.

26 ϛο γ'. Αἱ ῥίζαι σὺν τῷ ὄξει ἕψονται, εἶτα ὅταν ἑφθαὶ γένωνται, ἐκθλιβεῖσαι ῥίπλονται καὶ ἐπιχεῖται τὸ μέλι καὶ ἕψεται, εἶτα ἐπιπάσσεται ἡ ἀλόη· δίδου κοχλιάρια τρία σὺν ὕδατι· τινὲς ἄνευ ἀλόης
27 σκευάζουσιν. Ἐπὶ δὲ τῶν ἀποξυνόντων τὴν τροφὴν χρήσιμον τόδε τὸ φάρμακον· Πεπέρεως ∠α', ἀνήθου σπέρματος ∠α', κυμίνου ∠δ'. 5
28-29 Λειώσας δίδου εἰς κοίτην κοχλιάριον ἓν ἐν οἴνῳ κεκραμένῳ. Ἐπὶ δὲ τῶν γεννώντων χολὴν μέλαιναν καὶ φυσωμένων τὸν σλόμαχον ἐπιτίθει, καὶ μάλισλα ἐν ταῖς ἐπιθέσεσι, σπόγγους ὄξει δριμυτάτῳ βεβρεγμένους· μετὰ δὲ τούτους εἰ ἐπιμένοιεν, σλυπληρίαν ὑγρὰν
30 μετὰ χαλκάνθου λείου μέλιτι ἀναλαμβάνων ἐπιτίθει. Τῷ δὲ διατει- 10 νομένῳ καὶ πνευματουμένῳ τὸν σλόμαχον καλαμίνθης ἀπόζεμα ἐξηθριασμένου τοῦ ὕδατος μίξας ὀλίγον μέλιτος καὶ πεπέρεως δίδου.
31 Πρὸς δὲ τὰς ἀνατροπὰς τοῦ σλομάχου ῥοᾶς ὀξείας τῶν πυρήνων

26 aloès trois onces. On fait bouillir les racines avec le vinaigre, ensuite, quand elles sont suffisamment cuites, on les exprime et on les jette, on verse le miel dessus et on fait bouillir de nouveau; après quoi on jette par pincées l'aloès sur cette préparation; donnez-en trois cuillerées avec
27 de l'eau; quelques-uns préparent ce médicament sans aloès. Le médicament suivant est utile aux malades dont les aliments s'aigrissent [dans l'estomac] : Poivre une drachme, graine d'aneth une drachme, cumin
28 quatre drachmes. Triturez le mélange et donnez-en une cuillerée dans
29 du vin coupé d'eau quand le malade va se coucher. Chez les malades dont l'orifice de l'estomac est distendu par les gaz et engendre de la bile noire, vous appliquerez des éponges trempées dans du vinaigre très-âcre, traitement qui convient surtout pendant l'exacerbation des accès; si les accidents persistent, on appliquera un mélange d'alun liquide et
30 de vitriol bleu trituré, incorporés dans du miel. On donnera au malade dont l'orifice de l'estomac est distendu et gonflé par les gaz, une décoction de *calaminthe*, préparée avec de l'eau exposée au grand air
31 et dans laquelle on aura mis un peu de miel et de poivre. Contre le renversement de l'orifice de l'estomac, administrez trois parties de

2. ἐκθλιβεῖσαι ῥίπλονται καὶ ἐπιχεῖται *ad Eun.*; om. Codd. — Ib. τὸ μέλι ex em.; τοῦ μέλιτος Gal. *Eupor.*; om. Codd. — Ib. καὶ ἕψεται *ad Eun.*; om. Codd. — 8. ἐν ταῖς ἐπιθέσεσι *ad Eun.*; ἐν ταῖς ἐπιτάσσεσιν Codd. — 9. εἰ om. BFP. — 10. χαλκάνθου Gal.; χαλκοῦ Codd.

χυλοῦ μέρη τρία, ἡδυόσμου χυλοῦ μέρος ἕν, μέλιτος ἀττικοῦ μέρος ἕν. Βαλὼν εἰς κεραμεοῦν ἀγγεῖον ἕψε κινῶν συνεχῶς, καὶ ὅταν 32
συστραφῇ, ἄρας ἀπόθου· ἐν δὲ τῇ χρήσει δίδου πρὸ τροφῆς μύστρον ἕν.

ια'. Περὶ πνευματώσεως ἐν γαστρί. Ἐκ τῶν Γαληνοῦ.

Ἡ τῶν πνευμάτων ἐν γαστρὶ γένεσις χυμῶν ἢ σιτίων εἰς ἀτμοὺς 1
διαλυομένων ὑπὸ θερμότητος συνίσταται χλιαρᾶς· ἡ μὲν γὰρ ψῦξις τῷ μὴ πεφυκέναι λεπτύνειν καὶ διαλύειν οὐ γεννᾷ πνεύματος οὐδέν· ἡ δὲ σφοδρὰ θερμότης οὐ λεπτύνουσα καὶ διαλύουσα μόνον, ἀλλὰ καὶ διαφοροῦσα κωλύει τὴν σύστασιν τοῦ πνεύματος· ἡ δὲ ἐλάττων θερμότης χεῖ μὲν καὶ μεταβάλλει τὴν τροφὴν, ἐλλιπέστερον δὲ, κἀντεῦθεν ἡ γένεσις τῶν πνευμάτων. Λεπτύνειν οὖν αὐτὰ διὰ τῶν 2
θερμαινόντων φαρμάκων προσήκει, ἀφέψοντας ἐν ἐλαίῳ κυμίνου

suc de graines de grenades aigres, une partie de suc de menthe et une partie de miel d'Attique. Mettez ces médicaments dans un vase en po- 32
terie, faites bouillir en remuant continuellement; enlevez le vase du feu quand les substances se sont amassées et mettez-le de côté; vous en donnerez un mystre avant le repas.

11. DE L'ACCUMULATION DE GAZ DANS L'ESTOMAC. — TIRÉ DE GALIEN.

La formation de gaz dans l'estomac tient à une chaleur tiède qui dis- 1
sout en vapeurs les humeurs ou les aliments existant dans cet organe; en effet, le froid ne produit aucune espèce de gaz parce qu'il n'est pas conforme à sa nature d'atténuer ou de dissoudre; de son côté, une chaleur forte ne se borne pas à atténuer et à dissoudre, mais dissipe aussi, et elle empêche ainsi la formation des gaz; une chaleur plus faible, au contraire, liquéfie et transforme les aliments, mais à un degré insuffisant, et c'est justement là ce qui produit des gaz. On doit donc atténuer 2
à l'aide de médicaments échauffants; à cet effet on fait bouillir dans de l'huile des graines de cumin, de céleri, de grande berce ou de daucus

1. μέρος ἕν Gal. *Eupor.*; om. Codd. — Ch. 11; tit. Ἐκ τῶν Γαλ. Vers. antiq.; om. Codd. — 7. καὶ διαλ. om. F. — 8. οὐ λεπτύνει καὶ διαλύει BP.

καὶ σελίνου καὶ σπονδυλίου καὶ δαύκου σπέρμα· ψύξεως δὲ προσούσης τῇ διαθέσει, πήγανον καὶ δαφνίδας καὶ μελάνθιον καὶ μάραθρον ἐνέψειν τῷ ἐλαίῳ καὶ μιγνύειν ἄσφαλτον καὶ ἔλαιον δάφνινον· ἐὰν δέ τις καὶ φλεγμονὴ συνῇ ταῖς ὀδύναις, ἀντὶ τῶν θερμαινόντων χρήσῃ τοῖς χαλαστικοῖς, τὸ ἄνηθον ἐνέψων καὶ μιγνὺς στέαρ ὄρνιθος καὶ χηνός. Ποιεῖ δὲ πρὸς τοὺς πνευματουμένους καὶ πολίου δεσμίδιον καθεψόμενον καὶ πινόμενον, ἢ καλαμίνθης ἀφέψημα μιγνυμένου μέλιτος ὀλίγου καὶ πεπέρεως ∠α'. Ταῦτα μὲν οὖν ὀδύνης σφοδρᾶς ἐμπεσούσης προσακτέον· ἐπὶ δὲ τῆς μετρίας ἀρκέσουσι καὶ πυρίαι διὰ κέγχρου καὶ ἡ διὰ τῶν ὠμολίνων. Σικύα δὲ εὐμεγέθης περιλαμβάνουσα τὸν ὀμφαλὸν ἀθρόως πολλάκις ἀπαλλάττει τοὺς πάσχοντας τοῦ συμπτώματος. Ὠφελεῖ δὲ καὶ τὸ καστόρειον αὐτοὺς πινόμενόν τε διὰ ὀξυκράτου καὶ ἔξωθεν σὺν ἐλαίῳ σικυωνίῳ ἐπιτιθέμενον, κἂν μετὰ στρόφου τυγχάνωσιν αἱ ἐμπνευματώσεις. Καὶ

de Crète; si la maladie est compliquée d'un refroidissement, on fait bouillir dans l'huile de la rue, des baies de laurier, de la nielle ou du fenouil, et on ajoute du bitume de Judée ou de l'huile aux baies de laurier; si les douleurs sont accompagnées de quelque inflammation, on remplace les échauffants par des relâchants; on fait donc bouillir de l'aneth dans l'huile et on ajoute de la graisse de poule ou d'oie. La décoction d'une botte de polium ou la décoction de *calaminthe* dans laquelle on a mis un peu de miel et une drachme de poivre sont des remèdes efficaces contre l'accumulation des gaz [dans l'estomac]. Voilà les remèdes qu'il faut employer quand il est survenu une douleur très-forte; si, au contraire, les douleurs sont modérées, il suffit de faire des fomentations au millet ou avec du linge écru. Une très-grande ventouse qui recouvre le nombril délivre souvent instantanément les malades de leurs accidents. Soit qu'on prenne le castoréum à l'intérieur dans de l'eau vinaigrée, soit qu'on l'applique à l'extérieur avec de l'huile de Sicyone, il soulage les malades dont il s'agit, lors même que l'accumulation de gaz serait accompagnée de coliques. Un astragale de cochon, brûlé et

3. ἐνέψειν ex em.; ἑψεῖν Codd. — 13-14. ἐπιτιθέμενον Gal.; τιθέμενον Codd.
5. ἐνέψων ex em.; ἑψῶν Codd. —

ὕειος δὲ ἀσπράγαλος καυθεὶς καὶ ποθεὶς σπρόφους καὶ ἐμπνευματώσεις ἰᾶται, καὶ ἀριστολοχία σπρογγύλη. Τὰς δὲ διὰ ἔμφραξιν τῆς 8
κοιλίας ὀδύνας, ἢ διὰ παχύτητα γινομένας αἵματος, ἢ διὰ ψῦξιν οἶνος πινόμενος ἀκρατέστερος μετὰ τροφὴν ὀνίνησιν· ὕπνου δὲ
5 ἐπιγενομένου καὶ τελείως αὐτὰς ἀποπαύει.

ιβ'. Περὶ τῶν παρὰ φύσιν τῆς γαστρὸς ἐκκρίσεων.

Ἐν ταῖς παρὰ φύσιν τῆς γαστρὸς ἐκκρίσεσιν, ὅταν μὲν ἰσχυραὶ 1
προθυμίαι συμβαίνωσιν, ἐκκρίσεις δὲ γίνωνται, πιμελώδεις μὲν τὰ πρῶτα καὶ μυξώδεις, ὕστερον δὲ καὶ ξυσματώδεις, εἶτα καὶ βραχέος αἵματος ἔκκρισις ἐπεσταγμένου τῷ διαχωρήματι, οὐκ ἀναμεμιγμέ-
10 νου, περὶ τὸ ἀπευθυσμένον ἔντερον ἡ διάθεσις ἐνεῤῥιζῶσθαι φαίνεται, καὶ καλεῖται τεινεσμὸς τὸ πάθος· ὅταν δὲ ἄνευ τοῦ προηγήσασθαι πιμελώδεις ἐκκρίσεις ἐπὶ ταῖς χολώδεσιν εὐθέως αἱ ξυσματώδεις

donné délayé dans l'eau, guérit les coliques et les accumulations de gaz; l'aristoloche ronde a les mêmes propriétés. Quand on boit après le repas 8
du vin à peu près pur, cela soulage les douleurs qui tiennent à une obstruction de l'estomac, à la présence d'un sang épais dans cet organe ou à son refroidissement; s'il survient du sommeil, ce remède fait entièrement cesser les douleurs.

12. DES DIVERSES ESPÈCES DE SELLES CONTRE NATURE.

Les excrétions alvines contre nature qui sont accompagnées d'envies 1
pressantes d'aller à la garde-robe, qui commencent d'abord par des déjections graisseuses et muqueuses, lesquelles sont remplacées plus tard par des matières ressemblant à des raclures, faisant place à leur tour à des selles sanguinolentes où le sang n'est pas mêlé aux autres matières, mais seulement répandu goutte à goutte sur elles, proviennent d'une maladie qui s'est enracinée dans le rectum et à laquelle on donne le nom de *ténesme;* les selles bilieuses immédiatement suivies de selles qui ressemblent à des raclures et qui n'ont pas été précédées d'excrétions graisseuses, lorsque ces raclures sont accompagnées toujours de mor-

CH. 12; l. 7. γίνωνται ex em.; γίνονται Codd.

ἐσΊι μεταφέρειν ἐπὶ πάντα τὰ λεπΊύνοντα καὶ τέμνοντα χωρὶς δή-

Médicament dont on saupoudre les boissons et qu'on emploie contre les 7
calculs : Fruit du baumier, pierre qu'on trouve dans les éponges, pouliot desséché, graine desséchée de mauve *sauvage*, en quantités égales.
Pilez, passez au tamis, et donnez une cuillerée de ce médicament avec 8
deux cyathes de vin coupé. L'inflammation des reins et de la vessie a 9
un traitement spécial; en effet, les résidus séreux sont expulsés à travers ces organes, et, pour cette raison, on ne doit employer aucune substance qui pousse aux urines, lorsque, dans tout le corps, ces résidus ont des propriétés âcres et bilieuses, attendu que les diurétiques feraient, dans ce cas, du tort aux parties enflammées, en amenant sur elles des humeurs qui causent des mordications; si, au contraire, il n'existe rien de pareil, et si l'ensemble du corps n'est pas imprégné d'humeurs mauvaises, donnez à boire de l'eau miellée contenant plus d'eau que de coutume; cette boisson résout l'inflammation, en évacuant, sans causer de mordications, les humeurs enclavées, attendu qu'elle
a des propriétés incisives, atténuantes et raréfiantes. Ce que nous venons 10
de dire du miel, à titre d'exemple, peut s'appliquer à toutes les substances qui sont douées de propriétés atténuantes et incisives sans causer

5. γάρ om. Codd. — 5-6. διόπερ A. — 9. εἴη] ᾖ BFP. — 10. ὑδατωδεσΊέρου F. — 13. ἐσΊι om. F; καί BP. — 14. τά om. BFP.

11 ξεως. Ὥσπερ δὲ πᾶσι τοῖς μορίοις φλεγμαίνουσιν, οὕτω καὶ τούτοις
ἄμεινον ἦν ἡσυχάζειν· ἐπεὶ δὲ ἀδύνατον ἡσυχάζειν οὐρητικοῖς οὖσιν
αὐτοῖς ὀργάνοις, ὀλίγιστον διδόναι δεῖ τὸ ποτὸν, ὅπως, ὡς δυνατὸν,
12 πλείονα χρόνον ἡσυχάζῃ. Σκεπτέον δὲ μή ποτε τὸ πᾶν σῶμα
μεστόν ἐστι δριμέων περιττωμάτων· τούτου γὰρ τυγχάνοντος, κἂν 5
ἐπὶ τὴν κύστιν καὶ τοὺς νεφροὺς ὑγρὰ φέρηται, μᾶλλον ἀνιάσει·
πλεῖον δὲ διδόντων τὸ ποτὸν ἧττον, ἀμβλυνομένης ὑπὸ αὐτοῦ τῆς
δριμύτητος, καὶ μάλιστα μιγνύντων ἡμῶν τῶν τὰς δήξεις ἀμβλυ-
13 νόντων. Ἐν δὲ τῷ καιρῷ τῶν φλεγμονῶν καταπλάσματά τε καὶ φάρ-
μακα προσάγειν χρὴ, καὶ αἰονήσεις διὰ ἐλαίου τε καὶ τῶν ἄλλων 10
14 ὅσα φλεγμονὰς λύει.—Πρὸς φλεγμονώδεις διαθέσεις τῶν νεφρῶν καὶ
15 τῆς κύστεως· Λινοσπέρμου ∠β', ἀμύλου ∠α'. Δίδου ἐν ὕδατι κο-
16 χλιάριον σύμμετρον πίνειν. Ἀλγήματα περὶ λαγόνας καὶ ἐκ δια-

11 de mordications. De même que pour toutes les autres parties enflammées, le repos serait préférable pour les reins et pour la vessie; mais cela leur étant impossible, parce que ce sont des organes destinés à la transmission des urines, on doit donner très-peu à boire, afin
12 qu'ils se reposent le plus longtemps possible. Considérez si l'ensemble du corps n'est pas rempli de résidus âcres, car, s'il en est ainsi, les liquides, en se portant vers les reins et la vessie, aggraveront leurs souffrances; si, au contraire, on augmente la quantité des boissons, ces organes seront moins incommodés, parce que les boissons amortissent l'âcreté des liquides, surtout quand on y met des substances
13 qui amortissent les mordications. A l'époque de l'inflammation, on emploie des cataplasmes, des médicaments, des affusions d'huile, et tous les autres moyens de traitement qui amènent la résolution des
14 inflammations. — *Remède contre les maladies inflammatoires des reins et de la vessie :* Graine de lin deux drachmes, amidon une drachme.
15 Donnez à boire dans de l'eau une cuillerée de moyenne grandeur de ce
16 médicament. Des douleurs dans la région des iles, des horripilations

2. ἀδύνατόν ἐστιν A. — 5. τῶν περιττωμάτων A. — Ib. τοῦτο τυγχάνον τε BP. — 6. ἀνιάσει *ad Enn.*: ἀνιῶσι A; ἂν ἰάσῃ F; ἰάσῃ BP. — 7. τό om. F. — 11. ὅσα τε φλ. A. — Ib. φλεγμονώδη διάθεσιν BP. — 12. τῆς om. BP.

λειμμάτων ἀνώμαλοι φρῖκαι, πυρετοί τε ἐπὶ τούτοις ἄτακτοι σημαίνουσιν ἐν νεφροῖς ἀπόστασιν, ἧς πεφθείσης πύον διὰ οὔρων ἐκκριθὲν ἕλκος ἀποδηλοῖ, ταχείας χρῄζον τῆς βοηθείας· εἰ γὰρ μὴ εὐθὺς ἀπουλωθείη, δύσκολον τὴν ἴασιν ἔχει. — Διορίζειν δὲ τῶν ἐν νεφροῖς 17
5 ἑλκῶν τὰ κατὰ τὴν κύστιν ἔκ τε τῆς θέσεως καὶ τῆς ἐνεργείας καὶ τῆς ἰδιότητος αὐτῶν τῆς οὐσίας καὶ τῆς δυνάμεως· ἐκ μὲν τῆς θέσεως, κύστεως μὲν πασχούσης εἰς κτένα καὶ ὑπογάστριον αἴσθησις γίνεται τῆς ὀδύνης· νεφρῶν δὲ κατὰ τὰς ψόας ὀπίσω· ἐκ δὲ τῆς ἐνεργείας δυσουρία μὲν καὶ στραγγουρία διοχλεῖ τῆς κύστεως τὴν
10 αἰτίαν ἐχούσης, ἀκώλυτοι δέ εἰσιν αἱ οὐρήσεις τῶν νεφρῶν πεπονθότων· ἐκ δὲ τῆς τοῦ σώματος ἰδιότητος, σάρκες μὲν ἰνώδεις ἐκ νεφρῶν διαχωροῦσι, λεπίδες δὲ ὑμενώδεις τῆς κύστεως ἠλκωμένης· ἐκ δὲ τῆς δυνάμεως, κύστεως μὲν ἰσχυρῶς ὀδυνωμένης ἐπὶ ταῖς ἑλκώ-

irrégulières survenant par intervalles, et après cela des fièvres désordonnées, indiquent qu'il existe un abcès dans les reins; si, après la maturation de cet abcès, il se fait une excrétion de pus par les urines, ce signe révèle l'existence d'un ulcère qui exige qu'on le traite sans tarder, car, si cet ulcère n'est pas immédiatement cicatrisé, il devient difficile à guérir. — Les signes qui servent à distinguer les ulcères des reins de 17
ceux de la vessie sont tirés de la position, de la fonction, de la spécialité de la substance, et de l'intensité; les signes tirés de la position consistent en ce que, dans les affections de la vessie, les malades sentent de la douleur au pubis et dans la partie inférieure du ventre, tandis que, dans celles des reins, les douleurs ont leur siége en arrière à l'intérieur des lombes; quant à la fonction, les malades, dans les affections de la vessie, évacuent difficilement les urines et les rendent goutte à goutte, tandis que, dans les affections des reins, l'émission de ce liquide n'éprouve pas d'obstacle, eu égard à la spécialité de la substance des organes urinaires; en cas d'ulcération, les reins laissent échapper des chairs fibreuses, et la vessie des écailles membraneuses; enfin, pour ce qui regarde l'intensité, la vessie occasionne des douleurs intenses

2. ἀποστάσεις BP. — 3. ἀποδηλοῖ e conj.; ἀποτελεῖ Codd. — 5. τά om. F. — 1b. τήν om. A. — 7. κύστεως πασχ. γάρ A. — 9. μέν om. A.

σεσι, νεφρῶν δὲ ἀμυδρῶς, καὶ ὥσπερ ἐγκειμένου ταῖς ψόαις βάρους
18 αἴσθησιν ἐχόντων. Καὶ ἐν τοῖς οὐρητικοῖς δὲ πόροις συνίσταί ποτε
ἕλκωσις, καὶ πύον οὐρεῖται καὶ αἷμα· κεῖνται δὲ οὗτοι μεταξὺ νε-
19 φρῶν τε καὶ κύστεως. Αἰδοίου δὲ ἑλκωθέντος πύον καὶ αἷμα διαχω-
20 ρεῖται καὶ χωρὶς οὔρων. — Πρὸς τὰ ἐν νεφροῖς ἀποστήματα καὶ κύ- 5
στει· Λινοσπέρμου, σικύου σπέρματος, μήκωνος λευκῆς σπέρματος,
21 τραγακάνθης ἀνὰ ∠β', ἀμύλου ∠δ'. Τροχίσκους ἀνάπλαττε καὶ δί-
22 δου. — Πρὸς τὰ ἐν κύστει ἕλκη μετὰ φλεγμονῆς· Στροβίλια κ', σικύου
ἡμέρου σπέρματος κόκκους μ', ἀμύλου, νάρδου ἀνὰ ∠α', σελίνου
23 σπέρματος ∠ε'. Ἐν ξέστῃ ὕδατος ἕψεται νάρδος, σέλινον, εἶτα τοῦ 10
24 ἀφεψήματος μίγνυνται τοῖς προγεγραμμένοις κύαθοι β'. Πρὸς τοὺς
αἱμορραγοῦντας ἀπὸ κύστεως· Σχιστῆς ∠α', τραγακάνθης ∠β', κόμ-
25 μεως ὀβολοὶ ε'. Ἐν γλυκεῖ δίδου.

quand elle est ulcérée, et les reins en causent de sourdes, qui donnent, pour ainsi dire, la sensation d'un poids situé à la région intérieure des
18 lombes. Quand parfois il se forme une ulcération dans les canaux urinaires, canaux qui sont placés entre les reins et la vessie (*uretères*), les
19 malades urinent du pus et du sang. Si le membre génital est ulcéré, il passe du pus et du sang même en dehors de l'émission des urines. —
20 *Contre les suppurations des reins et de la vessie :* graine de lin, graine de concombre, graine de pavot blanc, gomme adragant, de chacune deux
21 drachmes, amidon deux drachmes. Faites des pastilles et administrez-
22 les. — *Remède contre les ulcères de la vessie compliqués d'inflammation :* vingt pignons doux, quarante pepins de concombre cultivée, amidon
23 et nard de chacun une drachme, graine de céleri cinq drachmes. On fait bouillir le nard et le céleri dans un setier d'eau, après quoi on ajoute deux cyathes de cette décoction aux [autres] substances énumé-
24 rées. — *Remède contre les écoulements de sang venant de la vessie :* alun de plume une drachme, gomme adragant deux drachmes, gomme ordi-
25 naire cinq oboles. Donnez ces ingrédients dans du vin d'un goût sucré.

2. ἔχοντες BP. — Ib. δέ om. AF.

κε'. Περὶ σκληρίας νεφρῶν. Ἐκ τῶν Ῥούφου.

Ὅσαι δὲ σκληρότητες κατὰ νεφροὺς γίνονται, ὀδύνας μὲν οὐκέτι 1
παρέχουσι, δοκεῖ δὲ ὥσπερ τι βάρος αὐτοῖς ἐκ τῶν κενεώνων κρέ-
μασθαι, καὶ ναρκώδεις μέν εἰσι τὰ ἰσχία, ἀκρατεῖς δὲ σκελῶν, οὐ-
ροῦσί τε ὀλίγα· τὴν δὲ ὅλην ἕξιν τοῖς ὑδατουμένοις μάλιστα ἐοίκα-
5 σιν. Τούτους ἀπαλύνειν κηρωταῖς καὶ μαλάγμασι καὶ τρίψεσι καὶ 2
πυριάμασι, καὶ οὐρητικὰ προσφέρειν, καὶ τὴν γαστέρα ὑποκλύζειν.

κς'. Περὶ ἀτονίας νεφρῶν.

Ἔστι δὲ καὶ ἥδε ἡ νόσος νεφρῶν· οὐ δύνανται τὰ οὖρα ἠθεῖν, 1
ἀλλὰ εὐρύτεροι ὄντες χαλῶσί τι καὶ τοῦ αἵματος ἐκ τῆς φλεβὸς,
καὶ ἄλλας παχύτητας ἐῶσιν. Τούτοις συμφέρει σῖτα στρυφνὰ, καὶ 2

25. DE L'INDURATION DES REINS. — TIRÉ DE RUFUS.

Les indurations qui se développent dans les reins ne causent au- 1
cune douleur, mais il semble aux malades qu'un poids est suspendu à leur corps dans la région des iles ; ils sentent de la torpeur aux hanches, ne peuvent diriger les mouvements des jambes, et urinent peu; pour l'habitude générale du corps, ils ressemblent surtout aux hydropiques. Dans ce cas, il faut amollir les reins à l'aide de malagmes, de frictions, 2
administrer des substances qui poussent aux urines, et relâcher le ventre avec des lavements.

26. DE LA FAIBLESSE DES REINS.

La maladie suivante a encore son siége dans les reins : ces organes ne 1
peuvent filtrer les urines, mais, comme ils sont trop largement percés, ils laissent échapper aussi une partie du sang des veines et encore d'autres matières épaisses. Ce qui convient en un tel état, ce sont les ali- 2

Ch. 25; l. 4. τε Ruf.; δέ Codd.; — Ib. ὑδατουμένοις Ruf.; οἰδουμένοις Codd. — 6. ὑποκλύζειν Ruf.; ἀποκλύζειν Codd. — Ch. 26; l. 7. ἠθεῖν Ruf.; ἴσχειν AF; ἔχειν BP. — 8. καί Ruf.: om. Codd.

οἶνοι μέλανες, καὶ τῶν οὐρητικῶν ἀπέχεσθαι, καὶ λαγνεύειν ὅτι ἥκιστα, καὶ πίνειν τὰ τῶν αἱμορῥαγιῶν φάρμακα, μάλιστα πολυγόνου χυλὸν, καὶ τραγάκανθαν ἐν οἴνῳ βεβρεγμένην, καὶ συμφύτου τῆς ῥίζης τὸ ἀφέψημα· ἐπιτιθέναι δὲ καὶ τῇ ὀσφύι ἔξωθεν τὰ πρὸς τοὺς ῥοῦς καὶ τὰς πλύσεις τοῦ αἵματος· μετὰ δὲ ταῦτα ἀνατρέφειν 5
3 γάλακτι ὀνείῳ καὶ σιταρίοις καὶ κρέασιν. Εἰ δὲ κατὰ περίοδον αἵματος οὔρησις γίνεται, πρὶν ἢ μὲν κενωθῆναι τοῦ αἵματος βαρεῖς
4 κατὰ ὀσφὺν καὶ ἐπώδυνοί εἰσιν· κενωθέντες δὲ ὑποκουφίζονται. Χρὴ οὖν φλέβα τέμνειν ἐν ἀγκῶνι ὀλίγον πρὸ τῆς περιόδου, διαιτᾶν δὲ ὥστε πληθώραν μὴ ἐγγίνεσθαι. 10

κζ'. Περὶ ψωριώσης κύστεως.

1 Ὅταν πιτυρώδη λέμματα μετὰ τῶν οὔρων ἐκκρίνηται, σημαίνει

ments fortement astringents, les vins noirs, l'abstinence des substances qui poussent aux urines, une modération aussi grande que possible dans l'usage des rapprochements sexuels, les boissons médicamenteuses qu'on prescrit contre les écoulements de sang, surtout celle du suc de bistorte, de la gomme adragant macérée dans le vin, et la décoction de racine de consoude; on place à l'extérieur sur les lombes les médicaments qu'on emploie contre les écoulements et le crachement de sang; après cela, on restaure le corps avec du lait d'ânesse, des aliments fari-
3 neux et de la viande. S'il survient un écoulement périodique de sang par les urines, les malades éprouvent, avant l'expulsion du sang, de la pesanteur et des douleurs aux lombes, tandis qu'ils se sentent soulagés
4 quand l'écoulement a eu lieu. On pratique une saignée au pli du bras peu de temps avant l'accès, et on prescrit un régime qui empêche le développement de la pléthore.

27. DE LA PSORE DE LA VESSIE.

1 Lorsque les malades rejettent avec les urines des pellicules qui res-

1-2. λαγνεύειν..... φάρμακα om. BP. ἐκκρίνονται ABP. — Ib. σημαίνη A; — 8. κενωθέντα BFP. — Ch. 27; l. 11. σημεῖον BP.

ψωριᾶν τὰς φλέβας ἢ τὴν κύστιν· διορισθήσεται δὲ τῇ λεπτότητι καὶ τῷ πάχει τῶν οὔρων· τὰ μὲν γὰρ λεπτὰ πεπονθέναι τὰς φλέβας ἐνδείξεται· τὰ δὲ οὐ λεπτὰ τὴν κύστιν.

κη'. Περὶ φλεγμονῆς κύστεως. Ἐκ τῶν Ῥούφου.

Χαλεπώτερον καὶ θανατωδέστερόν ἐστι φλεγμονὴ κύστεως· πυ- 1
ρέτουσί τε γὰρ ὀξέως καὶ ἀγρυπνοῦσι καὶ παραπαίουσι καὶ ἐμοῦσι
χολώδη ἄκρατα, καὶ οὐρεῖν οὐ δύνανται. Τούτοις, ἢν δύνῃ, φλέβα 2
τέμνε, μὴ εἰς μακρὰν δὲ τέμνε, καὶ τοῖς ἐπιβρέγμασι συνεχῶς
θέρμαινε. Ἡψήσθω δὲ ἐν τῷ ἐλαίῳ πήγανον καὶ ἄνηθον καὶ ἀλθαίας 3
ῥίζα, καὶ ἡ κοιλία ὑποκλυζέσθω μαλακῷ κλύσματι· ἄμεινον δὲ εἰ
καὶ μήκωνα συνέψων τῷ ἐλαίῳ, καὶ εἰ χηνὸς στέαρ διατήκων, ἢ ὄρ-
νιθος ἐγχέοις. Ἐγὼ δέ ποτε καὶ ὀποῦ μήκωνος ἡμιωβόλιον μετὰ 4

semblent à du son, c'est un signe que les veines ou la vessie sont frappées de *psore* : si les pellicules sont minces, elles indiquent que les veines sont le siége de l'affection; si elles ne le sont pas, la vessie est malade.

28. DE L'INFLAMMATION DE LA VESSIE. — TIRÉ DE RUFUS.

L'inflammation de la vessie est plus grave et menace plus fortement 1
la vie des malades [que celle des reins]; en effet, dans cette inflammation, les malades ont une fièvre aiguë, de l'insomnie, du délire, des
vomissements de bile pure et ne peuvent uriner. Vous pratiquerez 2
donc une saignée, si vous le pouvez, mais ne différez pas longtemps;
réchauffez constamment par l'emploi des embrocations. Donnez un lave- 3
ment émollient pour relâcher le ventre avec une décoction d'aneth et de racine de guimauve, dans de l'huile de rue; mieux vaut encore faire bouillir aussi du pavot dans l'huile, ou donner un lavement de graisse fondue d'oie ou de poule. Quelquefois aussi j'ai dissous dans l'huile 4
une demi-obole de suc de pavot avec de la myrrhe et un peu de safran,

CH. 28; l. 6. Τούτοις, ἢν δύνῃ] Τούτοις ἤκης (ἤκης P) ὀδύνη BP. — 7. τέμνε Ruf. τέμνειν Codd. — Ib. μακρὰν δὲ τέμνε Ruf.; μακρὰν τέμνειν Codd. — 8. θέρμαινε ex em.; θερμαίνειν Codd. — 9. ἐπικλυζέσθω BFP. — 10. καὶ εἰ Ruf.; καί BFP; ἢ καί A. — 11. ἐγχέων BFP.

σμύρνης καὶ κρόκου ὀλίγου διαλύσας εἰς ἔλαιον ὑπέθηκα, ὥσπερ τοὺς πεσσοὺς ταῖς γυναιξὶ, καὶ παραχρῆμα ἥ τε ὀδύνη ἐπαύσατο, 5 καὶ ἐκοιμήθη ὁ ἄνθρωπος. Καὶ πυρίαις δὲ χρῆσθαι συμφέρει, καὶ εἰς ὕδωρ θερμὸν ἐγκαθίζειν· ἔστω δὲ ἀφέψημα λινοσπέρμου καὶ τήλεως τὸ ὕδωρ, καὶ κηρωτὰς δὲ ἐπιτιθέναι διὰ ὑσσώπου καὶ καστο- 5 ρείου πεποιημένας.

κθ'. Περὶ ῥήξεως ἀγγείου ἐν κύστει.

1 Ὀξεῖα νόσος ἐστὶν ἐν κύστει καὶ ῥῆξις ἀγγείου· τοῦ δὲ αἵματος 2 τὸ μὲν ἔξω διαδίδοται, τὸ δὲ εἴσω πήγνυται. Πρὸς μὲν οὖν τὴν αἱμορραγίαν προσάξεις τὰ αὐτὰ ὅσα καὶ ἐπὶ τῶν ἄλλων αἱμορραγιῶν, 3 πίνειν τε διδοὺς τὰ ἐπιτήδεια φάρμακα καὶ ἔξωθεν ἐπιβάλλων. Οἷς 10 δὲ πήγνυται τὸ αἷμα ἐν τῇ κύστει, τὰ μὲν πρῶτα πειρᾶσθαι λύειν αὐτὸ φαρμάκοις, τῆς τε ἀρτεμισίας διδόντα πίνειν, καὶ τοῦ ἐλιχρύ-

et j'en ai fait un suppositoire que j'appliquai de la manière dont on introduit les pessaires chez les femmes; la douleur cessa immédiatement 5 et le malade s'endormit. Il est également utile d'employer des fomentations et d'administrer des bains de siége d'eau chaude; seulement cette eau doit consister en une décoction de graine de lin ou de fenugrec; on applique aussi des cérats préparés avec de l'*hysope* et du castoréum.

29. DE LA RUPTURE D'UN VAISSEAU DANS LA VESSIE.

1 La rupture d'un vaisseau dans la vessie est une maladie aiguë; une partie du sang est transmise à l'extérieur, tandis qu'une autre partie se 2 coagule à l'intérieur. Contre l'écoulement de sang, administrez les mêmes remèdes que contre les autres hémorragies; ayez donc recours à des médicaments convenables, dont vous donnerez une partie à boire, tan- 3 dis que vous appliquerez l'autre partie à l'extérieur. Chez les malades dont le sang se coagule dans la vessie, on tâche d'abord de dissoudre les caillots à l'aide de médicaments; à cet effet, on donne à boire soit

1. ὀλίγου AF. — Ib. ὑπολύσας A. — 3. ξυμφέρει BP. — Ch. 29; l. 9. τὰ αὐτά ex em.; ταῦτα AF; τοιαῦτα BP. — 10. ἐπίβαλλε BP. — 11. τῇ om. BP.

σου, καὶ τοῦ ὀποῦ τοῦ κυρηναϊκοῦ, καὶ τοῦ σιλφίου, καὶ τῆς κονύζης, καὶ τοῦ ἀψινθίου, καὶ ῥαφανῖδος τοῦ σπέρματος, καὶ βάτου χυλοῦ, καὶ σελίνου χυλοῦ, ἐν ὄξει κεραννύοντα ἕκαστον, ἢ λαγωοῦ πυτίαν, ἢ νεβροῦ, ἢ ἐρίφου, διέντα οἴνῳ· μετὰ δὲ ταῦτα εἰ μὴ λύοιτο, τέμνειν κάτωθεν τὸν περίνεον ὥσπερ ἐπὶ τῆς λιθιώσης κύστεως, καὶ κομισάμενον τοὺς θρόμβους τἄλλα ὡς τὰ αἱμοῤῥαγικὰ πειρᾶσθαι θεραπεύειν.

λ'. Περὶ τῶν ἐν κύστει φυμάτων.

Ὅσα δὲ ἐν κύστει φύματα πεπανθῆναι χρῄζει, τὸ μὲν κράτιστόν 1
ἐστιν ἔτι ἀρχομένων πειρᾶσθαι διαλύειν, ἵνα μὴ εἰς ἔμπυον τραπῇ· εἰ δὲ ἀδύνατον εἴη πεπαίνειν, οἷς καὶ τοὺς νεφροὺς ἔφαμεν κατα-

de l'armoise, du bouton d'or, du suc de Cyrène, du silphium, de la *conyse*, de l'absinthe, de la graine de raifort, du suc de ronce ou de céleri, médicaments qu'on mélange chacun en particulier avec du vinaigre; soit de la présure de lièvre, de faon ou de chevreau, délayée dans du vin; si, après cela, les caillots ne se dissolvent pas, on fait en bas une incision sur le périnée, comme cela se pratique pour les calculs de la vessie, et on enlève le sang coagulé; du reste, on tâche d'instituer le même traitement que celui qu'on emploie dans les [autres] écoulements de sang.

30. DES TUBERCULES DE LA VESSIE.

Pour tous les tubercules de la vessie qui ont besoin d'être amenés à 1
maturité, ce qu'on a de mieux à faire, c'est d'essayer de les dissoudre au début pour empêcher qu'ils n'arrivent à suppuration; s'il est impossible de les faire mûrir, on applique les mêmes cataplasmes dont il a déjà été question à propos des reins, et, en outre, ceux de cresson d'Alep,

2-4. καὶ βάτου... ἐρίφου om. BP. — 3. κεραννύοντα ex em.; κεραννύων AF. — 4. πιτύαν A Ruf.; πιτυίαν F. — Ib. διέντα ex em.; διείς Codd.; — 5. τὸν περιτόναιον BP. — Ib. ἐπί Aët.; om. Codd. — Ch. 30; l. 9. ἐστιν om. BP. — Ib. ὅτι BP; om. F. — 10. οἷς Ruf.; ἐν οἷς BFP. — Ib. φαμέν BFP. — 10-p. 519, l. 1. καταπλάσσειν Aët.; om. Codd.

πλάσσειν, καὶ προσέτι καρδάμῳ καὶ ἀλεύρῳ ὀροβίνῳ μετὰ μέλιτος, καὶ περισπερῶν κόπρῳ μετὰ ἰσχάδων, καὶ τοῖς πυριάμασιν.

λα'. Περὶ τῶν ἐν κύστει ἑλκῶν.

1 Τῶν δὲ ἑλκῶν τῶν ἐν τῇ κύστει θεραπεία ἡ αὐτὴ τοῖς κατὰ νε-
φροὺς ἕλκεσιν· μέγιστον δὲ κἀνταῦθα αἱ γαλακτοποσίαι καὶ ἡ ὑπό-
2 λοιπος χρηστὴ δίαιτα. Παρηγορεῖν δὲ καὶ φαρμάκοις, τοῦτο μὲν 5
ἄνωθεν τῷ ἤτρῳ περιβάλλοντα κηρωτὰς διά τε οἰσύπου πλυτοῦ καὶ
βουτύρου καὶ στύρακος καὶ χηνείου στέατος, τοῦτο δὲ εἰς τὸν οὐρη-
τῆρα ἐγχέοντα καὶ ὕδωρ καὶ γάλα καὶ ῥόδινον θερμαίνοντα, τοῦτο
δὲ καὶ εἰς τὸ ἕντερον ἐγχέοντα πτισάνης χυλὸν καὶ βούκερων, καὶ
σικύου σπέρμα μετὰ γάλακτος τετριμμένον, ἐπιστάζοντα ἑκάστῳ 10
3 τοῦ ῥοδίνου. Κλύζειν δὲ ἐν γόνασι κλίνοντα· οὕτω γὰρ ἀφίστανται

de farine d'ers combinée au miel, et d'excréments de pigeon avec des figues sèches; de plus, on a recours à des fomentations.

31. DES ULCÈRES DE LA VESSIE.

1 Le traitement des ulcères de la vessie est le même que celui des ulcères des reins; le point le plus important consiste également à boire habituellement du lait et à bien régler les autres détails du régime.
2 On apaise aussi les souffrances du malade à l'aide de médicaments, soit en appliquant à la région du pubis des cérats préparés avec du suint de laine lavée, du beurre, du styrax et de la graisse d'oie, soit en injectant dans l'urètre, de l'eau, du lait, ou de l'huile aux roses, chauds, soit enfin en donnant des lavements de crème d'orge mondée, de fenugrec, et de graine de concombre triturée avec du lait; dans chacun de ces lavements
3 on fera tomber quelques gouttes d'huile aux roses. Pour administrer les lavements, on place le malade sur les genoux, car, de cette manière,

1. καί om. BP. — Ch. 31; l. 3. ἐν κύστει ABP. — 4. μέγιστον Ruf.; μέγιστα AF; μεγίστη BP. — 6. περιβάλλοντα Ruf.; περιλαμβάνοντα AF; περιλαμβάνοντι BP. — 8. ἐγχέοντα Ruf.; ἐγχέοντας AF; ἐγχέας BP. — Ib. καί Ruf.; om. AF; τὸ BP. — 9. τὰ ἔντερα BP. — Ib. ἐγχέοντα Ruf.; ἐγχέοντας BFP; ἐγχρίοντας A. — Ib. καὶ βούκερων ex em.; καὶ βούκερον Ruf.; καὶ βούτυρον AF; καὶ βουτύρῳ BP. — 10. σικυίου F. — Ib. ἐπιστάζοντα Aët.; ἐπιστάζων F Ruf.; ἐπιστάζον BP; ἀποστάζων A. — Ib. ἑκάστῳ Ruf.; ἑκαστον A; ἑκάστη F; ἑκάστου BP. — 11. ἐν γόνασι Ruf.; ἐν γόνατι Codd.

αἱ κύστεις καὶ χαλῶσι τὸ ἔντερον, ὥστε εὐπετῶς δέξασθαι τὸ κλύσμα. Πυκνὰ δὲ καὶ εἰς θερμὸν ἐγκαθίζειν, καὶ τὰ ἄλλα ὅσα εἴρηται περὶ 4
τῶν ἐν νεφροῖς ποιεῖν.

λβ'. Περὶ διαβήτου. Ἐκ τῶν Γαληνοῦ.

Ἐμοὶ δοκοῦσιν οἱ νεφροὶ πεπονθέναι καὶ κατὰ τὸ πάθος ὅ τινες 1
5 μὲν ὕδερον εἰς ἀμίδα, τινὲς δὲ διάῤῥοιαν εἰς οὖρα, τινὲς δὲ διαβήτην, ἔνιοι δὲ δίψακον ὀνομάζουσι, σπανιώτατα γινόμενον· διψῶσί τε γὰρ ἀμέτρως οἱ ἐν τῷ πάθει τούτῳ τυγχάνοντες, πίνουσί τε διὰ αὐτὸ τοῦτο δαψιλὲς, οὐροῦσί τε τὸ ποθὲν ἐν τάχει τοιοῦτον οἷον ἐπόθη. Ἀτονίαν δὲ ἄν τις αἰτιάσαιτο τῶν νεφρῶν. 2

λγ'. Διαβήτου ἴασις. Ἐκ τῶν Ῥούφου.

10 Μέγιστον ἴαμα τῇ νόσῳ πιόντα ἐξεμεῖν αὐτίκα, πίνειν δὲ ψυ- 1

la vessie s'éloigne [du rectum] et donne du relâchement à l'intestin, de façon qu'il admet facilement le liquide. On donne aussi fréquemment 4
des bains de siége, et on a recours aux autres moyens de traitement dont nous avons conseillé l'emploi à propos des ulcères des reins. (Cf. chap. 24, p. 512-513.)

32. DU DIABÈTE. — TIRÉ DE GALIEN.

Il me semble que les reins sont aussi le siége de la maladie que les 1
uns appellent *hydropisie vers le vase de nuit*, les autres, *diarrhée vers les urines*, d'autres encore, *diabète*, et quelques-uns enfin, *maladie de la soif*; c'est une maladie extrêmement rare; ceux qui en sont frappés ont une soif démesurée, et, pour cette raison même, ils boivent abondamment et rejettent rapidement par les urines les boissons dans le même état où elles ont été avalées. On pourrait regarder la faiblesse des reins 2
comme la cause de cette maladie.

33. TRAITEMENT DU DIABÈTE. — TIRÉ DE RUFUS.

Le remède souverain pour cette maladie consiste à vomir immédiate- 1

2. ὅσα] ὡς ABP. Ch. 32; l. 7. καὶ πιν. τε F; καὶ π. BP. — 8. δαψιλῶς AF.

χρότατον, καὶ τῇ ἄλλῃ δὲ διαίτῃ ὡς ψυχροτάτῃ χρῆσθαι, τῶν τε ἡψημένων λαχάνων ἐσθίοντα, καὶ κυκεῶνα πίνοντα, καὶ πλισάνης χυλὸν ῥοφοῦντα· οὐρητικὸν δὲ μηδὲν προσφέρειν, ἀντισπᾷν δὲ καὶ
2 εἰς ἱδρῶτας. Ἄριστον δὲ εἰ ἐν πίθῳ πυριῷτο ὑπερέχων ἄνω τὴν κε-
φαλὴν, ὥστε τὸ μὲν ἄλλο σῶμα θερμαίνεσθαι, ψυχρὸν δὲ ἕλκειν 5
3 ἀέρα, καὶ τὰ ἄλλα ὥσπερ καῦσον θεραπεύειν. Τήν τε οὖν πάλην τοῦ ἀλφίτου φυράσας ὄξει καὶ ῥοδίνῳ κατάπλατε τὸ ὑποχόνδριον, καὶ φύλλα ἀμπέλου τρίψας ἁπαλὰ, καὶ κοτυληδόνα, καὶ ἑλξίνην, καὶ ἀνδράχνην, καὶ ὅσα ἄλλα, προπότιζέ τε πολυγόνου χυλὸν συνεχῶς καὶ ἐλένιον ἐν οἴνῳ μέλανι, καὶ φοινίκων ἀπόβρεγμα, καὶ μύρτων 10
4–5 καὶ ἀπίων. Κατὰ ἀρχὰς δὲ καὶ φλέβα ἐν ἀγκῶνι τέμνειν. Χρησόμεθα δὲ ἐνίοτε καὶ τοῖς ναρκωτικοῖς φαρμάκοις.

ment après avoir bu; on boira de l'eau très-froide, et, sous tous les autres rapports, on suivra un régime aussi froid que possible, en mangeant des herbes potagères cuites, en buvant du cycéon, et en prenant de la crème d'orge mondé; seulement on n'administre aucune substance qui pousse aux urines, mais on opère une révulsion vers les sueurs.
2 Il est très-bon aussi que le malade prenne un bain de vapeur dans le tonneau en tenant sa tête dehors, de manière que son corps soit échauffé, pendant qu'il inspire de l'air froid; du reste, on prescrira le
3 même traitement que pour la fièvre ardente. On appliquera donc sur l'hypocondre un cataplasme de poussière d'alphiton mélangé avec du vinaigre et de l'huile aux roses, ou de feuilles tendres de vigne triturées, ou de cotylédon, de pariétaire de Judée, de pourpier, ou de toute autre substance analogue; avant le repas, on donne fréquemment à boire du suc de bistorte, de l'aunée dans du vin noir, ou une macéra-
4 tion de dattes, de baies de myrte ou de poires. Au commencement, on
5 fait aussi une saignée au pli du bras. Quelquefois on a recours aux médicaments-stupéfiants.

1-2. τῶν τε ἑψημένων F; τῶν τε ἑψομένων ABP. — 4. ὑπάρχων BP. — 6. Τό τε A. — Ib. πάλην Aët.; πάλιν Codd. — 8. καὶ κοτυληδόνα Ruf.; καὶ κοτυληδόνος Codd. — Ib. καὶ ἑλξίνην Ruf.; καὶ ἑλξίνης Codd. — 9. καὶ ἀνδράχνην Ruf.; καὶ ἀνδράχνης Codd. — Ib. προπότιζέ τε ex em.; προποτίζεται Codd.; προπότιζε δὲ καί Ruf. — 10-11. καὶ φοινίκων..... καὶ ἀπίων om. A. — 11. τέμνων AF.

λδ'. Περὶ τῶν ἐν αἰδοίοις καὶ ἕδρᾳ ἑλκῶν.

Τὰ δὲ ἐν αἰδοίοις ἕλκη καὶ τὰ κατὰ τὴν ἕδραν χωρὶς φλεγμονῆς 1
ὄντα ξηραινόντων πάνυ δεῖται φαρμάκων, οἷά ἐστι τό τε διὰ τοῦ
κεκαυμένου χάρτου, καὶ ἄνηθον κεκαυμένον ξηρὸν, καὶ κολοκύνθη
κεκαυμένη. Τοῖς δὲ ἀνίκμοις καὶ προσφάτοις τῶν ἑλκῶν καὶ ἡ ἀλόη 2
φάρμακον ἀγαθὸν ἐπιπατουμένη ξηρὰ χνοώδης. Πάντων δὲ αὐτῶν 3
ἀνωδυνώτατόν τε καὶ οὐδενὸς ἧττον δραστήριον ὁ πομφόλυξ ἐστίν·
εἰ δὲ ὑγρότερα τύχοι τὰ ἕλκη, πίτυος ὁ φλοιὸς κατὰ ἑαυτὸν, καὶ
λίθος αἱματίτης. Εἰ δὲ καὶ βάθος αὐτοῖς τι συνείη, τοῖς εἰρημένοις 4
μάννης μικτέον. Αἱ δὲ κατὰ μήτραν ἢ κύστιν ἑλκώσεις, τῶν αὐτῶν 5
δεόμεναι φαρμάκων, ὀργάνων χρῄζουσι τῶν εἴσω παραπεμψόντων
αὐτά· διὸ τῶν τηκτῶν καλουμένων φαρμάκων ἐπιτηδειότερα τὰ ξη-
ρότερα, οἷός ἐστι κρόκος καὶ πομφόλυξ καὶ ἀλόη μιγνύμενα ῥᾳδίως
εἴτε ἀρνογλώσσου, εἴτε ἑτέρου τοιούτου χυλῷ.

34. DES ULCÈRES DES PARTIES GÉNITALES ET DU SIÉGE.

Les ulcères des parties génitales ainsi que ceux du siége exigent 1
l'emploi de médicaments fortement desséchants, comme le médicament
au papier brûlé, l'aneth desséché et brûlé, et la courge brûlée. C'est 2
un bon remède contre les plaies récentes et dépourvues d'humidité que
de les saupoudrer d'aloès sec réduit en poudre impalpable. De tous les 3
médicaments usités en pareil cas, les fleurs de zinc sont celui qui cause
le moins de douleur, bien qu'il n'en soit pas moins efficace; quand les
ulcères sont trop humides, il vaut mieux appliquer l'écorce de pin seule
ou la pierre hématite. Si les ulcères ont, en outre, de la profondeur, on 4
ajoute de la poussière d'encens aux médicaments énumérés. Les ulcères 5
de la matrice et de la vessie exigent l'emploi des mêmes médicaments;
mais, en outre, il est nécessaire d'introduire ces médicaments dans l'in-
térieur à l'aide d'un instrument; voilà pourquoi les médicaments un
peu secs leur conviennent mieux que ceux qu'on nomme fusibles; à la
première classe appartiennent le safran, les fleurs de zinc et l'aloès qu'on
mélange facilement soit avec du suc de plantain, soit avec celui d'une
autre plante analogue.

CH. 34; l. 5. αὐτοῖς ἐπιπ. A. — 11. τῶν τοκετ. BP. — 13. ἑτέρῳ τοιούτῳ BFP.

λε'. Πρὸς τὰς τῶν διδύμων καὶ τοῦ αἰδοίου διαθέσεις.

1 Πρὸς τοὺς τοῦ ὀσχέου καὶ τοῦ αἰδοίου πόνους βουτύρῳ καὶ ῥη-
τίνῃ ἴσοις χρῶ· ἢ λινόσπερμον μετὰ ὕδατος ἑψήσας, καὶ μίξας
2 σμύρνης ὅσον δέκατον μέρος, καὶ ῥητίνης ἴσον κατάπλασσε. Πρὸς
δὲ τὸ οἰδοῦν αἰδοῖον ἀμπέλου φύλλα τριάκοντα, λιβανωτοῦ ∠α',
3 ψιμμιθίου ∠ε' τρίψας κατάπλασσε. Χρῶ δὲ καταντλήσει θαλάσσῃ 5
4 ψυχρᾷ, καὶ ἀναπαύσει καὶ ἀναδέσει τοῦ καυλοῦ. Ἐὰν δὲ ἀπὸ ἱδρώ-
των ἕλκη ἐν ὀσχέῳ γένηται, κηκῖδα λείαν, ἢ σλυπληρίαν ἐπίπασσε.
5 Πρὸς δὲ τὰ ἐν αἰδοίοις φυόμενα θυμία ἐλατήριον ἐπίπασσε, ἀπίου
σπέρμα τρίψας ἐπιτίθει, ἢ μαινίδων εἰκοσιπέντε κεφαλὰς τρίψας
6 ἐπίπασσε, καὶ τραγείᾳ χολῇ περίχριε. Ῥαγάδας δὲ τὰς ἐν αἰδοίοις 10
ὠφελεῖ ῥητίνη φρυκτὴ σὺν ῥοδίνῳ τριβεῖσα ἄχρις οὗ γλοιωθῇ, μι-

35. REMÈDES CONTRE LES MALADIES DES TESTICULES ET DU MEMBRE VIRIL.

1 Employez contre les douleurs du scrotum et du membre viril des
quantités égales de beurre et de résine, ou faites bouillir de la graine
de lin dans de l'eau, et préparez-en un cataplasme en ajoutant la dixième
2 partie de myrrhe et une quantité égale de résine. Contre la tuméfaction
du membre viril appliquez un cataplasme de trente feuilles de vigne,
d'une drachme d'encens et de cinq drachmes de céruse triturées en-
3 semble. Ayez aussi recours à une affusion d'eau de mer froide, au repos
4 et à la déligation du membre viril. Si les sueurs ont produit des
plaies au scrotum, saupoudrez-les de noix de galle ou d'alun réduits
5 en poudre impalpable. Pour combattre les petites thymes qui poussent
sur les parties génitales, saupoudrez-les de suc de concombre sauvage,
ou des têtes triturées de vingt-cinq mendoles [salées], ou appliquez
des pepins de poire triturés, ou employez comme liniment de la bile de
6 bouc. Les fissures des parties génitales sont soulagées par de la résine
torréfiée, qu'on triture avec de l'huile aux roses jusqu'à ce qu'elle ait
acquis la consistance de la crasse des baignoires, et à laquelle on ajoute

CH. 35; l. 1. καὶ τοῦ om. BP. — 3. ABP. — 10. Καὶ ῥαγάδας δὲ τὰς ἐν αἰδ. ὅσον Gal.; om. Codd. — Ib. κατάπασσε BFP.

γυμνένης καὶ ᾠοῦ λεκίθου ὀπτῆς, κισσοῦ φύλλων ξηρῶν κεκαυμένων ἢ τέφρα τριβεῖσα σὺν ἐλαίῳ ἐν θυίᾳ μολιβδίνῃ.

λς'. Πρὸς τὰς τῶν διδύμων φλεγμονάς.

Σταφίδας ἐκγεγιγαρτισμένας καὶ κύμινον τρίψας ἐπιτίθει· ἢ ἄλευ- 1
ρον κρίθινον ἑψήσας ἐν μελικράτῳ ἢ ἀμπέλου φύλλα ἁπαλὰ τρίψας
5 μετὰ ἀλφίτου πάλης ἐπιτίθει· ἢ κύμινον τρίψας μετὰ βουτύρου καὶ
ῥητίνης ἴσων τακέντων. Πρὸς δὲ τοὺς ἀφθῶντας διδύμους γῇ κιμω- 2
λίᾳ μετὰ ὕδατος προκαταχρίσας ἔασον ξηρανθῆναι, καὶ κατανίψας
ὕδατι θερμῷ μυρσίνην ξηρὰν λείαν καὶ σμυρνίου μικρὸν τρίψας κα-
τάπλασσε. Τὰς δὲ ἐκσαρκώσεις τὰς ἐπὶ τῶν διδύμων τέφρα κλημα- 3
10 τίνῃ σὺν νίτρῳ καὶ ὕδατι φυραθεῖσα ἰᾶται καταπλασσομένη.

un jaune d'œuf grillé, ou par des cendres de feuilles de lierre desséchées et brûlées, cendres qu'on triture avec de l'huile dans un mortier de plomb.

36. REMÈDES CONTRE LES INFLAMMATIONS DES TESTICULES.

Appliquez des raisins secs dont on a enlevé les pepins et du cumin 1
triturés ensemble, ou de la farine d'orge qu'on a fait bouillir dans de l'eau miellée, ou de jeunes feuilles de vigne triturées avec de la poussière d'alphiton, ou du cumin trituré dans un mélange de parties égales de beurre et de résine qu'on a fondus ensemble. Pour combattre les 2
aphthes de [l'enveloppe] des testicules (*scrotum*), on les enduit d'abord d'un mélange de terre de cimole et d'eau qu'on laisse sécher; après quoi on les lave avec de l'eau chaude et on applique un cataplasme composé de feuilles de myrte sèches et réduites en poudre impalpable, et d'un peu de smyrnium trituré. Les chairs luxuriantes qui viennent à pousser 3
sur [l'enveloppe] des testicules sont guéries par l'application d'un cataplasme de cendres de sarments qu'on mélange avec de la soude brute et de l'eau.

CH. 36; l. 7. ἀφθῶνας BP.

λζ'. Περὶ γονορροίας καὶ σατυριασμοῦ.

1 Γονόρροια σπέρματος ἀπόκρισις ἀκούσιός ἐστι συνεχῶς γινομένη χωρὶς τῆς κατὰ τὸ αἰδοῖον ἐντάσεως· ἐπὶ δὲ τοῦ σατυριασμοῦ πάλλει τὸ αἰδοῖον, ὥσπερ εἰ καὶ ἕτερόν τι τοῦ σώματος πάλλοι, καὶ εἰ μὴ παύσαιτο ὁ παλμὸς τοῦ αἰδοίου, κατασκήπτειν εἴωθεν εἰς πάρεσιν
2 τῶν σπερματικῶν ἀγγείων, ἢ σπασμόν. Σύντονον δέ ἐστι τὸ αἰδοῖον ἐν τοῖς σατυριασμοῖς διὰ παντὸς, καὶ ἀπόλλυνται ὀξέως οἱ οὕτω παθόντες· τελευτῶντες δὲ φυσῶνται γαστέρα καὶ ἱδροῦσι ψυχρὸν, ὁποῖα καταλαμβάνει καὶ τοὺς ἐπὶ τοῖς ἄλλοις σπασμοῖς ἀπολλυμέ-
3 νους. Ἔστι δὲ τὸ νόσημα σπάνιον μὲν καὶ γυναιξὶ δὲ συμβαῖνον.
4 Ὅταν οὖν πάλλῃ τὸ αἰδοῖον, τέμνειν χρὴ τὴν φλέβα καὶ δίαιταν ἐφεξῆς λεπτήν τε καὶ ἄοινον διαιτᾶν, καὶ καθῆραι μὲν μηδέποτε,
5 ἰσχνοῦν δὲ ἡσυχῇ. Ἄριστον δὲ τεῦτλον καὶ μαλάχη, καὶ τῆς λινο-
6 ζώστιδος ὀλίγον τούτοις μιγνύμενον, καὶ τῶν κογχαρίων ὁ ζωμός. Οὐ

37. DES PERTES SÉMINALES ET DU SATYRIASIS.

1 Les pertes séminales sont une excrétion fréquente et involontaire de sperme sans érection du membre viril; dans le satyriasis, au contraire, ce membre palpite comme pourrait le faire quelque autre partie du corps, et, si cette palpitation ne cesse pas, la maladie se transforme habituellement tout d'un coup en paralysie ou en convulsions des vaisseaux
2 spermatiques. Dans le satyriasis, le membre viril est toujours tendu, et les malades meurent vite; aux approches de la mort, leur ventre se gonfle et ils ont des sueurs froides, accidents qu'on observe également chez ceux dont la mort est amenée par les autres espèces de convulsions.
3 Cette maladie peut aussi survenir chez les femmes, mais cela est rare.
4 Contre la palpitation du membre viril, on pratique une saignée, et on prescrit un régime ténu, dans lequel on supprime le vin; de plus on
5 amaigrit doucement les malades, mais on ne les purge jamais. Les meilleurs remèdes pour obtenir cet effet sont la bette et la mauve, aux-
6 quelles on ajoutera un peu de mercuriale et le suc des coquillages. Il

3. πάλλει Codd.

κάκιον δὲ καὶ ἁπλῶς κλύζειν· τὰς δὲ οὐρητικὰς δυνάμεις φυλακτέον· ἐπιφέρειν δὲ καὶ τῇ ὀσφύι τῶν ψυχόντων, οἷον σπρύχνου χυλὸν, ἢ ἀνδράχνης, ἢ ὑοσκυάμου, ἢ κωνείου. Ἀναγκαῖον δὲ καὶ τὸν καυλὸν 7
καὶ τὸν περίνεον τῶν πραϋνόντων ψυκτηρίων τινὶ καταχρίειν, οἷον
5 λιθαργύρῳ καὶ κιμωλίᾳ καὶ ψιμμιθίῳ, ὄξει δὲ διιέναι πάντα ἢ ὕδατι ἢ οἴνῳ γλυκεῖ ἢ σιραίῳ. Ὕπτιον δὲ ἀναπαύεσθαι βλαβερόν. Πίνειν 8-9
δὲ φάρμακα τὴν τῆς νυμφαίας ῥίζαν καὶ ἶριν καὶ ἀδίαντον· τοῦ δὲ πηγάνου συμφέροι ἂν καὶ τῷ γονορροϊκῷ καὶ τῷ σατυριῶντι.

λη'. Περὶ ὀνειρώξεως.

Τοὺς δὲ ὀνειρωγμοὺς κωλύειν χρὴ διαίτῃ τε ἐνδεεστέρᾳ καὶ ἥττον 1
10 θερμαινούσῃ καὶ κόπων φυλακῇ. Προσωφελοῖ δὲ ἂν καὶ στρωμνὴ 2
ψυχροτέρα καὶ κλίσις σώματος ἐπὶ δεξιὰ ἢ ἀριστερὰ, καὶ ὅσα φάρμακα ψυχρὰ ὑποχριόμενα τῇ ὀσφύι, ὁποῖά ἐστι τό τε κορίαννον καὶ

n'est pas trop mauvais non plus de donner un lavement simple, mais on doit éviter les médicaments qui poussent aux urines, et on applique sur les lombes des substances refroidissantes comme le suc de morelle, de pourpier, de jusquiame ou de ciguë. Il est nécessaire d'enduire le 7
membre viril et le périnée de quelque substance refroidissante qui apaise en même temps, comme la litharge, la terre de cimole ou la céruse; on délaye tous ces médicaments dans de l'eau, dans du vin d'un goût sucré ou du vin doux cuit. Il est nuisible de se coucher sur le dos. 8
On boira, à titre de médicaments, de la racine de nénufar, de l'iris ou du 9
capillaire; quant à la rue, elle peut convenir également au malade affecté de perte séminale et de satyriasis.

38. DE LA POLLUTION NOCTURNE.

On réprime les pollutions nocturnes à l'aide d'un régime plus res- 1
treint et moins échauffant qu'auparavant, et aussi en évitant la fatigue. User d'un lit plus frais que d'habitude, se coucher sur le côté droit ou 2
le côté gauche, oindre les lombes avec des médicaments froids, quels qu'ils soient, par exemple avec la coriandre, le céleri, la ciguë, la céruse

7. φάρμακον ΛBP. — Ib. καὶ ἀδίαντον om. BP. — CH. 38; l. 12. ὁποῖα Paul.; προσωφελεῖ δὲ καὶ τάδε ὁποῖα Codd.

τὸ σέλινον καὶ τὸ κώνειον καὶ τὸ ψιμμίθιον καὶ ἡ ἀνδράχνη· πάντα δὲ μετὰ ὄξους ἀμείνω.

λθ'. Περὶ πριαπισμοῦ.

1 Ὁ πριαπισμός ἐστιν αὔξησις αἰδοίου μόνιμος εἰς μῆκός τε καὶ κύκλον ὀγκουμένου χωρὶς ὁρμῆς τῆς πρὸς τὰ ἀφροδίσια· φυσῶδες δέ ἐστι πνεῦμα δηλονότι τὸ ἐξογκοῦν τὸ μόριον τικτόμενον ἐξ ὑγρῶν 5
2 γλίσχρων καὶ παχέων ὑπὸ θερμότητος μετρίας. Πρόδηλον οὖν ὡς οὐ δεῖ τὰ μόρια θερμαίνειν, ἀλλὰ ψύχειν ἐπιεικῶς τῇ ῥοδίνῃ κηρωτῇ μετὰ ὕδατος ἀνακοπτομένῃ, καὶ διὰ τοῦ χαμαιμήλου, τῷ τε αἰδοίῳ καὶ ταῖς ψόαις ἐπιτιθέντα· τὰ δὲ ἐν διαίτῃ καὶ φαρμάκοις προσάγειν τῆς λεπτυνούσης δυνάμεως ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς· 10 προσάγειν δὲ καὶ τὰ φυσικῶς ἐνεργοῦντα διὰ τῆς πείρας εὑρημένα, καὶ τήν τε νυμφαίαν πίνειν διδόναι, καὶ τοῦ ἄγνου τὸ σπέρμα, καὶ

ou le pourpier, tout cela agit efficacement; les médicaments susdits ont encore plus d'action quand on les applique avec du vinaigre.

39. DU PRIAPISME.

1 Le priapisme est une augmentation persistante du volume du membre viril, qui se tuméfie aussi bien dans le sens de sa longueur que dans sa circonférence, sans qu'il y ait de l'excitation aux rapprochements sexuels; c'est certainement un souffle flatulent qui gonfle la partie, et ce souffle est le produit de l'action d'une chaleur modérée sur des li-
2 quides visqueux et épais. Il est donc clair qu'on ne doit pas échauffer les parties, mais les refroidir doucement, soit avec du cérat à l'huile aux roses battu avec de l'eau, soit avec de la camomille; on applique ces médicaments sur le membre viril et sur les lombes; les moyens de traitement qui sont du ressort du régime et de la matière médicale doivent avoir des propriétés atténuantes sans échauffer manifestement; on administre aussi des remèdes qui agissent en vertu des propriétés de leur substance considérée comme un tout (*spécifiques*) et que l'expérience nous révèle; on fait donc boire du nénufar et de la graine de gattilier,

CH. 39; l. 8. *καί* om. BP. — 9. *τά ad Eun.;* om. Codd.

πήγανον χλωρὸν τοῖς ὄψοις μιγνύντα· τοῦτο δὲ κατὰ ἀρχὰς μὴ διδόναι, θερμαίνει γὰρ ἱκανῶς· ἀλλὰ ὕστερον μετὰ τὴν χρῆσιν τῶν ἄλλων λεπτυνόντων· κενώσει δὲ χρώμενον διὰ ἐμέτων τοῦτο ποιεῖν· αἱ γὰρ διὰ τῆς κάτω γαστρὸς ῥευματίζουσι πολλάκις τὰ γειτνιῶντα
5 μόρια.

μ'. Περὶ αἱμορροΐδων.

Οἷς ἂν μᾶλλον τοῦ δέοντος αἱμορραγῶσιν, ὑδατοῦσθαι τὴν ἕξιν 1
συμβαίνει, καὶ τὰς ὀρέξεις εἶναι πονηροτέρας καὶ ἀποσίτους. Τῶν 2
δὲ οὕτω διακειμένων καὶ αἱ θεραπεῖαι ἐργώδεις· κίνδυνος γὰρ ἐπισχεθέντος ποτὲ τοῦ αἵματος.....*, λάβρου τῆς αἱμορραγίας οὔσης
10 κατὰ ἔνδειαν καὶ ἀσθένειαν παθεῖν τι. Διὰ τοῦτο πλειόνων οὐσῶν 3
τῶν αἱμορροΐδων μίαν ὑπολείπεσθαι χρὴ καθάρσεως ἕνεκα. Ἄλλα δέ 4

et on ajoute de la rue verte aux mets accessoires; seulement on ne donne pas le dernier de ces médicaments au commencement, puisqu'il échauffe assez fortement, mais plus tard, après avoir administré les autres substances atténuantes; or on n'emploie ces substances qu'après avoir pratiqué une évacuation à l'aide des vomissements, car les évacuations par le ventre inférieur attirent souvent des fluxions sur les parties avoisinantes.

40. DES HÉMORROÏDES.

Chez les malades dont les hémorroïdes laissent couler plus de sang 1
qu'il ne le faut, il se forme une hydropisie, et l'appétit se perd ou devient plus dépravé qu'il n'était. Le traitement n'est pas facile à instituer: 2
en effet, on peut craindre, si on réprime le sang.....*, et s'il survient un écoulement excessif de ce liquide, que le malade ne succombe par inanition et par faiblesse. Pour cette raison on doit, lorsqu'il existe un 3
assez grand nombre d'hémorroïdes, en laisser subsister une en vue de la purgation. Il y a d'autres hémorroïdes qui sont situées plus haut 4

4. τῆς γαστρὸς τῆς κάτω A. — Ib. τά Paul.; om. BFP. — Ch. 40; l. 8-11. κίνδυνος... αἱμορροΐδων] *ad damnandas æmorroidas et si iterum non damnantur extenuati corpore et animo deficiunt quorum si fuerint damnatæ.* Vers. antiq.

εἰσιν ἀνωτέρω καὶ μὴ φαινόμεναι, δυσιατότεραι οὖσαι· αἱ δὲ τυφλαὶ ἀποκρίνουσι μὲν αἱματῶδες οὐδὲν, ἐπώδυνοι δὲ μᾶλλον ἐκείνων εἰσίν. 5 Κυκλαμίνου χυλὸς αἱμορροΐδας ἀνασίομοῖ.

μα'. Πρὸς τὰς τῆς ὑσίέρας διαθέσεις.

1 Πρὸς τοὺς ἀπὸ τῆς ὑσίέρας πνιγμοὺς ἁρμόζει πινόμενα ἀγαρικοῦ ∠α' ἐν οἴνῳ, ἀρνογλώσσου καρπὸς καὶ ὁ χυλὸς σὺν οἴνῳ, ὄνυξ ὁ ἐκ κογχυλίου πινόμενος, ὄξος σκιλλιτικὸν καταῤῥοφούμενον. 2 Ὀσφραινόμενα δὲ διεγείρει τὰς πνιγομένας ἄσφαλτον, κασίόρειον, χαλβάνη, πίσσα ὑγρὰ, κεδρία, ἐλλύχνια ἁπίόμενα καὶ ἀποσβεννύμενα, τρίχες καεῖσαι, πήγανον, σίλφιον, κρόμμυον, σκόροδον. 3 Ὑποθυμιᾶται δὲ πρὸς ταὐτὰ γαγάτης λίθος, ὄνυξ ὁ ἀπὸ τῶν πορφυρῶν, 4 ἄσφαλτον, κασίόρειον, χαλβάνη, σίλφιον, κέρας ἐλάφου. Προσίίθεται δὲ τῷ δακτυλίῳ πήγανον σὺν μέλιτι ἐρίῳ ἀναληφθέν.

et qu'on ne voit pas; elles sont plus difficiles à guérir que les autres; les hémorroïdes borgnes ne produisent pas d'écoulement sanguin, mais 5 elles sont plus douloureuses que celles dont nous venons de parler. Le pain de cochon fait couler les hémorroïdes.

41. REMÈDES CONTRE LES MALADIES DE LA MATRICE.

1 Une drachme d'agaric ou le fruit ou le suc de plantain qu'on prend avec du vin, l'onyx provenant d'un coquillage, administré en boisson, et le vinaigre scillitique sont des remèdes convenables contre la suffocation 2 utérine (*hystérie*). Les femmes qui éprouvent cette suffocation sont tirées de l'engourdissement quand on leur fait flairer du bitume de Judée, du castoréum, du galbanum, du goudron, de la résine de cèdre, des mèches qu'on allume d'abord et qu'on éteint ensuite, des poils brûlés, de 3 la rue, du silphium, de l'oignon ou de l'ail. On fait, dans le même but, des fumigations avec du jais, avec l'onyx qui provient des pourpres, avec le bitume de Judée, le castoréum, le galbanum, le silphium, ou la 4 corne de cerf. On introduit dans l'anus de la rue avec du miel, en employant de la laine comme excipient.

CH. 41; l. 6. ὁ *ad Eun.* Gal.; om. A; ὡς BFP. — Ib. ἐκ om. BFP. — 12. δὲ om. A. — Ib. τῷ δακτυλίῳ Gal.; κατὰ τοῦ δακτύλου AP; καὶ τοῦ δακτύλου F.

μβ'. Περὶ ὑπερκαθάρσεως.

Πρῶτον μὲν διασφίγγειν τὰ ἄκρα προσήκει· διδόναι δὲ πίνειν 1
αὐταῖς ὀξύκρατον. Καὶ προσαντλήματι δὲ κεχρήσθω τῷ ὀξυκράτῳ, 2
καὶ ψίχας ἐν τῷ ὀξυκράτῳ λαμβανέτω, ἢ χόνδρον πλυτὸν, ἢ ὄρυζαν,
ἢ ᾠὸν ἁπαλὸν ψυχρόν. Ἐν τόπῳ δὲ φαρμάκων πρὸς τὴν αἱμορραγίαν 3
διδόσθω πίνειν βαλαύστιον μετὰ ὀξυκράτου, ἢ ὑποκιστίδος, ἢ ἀκα-
κίας χυλὸν, ἢ τῆς σαμίας γῆς ἀστέρα· πάντων δὲ κρατεῖ σήσαμον
ὀξυκράτῳ βρεχόμενον ἄχρις οὗ γένηται ἁπαλὸν, εἶτα ἐσθιόμενον. Καὶ 4
τὸ ῥῆον δὲ ποιεῖ μετὰ ὀξυκράτου. Καὶ προστιθέμενον δὲ διὰ τοῦ 5
γυναικείου κόλπου στέλλει τὰς αἱμορραγίας, ὡς ὁ τῆς ὑποκιστί-
δος χυλὸς, καὶ ὁ τῆς ἀκακίας μετὰ ὄξους καὶ μάννης λεανθέντες.
Ἀρήγει δὲ θαυμαστῶς καὶ σπόγγος καινὸς ὑγροπίσσῃ δευόμενος, 6
εἶτα καιόμενος καὶ λεῖος προστιθέμενος. Καὶ φελλὸς δὲ ἐκ τῶν κε- 7

42. DE LA PURGATION UTÉRINE EXCESSIVE.

Il faut d'abord serrer les extrémités, après quoi on donnera aux 1
femmes de l'eau vinaigrée à boire. On aura aussi recours à une affusion 2
d'eau vinaigrée, et on fera prendre, dans le même liquide, de la mie
de pain, de l'alica lavé, du riz, ou un œuf à la coque froid. Contre l'é- 3
coulement sanguin, on donne à boire, dans de l'eau vinaigrée, des
fleurs de grenadier sauvage ou du suc d'hypocistis ou d'acacia, ou l'es-
pèce étoilée de terre de Samos; mais le remède qui, dans ce cas, l'em-
porte sur tous les autres est le sésame, qu'on laisse tremper dans de
l'eau vinaigrée jusqu'à ce qu'il devienne mou, après quoi on le mange.
Le rhapontic a également de l'efficacité, si on l'administre avec de l'eau 4
vinaigrée. On applique encore des médicaments par le vagin pour ar- 5
rêter les écoulements de sang, par exemple, le suc d'hypocistis ou
d'acacia triturés avec du vinaigre et de la poussière d'encens. On pro- 6
duit aussi un effet merveilleux en introduisant de la même manière une
éponge neuve, qu'on trempe dans du goudron pour la brûler ensuite
et la réduire en poudre impalpable. Il en est de même du liége qui a 7

2. τῷ om. BP.

ραμίων τῶν παλαιοτέρων καίεται μέχρις ἀνθρακωθῇ, εἶτα τρίβεται, καὶ τὸ μὲν τῷ ποτῷ ἐπιπάσσεται, τὸ δὲ ἐν πεσσῷ ὑποτίθεται.
8 Συλλαμβάνει δὲ εἰς ἐποχὴν τοῦ αἵματος καὶ τὰ ἔξωθεν ἐπιτιθέμενα, μάλιστα δὲ τὸ διὰ τῆς ταυροκόλλης· ταυροκόλλα γὰρ καλὴ καὶ διαυγὴς ὀξυκράτῳ βρέχεται μέχρις ἂν διαλυθῇ, ἔπειτα εἰς ῥάκος λινοῦν 5
9 ἐμπλάσσεται, καὶ κατακολλᾶται τοῦ τε ἤτρου καὶ τῆς ὀσφύος. Ἐνεργοὶ δὲ πρὸς τοῦτο καὶ αἱ κολλητικαὶ ἔμπλαστροι.

μγ'. Μὴ κυϊσκομέναις θεραπεία.

1 Διαιτᾶν δὲ χρὴ τὰς μὲν γυναῖκας μήτε ἀπόνως, μήτε ταλαιπώ-
2 ρως. Καὶ λουτρὰ μήτε συνεχῆ, μήτε διὰ πλείστου, σῖτα δὲ καὶ ποτὰ
3 ἀρκεῖ ἐκ τῶν παρόντων τὰ εὐπεπτότατα. Τό γε μὴν μέγιστον μὴ 10
περιορᾶν πιαινόμενον τὸ σῶμα, μήτε τοῦ ἀνδρὸς, μήτε τῆς γυναικός·

servi pendant assez longtemps à boucher des cruches en poterie [contenant du vin]; on brûle ce liége jusqu'à ce qu'il soit réduit en charbon, on le triture et on l'administre à la fois en en saupoudrant les boissons
8 et sous forme de pessaire. Les médicaments qu'on applique à l'extérieur contribuent aussi à arrêter le sang; c'est surtout le médicament à la colle de taureau qu'on emploie de la façon suivante : on trempe dans de l'eau vinaigrée de la colle de taureau belle et transparente jusqu'à ce qu'elle se dissolve, ensuite on en enduit un linge de fil et on
9 colle ce linge sur le pubis et les lombes. Les emplâtres agglutinatifs ont pareillement de l'efficacité contre cette affection.

43. TRAITEMENT POUR LES FEMMES STÉRILES.

1 On prescrit aux femmes stériles une manière de vivre qui ne soit ni
2 trop oisive ni trop fatigante. Elles ne doivent ni prendre des bains trop fréquemment, ni mettre entre eux un trop grand espace de temps. On se contente de choisir parmi les aliments et les boissons qu'elles ont à
3 leur disposition ceux qu'elles digèrent le plus facilement. Le point le plus important c'est de faire attention à ce que ni le mari ni la femme

1. παλαιοτάτων ABP. — 2. τῷ ποτῷ ex em.; τῷ τόπῳ BFP; τῷ μετόπῳ A. — 5. ὀξυκρ. Paul.; ἐν ὀξυκρ. Codd. — Ib. ἂν om. BFP. — Ch. 43; l. 10. ἀρκεῖ... παρόντων om. A. — Ib. τά om. BFP. Aët. — Ib. ἀπεπτότατα A.

οὔτε γὰρ ὁ πίων ἀνὴρ ἐπιτήδειος εἰς παιδοποιίαν διὰ τὸ μὴ ἁρμόζειν τοῖς αἰδοίοις καὶ ὀλίγον σπέρμα ἀφεῖναι τοὺς πίονας. Οὐδὲ τὸ ἄγαν 4 δὲ λεπτυνθῆναι κυητήριον. Μήτε ἄγαν πολλὰ ἔστω τὰ καταμήνια, 5 μήτε ἄγαν βραχέα· δῆλον δὲ ὡς εἰ καὶ ὕδωρ ἢ ἕτερόν τι ἐκκρίνοιτο, 5 ὡς ἄτεκνον φυλάσσεσθαι. Φυλακτέα δὲ καὶ τὰ ἀπὸ χιόνων ὕδατα, 6 καὶ ὅσα ἄλλα σκληρὰ, καὶ τὰ ἁλμυρὰ καὶ λιτρώδη. Καὶ τὰ διαχω- 7 ροῦντα πλέον κωλύει κυῆσαι διὰ ἀσθένειαν. Ὠφελοῖ δὲ ἂν πάντα 8 τὰ θερμαίνοντα καὶ ἡσυχῇ πνευματοποιοῦντα. Οἴνους τε οὖν πρὸ 9 ὑδροποσίας ἐπαινεῖν, καὶ λαχάνων τὸ ὅρμινον καὶ τὸ ἐρύσιμον καὶ 10 τὸ εὔζωμον, καὶ εἴ τι ἄλλο προτρέπει μίσγεσθαι· πήγανον δὲ καὶ μίνθην πάντων μᾶλλον φυλακτέον. Χρὴ δὲ πλησίον ἡκούσης τῆς 10 καθάρσεως τὴν μὲν ἔναιμον καὶ δαψιλέστερον διῃτημένην ἀφαιροῦ-

n'engraissent : en effet, un homme gras n'est pas propre à engendrer des enfants, parce que ses parties génitales ne s'adaptent pas [à celles de la femme], et parce que les sujets gras excrètent peu de sperme. Cependant ce n'est pas un bon moyen non plus pour favoriser la conception 4 que de devenir trop maigre. Les règles ne doivent être ni trop abondantes 5 ni en trop petite quantité; il est clair aussi qu'il faut combattre, comme un obstacle à la fécondité, des écoulements séreux ou de toute autre nature que la femme pourrait avoir. On évitera les eaux qui proviennent de la fonte des neiges, ainsi que toutes les autres eaux dures, et 6 celles qui sont salées ou alcalines. Les excrétions alvines trop abon- 7 dantes empêchent aussi la conception par suite de faiblesse. Tous les 8 moyens qui échauffent et qui provoquent un léger développement de gaz peuvent être utiles. Comme boisson, on préférera le vin à l'eau, et, en 9 fait d'herbes potagères, on donnera de l'hormin, de l'*erysimum*, de la roquette, et toutes celles qui excitent aux rapprochements sexuels; mais on évitera plus que toute autre chose la rue et la menthe. Quand l'époque 10 des règles approche, la femme qui a beaucoup de sang et qui a suivi

3. δέ om. ABP. — 3-4. Μήτε... βραχέα e Vers. antiq. quæ habet : *et neque nimis sit menstruorum habundantia neque nimia exiguitas;* om. Codd. — 4-5. δῆλον..... φυλάσσεσθαι om. A. — 5. Φυλακτέον A. — Ib. τὰ ἀπὸ χιόνος AF; τὰ ἀπὸ χρόνων BP. — 6. τὰ ante ἁλμυρά om. BP. — 6-7. Καὶ..... ἀσθένειαν om. A. — 8-p. 533, l. 6. Οἴνους..... σμύρνιον om. A.

σαν τῆς προσφορᾶς, τὴν δὲ ἀναιμοτέραν προσλιθεῖσαν, τῆς τε τῶν σιτίων καὶ πομάτων ὡς μάλιστα συμμετρίας φροντίζειν καί τι τῶν ἐρεθιστικῶν εἰς κάθαρσιν λαμβάνουσαν, οἷά ἐστι τά τε εὐώδη λάχανα καὶ τὰ δριμέα· ταῦτα γὰρ καὶ εἰς τὴν ὑστέραν ἄγει, καὶ μάλιστα σκάνδιξ, καὶ τὸ κρῆθμον καὶ τὸ μάραθον καὶ τὸ σέλινον καὶ τὸ 5
11 σμύρνιον. Εἰ δὲ διὰ κακοχυμίαν τινὰ μὴ κυΐσκοιτο, ταύτην ἐκκα-
12 θαίρειν, ἢ κατακιρνᾶν τῇ χρηστῇ διαίτῃ. Εἰ δὲ διὰ ψυχρότητα τῆς ὑστέρας μὴ γίνοιτο σύλληψις, τά τε ἄλλα ἐκπονοῦσαν καὶ πυρίαις
13 πάσαις πυριωμένην ἀνακαλεῖσθαι τὸ θερμόν. Καὶ οὐδὲν ἄπο τρόπου κασλόρειον πίνειν, καὶ τῶν εὐωδῶν σπερμάτων τό τε κύμινον καὶ 10
τὸ ἄνισον καὶ γληχοῦς κόμην καὶ ἀρκευθίδων καρπὸν ἑκάστῳ πε-
14 πέρεως μίσγουσαν. Κάλλιον δὲ χρῆσθαι τῷδε τῷ φαρμάκῳ· ἐπίθυμον, εὐφόρβιον καὶ πέπερι καὶ δαύκου σπέρμα καὶ πετροσελίνου
15 σπέρμα, πάντα τρίψας ὅσον ∠β' δοῦναι πιεῖν. Τοῦτο καὶ τὰ κατὰ

jusque-là un régime trop succulent diminuera la quantité de ses aliments, tandis que celle qui est plutôt anémique en augmentera la dose et aura le plus grand soin de garder la mesure en fait de boissons; elle prendra aussi quelque substance qui provoque les règles, comme sont les herbes potagères odoriférantes et âcres : en effet, ces herbes poussent vers la matrice, et ce sont surtout l'aiguillette, le fenouil de mer, le fenouil ordinaire, le céleri et le smyrnium, qui jouissent de cette
11 propriété. Si une femme ne conçoit pas par suite d'humeurs mauvaises,
12 il faut purger ces humeurs ou les tempérer par un bon régime. Si la conception ne se fait pas parce que la matrice est trop froide, la femme doit ranimer sa chaleur par toutes sortes de fomentations et en se fati-
13 gant sous tous les autres rapports. Il n'est pas du tout déraisonnable non plus de boire du castoréum, de choisir pour boisson parmi les graines odoriférantes le cumin et l'anis, et de prendre de la même manière des feuilles de pouliot ou des baies de genévrier; dans chacune de ces bois-
14 sons on mettra un peu de poivre. Il vaut mieux encore recourir au médicament composé d'agourre, d'euphorbe, de poivre, de graine de daucus de Crète et de graine de persil; on triturera toutes ces substances
15 ensemble et on en donnera à boire la quantité de deux drachmes. Ce

4. εἰς conj.; καί F; om. BP. — 14. τά om. ABP.

γαστέρα ἄγει καλῶς καὶ τὴν ὑστέραν θερμαίνει, ὥστε πολλαῖς ἤδη καὶ καταμήνια ἔρρηξε τέως οὐ καθαιρομέναις. Εἰ δὲ μὴ ἐξαρκεῖ καθῆραι κάτω, ἐμέτοις χρῆσθαι· τὸ γὰρ φλέγμα κενοῦν πάντα τρόπον συμφέρει. Αἱ δὲ αὐτῶν τῶν ὑστερῶν πυρίαι, τοῦτο μὲν ἀτμοὶ ἔστωσαν, τοῦτο δὲ θερμὸν ὕδωρ. Τοὺς μὲν οὖν ἀτμοὺς καλὸν δέχεσθαι καθίζουσαν ἐπὶ δίφρου, τὸ δὲ ὕδωρ προσκλύζεσθαι ἕψουσαν ἐν αὐτῷ ἐλελίσφακον καὶ ἀρτεμισίαν καὶ πήγανον καὶ κύπερον καὶ γλήχωνα καὶ ἄκορον καὶ τὰ εὐώδη σπέρματα· καταπλάττειν δὲ καὶ τὸ ἧτρον τούτων ἑκάστῳ. Ἀγαθὸν δὲ καὶ τὸ τοῦ Πολυάρχου ἐπίθεμα. Αἵ γε μὴν τρίψεις τοῦ ἥτρου καὶ τῆς ὀσφύος οὐδενὸς ἧσσον συμφέρουσι, καὶ προσθετὰ δὲ προστιθέναι τῇ ὑστέρᾳ τῶν θερμαινόντων· τὰ δὲ προσθετὰ ἔστω διὰ σμύρνης καὶ πηγάνου καὶ χαλβάνης καὶ καστορείου πεποιημένα. Χρὴ δὲ προπυριαθεῖσαν μελικράτῳ ἢ θαλάσσῃ, ποτὲ μὲν καταντλεῖν αὐτήν, ποτὲ δὲ διὰ ὄξους συγκεκρα-

1. γοῦν e Gal.; γάρ Codd. — Ib. V. — 2. [ἄρτον] e Gal. et Vers. ant.; τῶν τοιούτων Codd. — Ib. κατὰ ὀλίγον om. Codd. — 15. [δέ] e Gal.; om. Codd.

οἰνομέλιτος καὶ ὀλίγου πεπέρεως καὶ πηγάνου. Δεῖ μὲν οὖν, ὡς ἔφην, 9
φεύγειν ἀεὶ καὶ τὸν γέροντα τὴν τῶν ἐμφρατλόντων προσφοράν·
κατά τινα δὲ περίσλασιν εἰ προσενέγκοιτο ἐμφραχθέντων λαμβά-
νειν εὐθὺς καὶ μάλισλα μὲν τοῦ διὰ καλαμίνθης· εἰ δὲ μὴ τοῦ διὰ
5 τριῶν πεπερέων· μηδετέρου δὲ τούτων παρόντος καὶ πεπέρεως λευ-
κοῦ χυοώδους ἐσθίειν σὺν τοῖς ὄψοις ἐπιπάτλειν [τε] τῷ πώματι. Συμ- 10
φέρει δὲ κατὰ τὸν καιρὸν τοῦτον καὶ κρομμύου καὶ σκορόδου γεύε-
σθαι· τῆς γασλρὸς δὲ ὑποκινηθείσης, ἐνίοτε τῆς θηριακῆς λαμβά-
νειν. Καὶ ἐπειδὴ ἀθροίζει συνεχῶς ὁ γέρων φλεγματώδη περιτλώματα 11
10 διὰ τὸ τῆς φύσεως ἀσθενὲς, χρεία τῶν τεμνόντων καὶ τῆς λεπτυ-
νούσης διαίτης· μὴ χρονίζειν δὲ ἐν τούτοις· ἀλλὰ εὐθὺς ἰέναι μᾶλ-
λον καὶ ἐπὶ τὴν ὑγραίνουσαν δίαιταν. Πρὸ πάσης δὲ ὀπώρας 12
αἱρείσθω τὰ πέπειρα σῦκα, τὰς δὲ ἰσχάδας ἐν χειμῶνι· καὶ γάλα
δὲ εἰ πέτλειν αὐτὸ καλῶς δύναιντο καὶ μηδὲ ἡτισοῦν ᾖ περὶ τὸ ἧ-
15 παρ διάθεσις, προσφέρεσθαι μὴ κωλυέσθωσαν. Διὰ δὲ τὰ ὀῤῥώδη 13
καὶ φλεγματώδη περιτλώματα σελίνῳ καὶ μέλιτι καὶ τῷ οἴνῳ τῷ

également utile. Les vieillards doivent toujours, comme je l'ai dit, se 9
garder de ce qui produit des obstructions; si, par suite d'une circonstance
particulière, ils ont pris quelque chose de ce genre, ils auront recours au
médicament à la calaminthe, et, à son défaut, au *médicament aux trois espèces
de poivre;* si on n'a sous la main aucune des trois espèces, on mélangera
aux aliments du *poivre blanc lanugineux*, ou bien on en saupoudrera la
boisson. L'oignon et l'ail ne sont pas mauvais non plus pour les vieillards; 10
quand le ventre est relâché, on donne quelquefois de la thériaque. Comme 11
les vieillards, à cause de leur débilité, fabriquent continuellement des superfluités pituiteuses qui s'accumulent, ils ont besoin d'un régime incisif
et atténuant; mais on doit ne pas s'y arrêter longtemps et revenir aussitôt
que possible aux humectants. Parmi tous les fruits d'automne, on préfé- 12
rera les figues vertes, et, en hiver, les figues sèches; je ne défends pas non
plus aux vieillards le lait, s'ils peuvent le bien digérer et s'ils n'ont pas
une affection quelconque du foie. Comme [dans un corps affaibli par l'âge] 13
il se produit des superfluités séreuses et pituiteuses, on provoquera jour-

6. [τε] e Gal.; om. Codd.

14 λεπτῷ τὴν οὔρησιν ἐπὶ ἡμέρᾳ προτρεπέτω. Τὴν γαστέρα δὲ ἐπεχομένῳ ὑπάγειν, ἔλαιον διδόντας πρὸ τῶν σιτίων καταῤῥοφᾶν καί ποτε καὶ κάτωθεν ἐνιέντας· μαλάττει τε γὰρ τὰ περιττώματα καὶ ὄλισθον ἐμποιεῖ· φεύγειν δὲ τοὺς δριμεῖς κλυστῆρας ὡς ξηραίνον-
15 τας τὸ ἔντερον. Ὑπάγει δὲ καὶ τὰ λάχανα πρὸ τῶν ἄλλων σιτίων 5 ἐσθιόμενα [ἐν] γαρελαίῳ, καὶ σῦκα καὶ κοκκύμηλα καὶ τὰ ὅμοια τούτοις προεσθιόμενα· χειμῶνος δὲ ἰσχάδες καὶ ἐλαῖαι ἁλμώδεις, καὶ ἡψημένα ἢ διαβεβρεγμένα Δαμάσκηνα ξηρὰ [ἐν] μελικράτῳ κα-
16 λὸν ἔχοντι τὸ μέλι καὶ δαψιλές. Οὐ μὴν, ὥσπερ εἰώθασί τινες, συμβουλεύσαιμι ἂν ἀλόης αὐτῆς λαμβάνειν ἢ τῆς πικρᾶς ἄνευ τινὸς 10 ἀνάγκης μεγάλης· κἂν γὰρ παρὰ μίαν ἡμέραν ἡ γαστὴρ ἐπὶ αὐτῶν ποιοίη, μηδὲν φαρμακῶδες προσφέρειν· ἐπὶ πλέον δὲ ἐπεχομένης, ἀρκέσει τῇ τρίτῃ διδόναι τῆς λινοζώστεως καὶ τοῦ κυήκου σὺν πτισάνῃ καὶ τερεβινθίνης καρύου ποντικοῦ μέγεθος· πολλάκις δὲ καὶ δύο καὶ τρία· μετὰ γὰρ τοῦ λαπάττειν καλῶς τόν τε 15 πνεύμονα καὶ τοὺς νεφροὺς καὶ τὰ ἄλλα σπλάγχνα διακαθαίρει.

14 nellement les urines avec le céleri, le miel et le vin blanc. Si le ventre est resserré, on le relâchera au moyen d'huile prise avant le repas ou administrée en lavement; en effet, l'huile amollit les excréments et les rend coulants; mais on doit éviter les lavements âcres, attendu qu'ils dessè-
15 chent l'intestin. Les légumes verts préparés à l'huile et au garon, les figues, les prunes et autres fruits du même genre, mangés avant les autres aliments, sollicitent le ventre; dans l'hiver les figues sèches, les olives confites dans le sel, les prunes de Damas sèches, cuites ou amollies dans un hydromel où il entre beaucoup de bon miel produisent le même effet.
16 Je ne conseillerais pas, comme le font volontiers quelques-uns, de donner aux vieillards de l'aloès en nature ou la *picra*, à moins qu'il n'y ait grande nécessité; en effet, lors même qu'un vieillard n'irait à la selle que tous les deux jours, il est inutile de lui faire prendre un purgatif; mais, s'il reste plus longtemps, le troisième jour, on prescrira la mercuriale et du carthame avec de la ptisane et de la térébenthine gros comme une noix de Pont (*noisette*), souvent gros comme deux ou trois; car, outre que le ventre s'en trouvera relâché, ce médicament purgera aussi le poumon,

6 et 8. [ἐν] e Gal.; om. Codd.

Καλὸν δὲ, καὶ τὸ διὰ τῶν ἰσχάδων τῶν λιπαρῶν καὶ τοῦ κυήκου· 17
ἀφαιρείσθω δὲ ἀμφοτέρων τὰ ἔξωθεν περικείμενα καὶ ὁμοῦ κοπτέσθω· πολλαπλασίων δὲ ἔσται ἡ ἰσχὰς τῷ σταθμῷ τοῦ κυήκου, καὶ διδόσθω δύο ἢ τριῶν ἰσχάδων μέγεθος. Ἀμείβειν δὲ δεῖ τὴν χρῆσιν 18
τούτων· τοῦ γὰρ ἑνὸς ἡ φύσις ἐν συνηθείᾳ γινομένη καταφρονεῖν εἴωθε. Χρόνον δὲ πλείονα τῶν νέων ἐπιμενέτωσαν οἱ γέροντες ταῖς 19
κλίναις, ὅπως ἂν πεφθείη καλῶς ὑπὸ τῆς ἀλέας τὰ περιττώματα αὐτῶν.

ιβ'. Περὶ οἴνου δυνάμεως.

Χρὴ δὲ γινώσκειν τὸν πεφροντικότα τῆς ὑγιείας καὶ περὶ οἴνου 1
δυνάμεως καὶ ἀφροδισίων ὁμοίως· ὁ τοίνυν οἶνος ἀναζωπυρεῖ μὲν τὸ ἐν ἡμῖν θερμὸν, καὶ διὰ τοῦτο αἱ πέψεις ἀμείνους γίνονται καὶ τὸ αἷμα χρηστὸν, τήν τε τροφὴν διάγει πανταχοῦ πόριμος ὤν· διὸ καὶ τοὺς ἐκ νόσων ἰσχνωθέντας εὐτρόφους ἀπεργάζεται· ποιεῖ γὰρ καὶ ὀρεκτικοὺς τροφῶν, καὶ τὸ μὲν φλέγμα λεπτύνει, τὴν δὲ χολὴν διὰ οὔρων ἐκκαθαίρει, καὶ τῇ ψυχῇ δὲ εὐφροσύνην καὶ ἡδονὴν ἐμ-

les reins et les autres viscères. On fait encore un excellent médicament 17
avec des figues grasses desséchées et du carthame; mais on doit enlever l'enveloppe de ces fruits et les piler ensemble, en ayant soin de mettre un poids beaucoup plus fort de figues que de carthame; on donnera du mélange la grosseur de deux ou trois figues sèches. On doit alterner dans 18
l'usage de ces divers médicaments, car la nature, en s'habituant à un seul, finit par n'en plus tenir compte. Les vieillards doivent rester au lit 19
plus longtemps que les jeunes gens, afin que les superfluités arrivent par le repos à une coction complète.

12. DES EFFETS DU VIN.

Celui qui a souci de sa santé doit connaître les effets du vin et des 1
plaisirs de l'amour; or le vin ranime en nous la chaleur; en conséquence, il facilite la digestion et produit un sang de bonne qualité; par la vertu pénétrante dont il est doué, il amène l'aliment dans toutes les parties du corps; aussi les personnes que la maladie vient d'amaigrir, le vin les restaure en leur donnant du goût pour les aliments, en atténuant la pituite, en purgeant la bile par les urines, en donnant à l'esprit la gaîté

ποιεῖ καὶ ῥώμην παρέχει· τούτων μὲν οὖν τῶν ἀγαθῶν ὁ μέτρῳ
2 πινόμενος αἴτιος γίνεται· τῶν δὲ ἐναντίων ὁ ἄμετρος. Διὰ τοῦτο
οἱ μεθυσθέντες παρίενταί τε καὶ παρανοοῦσι καὶ καταφορικοὶ γί-
νονται· διὸ φεύγειν χρὴ τὴν εἰς τοσοῦτον ἀμετρίαν τῆς τοῦ οἴνου
3 πόσεως. Διὰ χρόνου δὲ πλείονος ἐπιεικῶς συμφέρει πίνειν· τήν 5
τε γὰρ διὰ οὔρων κάθαρσιν δαψιλῆ κινεῖ καὶ ἱδρῶτας προχεῖ·
κάλλιον δὲ ἐπὶ τούτοις καὶ ἐμεῖν, μελικράτου προσλαβόντας,
4 ὡς μηδὲ μικρὸν ὑπὸ αὐτοῦ βλαβῆναι. Κωθωνιζόμενος δέ τις τῆς
μὲν ἄλλης τροφῆς μὴ ἄγαν ἐμπιπλάσθω· πίνων δὲ ἐν τῷ μεταξὺ
κράμβην ἑφθὴν ἐσθιέτω· καὶ τραγημάτων γευέσθω, καὶ μᾶλλον τῶν 10
ἀμυγδαλῶν· ταῦτα γὰρ καὶ τὰς κεφαλαλγίας κουφίζει καὶ τοῖς
5 ἐμοῦσι οὐδαμῶς ἐστι λυπηρά. Κάλλιστον δὲ καὶ τοῦ ἀψινθίου τὸ
ἀπόβρεγμα πρὸ τῶν ποτῶν λαμβάνειν· πάνυ γάρ ἐστιν ἀκραιπά-
6 λωτον. Εἰ δὲ καὶ δάκνοιντό τινες ὑπὸ τοῦ οἴνου, ψυχρὸν ὕδωρ ἐπιῤ-
ῥοφεῖν, τῇ δὲ ὑστεραίᾳ πάλιν τοῦ ἀψινθίου πίνειν· περιπάτοις 15

et l'enjouement, et en ranimant les forces; pris avec modération, le vin
possède tous ces avantages; pris immodérément, il a les inconvénients
2 opposés. C'est par cette raison que les hommes ivres ne peuvent pas se
soutenir, déraisonnent et tombent dans un profond sommeil; il faut donc
3 éviter l'usage du vin poussé jusqu'à cet excès. Boire à longs traits et
en y mettant le temps est une bonne manière; de cette façon, on aura
une abondante évacuation d'urines et de sueurs; une méthode encore
préférable, c'est, après avoir ainsi bu, de vomir en prenant de l'hy-
4 dromel, afin que le vin ne cause pas la moindre incommodité. Si quel-
qu'un veut boire abondamment, qu'il prenne d'ailleurs peu de nourriture
et qu'entre chaque coup il mange du chou cuit, des gâteaux ou plutôt
des amandes; ces mets allégent la tête et ne causent aucun inconvénient
5 quand on vomit. Ce qu'il y a de mieux encore, c'est, avant de boire, de
prendre une macération d'absinthe; on empêchera ainsi complétement
6 l'ivresse. Si le vin donne parfois des mordications, on boira de l'eau
froide, et le lendemain on reviendra à l'absinthe; les forces se relève-

10. τραγήματα Codd. — 11. κεφαλαλγίας Paul.; σκεας (sic) M; σκεας πλ' (sic) V; *ebrietas* Vers. antiq. Ras. Forsan κραιπάλας.

τε καὶ ἀνατρίψεσι καὶ λουτρῷ καὶ ἐλάτΐονι τροφῇ χρησαμένους, ἀνακομισθῆναι.

ιγ'. Περὶ ἀφροδισίων.

Τὰ δὲ ἀφροδίσια βλαβερὰ μὲν σΐήθει καὶ πνεύμονι καὶ κεφαλῇ 1
καὶ νεύροις· τρέπει δὲ τὴν γνώμην ἐπὶ τὸ ἡμέτερον, ὡς μελαγχο-
5 λίας καὶ μανίας καθισΐᾷν, καὶ τῶν ἐρώντων τὴν προθυμίαν ἐλαττοῦν κἂν ἑταίρας μισῶσι. Τοῖς δὲ χρωμένοις μίξεσι φυλάτΐεσθαι 2
προσήκει πλησμονὰς καὶ μᾶλλον τὰς ἀπὸ τοῦ οἴνου, καὶ ἔνδειαν, τὴν ἐπί τε ἐμετοῖς καὶ ταῖς κάτω καθάρσεσι γενομέναις, καὶ εἴ τινι γασΐὴρ αὐτομάτως ῥυῇ· φυλάτΐεσθαι δὲ καὶ ἀπεψίας καὶ κόπους,
10 καὶ εἴ τι ἄλλο πρὸς μέλλουσαν νόσον ὕποπΐον. Ἥκισΐα δὲ καὶ 3
ἐν φθινοπώρῳ μίγνυσθαι καὶ ἐν ἄλλῃ τινὶ ὥρᾳ νοσήματος ἐπιδήμια φερούσῃ. Καιρὸς δὲ ἐπιτήδειος μίξεως ὁ μετὰ τροφὴν πρὸ τῶν 4
ὕπνων· καθυπνοῦντι γὰρ εὐθὺς καθίσΐαται ὁ κόπος· οὗτος δὲ καιρὸς

ront, en outre, par des promenades, des frictions, des bains et une nourriture modérée.

13. DES RAPPORTS SEXUELS.

L'usage des rapports sexuels nuit à la poitrine, au poumon, à la tête 1
et aux *nerfs*, mais l'âme en reçoit un apaisement qui guérit la mélancolie et la folie, et la passion immodérée des amants en est tellement amoindrie, qu'elle se change en répulsion pour les courtisanes. Ceux qui se 2
livrent aux plaisirs vénériens doivent éviter la plénitude, surtout celle du vin, et la vacuité qui est produite soit par les vomitifs, soit par les purgatifs, soit enfin par un flux de ventre spontané; ils éviteront aussi les crudités, la lassitude et toute autre chose qui pourrait faire soupçonner l'invasion d'une maladie. On doit s'abstenir de l'amour dans l'automne 3
et dans toute autre saison où pourrait régner une maladie épidémique. Le moment convenable pour se livrer à la copulation est celui qui suit 4
le repas, avant le sommeil, car le sommeil vient aussitôt réparer les

1. χρησάμενον Codd.

καὶ εἰς παιδοποιΐαν διά τε τὰ ἄλλα καὶ ὅτι ἡ γυνὴ κατακοιμηθεῖσα
5 μᾶλλον κατέχει τὴν γονήν. Ἐπεὶ δὲ ἐξ ἀφροδισίων ἀραιότερόν τε
καὶ ψυχρότερον [καὶ ξηρότερον] καὶ ἀσθενέστερον γίνεται τὸ σῶμα,
τὰ πυκνοῦντα δηλονότι καὶ θερμαίνοντα καὶ ὑγραίνοντα καὶ ῥων-
6 νύντα δεῖ προσάγεσθαι. Τινὲς δὲ σπέρμα πολὺ θερμὸν ἀθροίζοντες, 5
εἶτα ἐπιγινόμενοι πρὸς ἀφροδίσια καὶ ἀποκρίνοντες αὐτὸ, τό τε
σῶμα ἀσθενὲς ἔχουσι καὶ τὸν στόμαχον ἔκλυτον, καὶ λεπτύνονταί
τε καὶ ὑγραίνονται, καὶ ξηραίνονται, καὶ κοιλοφθαλμιῶσιν· ἀπο-
σχόμενοι δὲ αὖθις διὰ ταῦτα ἀφροδισίων κεφαλήν τε βαροῦνται καὶ
ἀσώδεις γίνονται· κἄπειτα εὐθὺς ὀνειρώξαντες πάσχουσι τὰ αὐτά· 10
δεῖ τοίνυν τῶν μὲν πολυσπέρμων μηδὲν προσφέρεσθαι, τῶν δὲ φθει-
ρόντων αὐτὸ καὶ τροφῆς καὶ φαρμάκων λαμβάνειν, καὶ μετὰ λουτρὸν
ἀλείφεσθαι τὴν ὀσφὺν ῥοδίνῳ τε ἐλαίῳ ἢ μηλίνῳ καὶ ὀμφακίνῳ· βέλ-
τιον δὲ αὐτὸ παχύτερον ποιοῦντας, χρίειν ὡς ἂν μὴ ἀπορρυῇ, κηροῦ

forces; ce moment est également favorable pour engendrer des enfants,
5 car la femme, en se livrant au repos, retient mieux la semence. Mais,
comme Vénus rend le corps plus rare, plus froid, plus sec et plus faible,
il s'ensuit que nous devons employer des moyens qui peuvent lui donner
6 de la densité, de la chaleur, de l'humidité et de la force. Certaines per-
sonnes ont en abondance une semence très-chaude, et, lorsqu'ils l'ont
éjaculée, leur corps devient faible, l'orifice de l'estomac s'allonge; ils
sont amaigris, épuisés, desséchés, et leurs yeux deviennent caves; puis,
lorsqu'ils s'abstiennent, à cause de ces inconvénients, de l'acte vénérien,
ils sont pris de lourdeur dans la tête et de dégoût pour les aliments par
suite de réplétion; si parfois ils ont, en dormant, des rêves érotiques, ils
éprouvent les mêmes accidents; en conséquence, on ne leur donnera
aucun aliment ou médicament qui pourrait favoriser la production de la
semence, mais plutôt ceux qui la tarissent; de plus, on prescrira, après
le bain, des frictions sur les reins avec l'huile aux roses, aux pommes
ou au verjus; mais, comme cette huile doit être épaisse, afin qu'elle ne
coule pas quand on l'applique, on y ajoutera un peu de cire et quelque

3. [καὶ ξηρότερον] e Gal.; om. Codd.

μιγνύντας τι καὶ χυλοῦ τινος τῶν ψυχόντων. Ποιεῖ δὲ οὕτω κηρ- 7
ἔλαιον· ἐν θυίᾳ ταῖς χερσὶν ἐπὶ πολὺ μαλάξας, τὸν ψύχοντα χυλὸν
ἐπεγχέας, ἀκριβῶς ἕνωσον ἀναφυράσας ὡς ὅτι πλεῖστον χρόνον.
Ἔστι δὲ ψύχων χυλὸς ὅ τε τοῦ ἀειζώου καὶ ὁ τοῦ στρύχνου, κοτυ- 8
5 ληδόνος τε καὶ ψυλλίου· κατὰ μὲν οὖν τὸ θέρος οὗτοι, κατὰ δὲ τὰς
ἄλλας ὥρας ἄλλοι τε πολλοὶ, καὶ ὁ τῆς θριδακίνης χυλὸς καὶ τὸ
λινόσπερμον ἑψηθὲν ἐν ὕδατι, ψύχοντα ποιεῖ χυλόν. Καὶ λεπὶς δὲ 9
μολιβδίνη ταῖς ψόαις ὑποτιθεμένη κωλύει τοὺς ὀνειρωγμούς· καὶ
βοτάναι δὲ ὑποστρωννύμεναι τῶν ψυχουσῶν μετὰ πηγάνου καὶ τῶν
10 ἄκρων τοῦ ἄγνου τῶν ἁπαλῶν τὸ αὐτὸ ποιοῦσι· καὶ σπέρμα τοῦ
ἄγνου καὶ τοῦ πηγάνου ἐσθιόμενα. Φυλάττεσθαι δὲ δεῖ πάνυ σφο- 10
δρῶς ψύχειν τὰς ψόας, ὅπως μὴ βλαβεῖεν οἱ νεφροί.

suc qui ait la vertu de refroidir. Faites ainsi le *cerelæon* (composé d'huile 7
et de cire) : malaxez le plus possible [le mélange de cire et d'huile],
puis versez le suc réfrigérant et amalgamez soigneusement en remuant
aussi longtemps que possible. Le suc réfrigérant se tire de la joubarbe, 8
de la morelle, du cotylédon et du pulicaire; ces sucs conviennent pour
l'été, mais, dans les autres saisons, on a recours à beaucoup d'autres
plantes, telles que la laitue, la graine de lin cuite dans l'eau, lesquelles
donnent un suc refroidissant. Une lame de plomb placée sur les reins 9
délivre des rêves érotiques; on obtient le même effet soit en mettant
sur le lit des herbes réfrigérantes avec de la rue, les cimes tendres du
gattilier, soit en donnant à manger la graine du gattilier et de la rue.
Toutefois il faudra se garder de trop refroidir les lombes, de crainte de 10
nuire aux reins.

Ch. 14. = *Syn.* IV, 41 [1].

Donne *οὔτε δὲ θερμ.* p. 193, 2; om. *καὶ ἀτέραμνα*, p. 193, 7; donne *θερμαίνεται καὶ ψύχεται*, p. 193, 9-10; donne *Τρέπεσθαι μὴ* (l. *μὲν*) *ἀρχόμ.* p. 194, 9; *οἱ δὲ καὶ τεῦτλα*, 195, 9.

1. *μιγνύντας* Paul.; *μιγνύειν* Codd.

[1] Voy. la Préface sur ces références des chapitres parallèles du traité *Ad Eunapium* avec la *Collection médicale* et la *Synopsis*.

ιε'. Περὶ ἀέρων.

1 Καὶ ἀὴρ δὲ ὑγιεινότατός τε καὶ ἄριστός ἐστιν ὁ καθαρότατος· νοσερὸς δὲ καὶ μοχθηρὸς ὁ ἐξ ἀναθυμιάσεως ἐπιθολούμενος λιμνῶν ἢ
2 ἑλῶν ἢ βαράθρου τινὸς δηλητήριον ἀναπέμποντος αὔραν. Μοχθηρὸς δὲ καὶ ὁ ἔκ τινων ὀχετῶν ἐκκαθαιρόντων τὰς πόλεις θολούμενος ὁμοίως, καὶ ὁ ἐκ λαχάνων τινῶν ἢ ζώων ἢ κόπρων σηπεδόνων. 5
3 Οὕτω δὲ καὶ ὅστις διὰ ποταμὸν ἢ λίμνην γειτνιῶσαν ὁμιχλώδης ἐστὶν οὐκ ἀγαθὸς, καὶ ὁ ἐν κοίλῳ δὲ χωρίῳ πανταχόθεν ἀπὸ ὀρῶν περιεχομένῳ, καὶ διὰ τοῦτο μὴ καταπνεομένῳ, μοχθηρός· οἱ μὲν οὖν οὕτω μοχθηροὶ πᾶσαν ἡλικίαν ὁμοίως βλάπτουσιν, ὥσπερ ὁ
4 ἄριστος ὠφελεῖ. Ἡ δὲ κατὰ ποιότητα, θερμότητα λέγω καὶ ψυχρότητα καὶ ξηρότητα καὶ ὑγρότητα διαφορὰ τῶν ἀέρων οὐχὶ ὁμοίως ἔχει πρὸς ἅπαντας· τοῖς μὲν γὰρ εὐκράτοις σώμασιν ὁ εὔκρατος ἀὴρ ὠφέλιμος, τοῖς δὲ δυσκράτοις ὁ τὴν ἐναντίαν ἔχων κράσιν. 10

15. DE L'AIR.

1 L'air le plus salubre et le meilleur est celui qui est le plus pur; est malsain, au contraire, et pernicieux, celui qui est rendu trouble par les émanations des étangs, des marais ou de quelque gouffre d'où sortent
2 des exhalaisons délétères. Celui-là aussi est mauvais qui est rendu trouble par les cloaques qui reçoivent les immondices des villes, ou par des lé-
3 gumes, des cadavres ou des excréments en décomposition. De même on doit tenir pour mauvais l'air chargé des brouillards que produit le voisinage d'un étang ou d'un fleuve, et celui qui, retenu captif dans un endroit entouré de montagnes de tous côtés, n'est jamais renouvelé par aucun courant; les diverses espèces d'air ainsi corrompu sont donc nui-
4 sibles à tous les âges, de même que l'air pur leur est favorable. Les différences de l'air, qui tiennent à ses qualités diverses, de chaud, de froid, de sécheresse et d'humidité, ne produisent pas le même effet chez tous, pour un corps doué d'un bon tempérament, l'air bien tempéré est salutaire, tandis que l'air qui conviendra à un corps mal tempéré est celui dont le tempérament est opposé à ce corps.

Ch. 15; 4, καί om. M. — 7. εἰρῶν M; ἠρῶν V. Voy. *Syn.* I, 24. — 11. καὶ ξηρότητα καὶ ὑγρότητα om. M. — 12. ἀὴρ e Paul.; ἄκρον Codd.

Ch. 16. = *Syn.* I, 27.

Om. καί, p. 44, 8; donne γάρ pour δέ avant εἰ, p. 44, 11; om. δέ après Τό, p. 44, 11; donne τε καὶ ἐκμαλάσσον, πνεύματα διαχέον, p. 45, 2-3.

ιζ'. Περὶ τροφῆς δυνάμεως.

Χρὴ δὲ εἴπερ τι ἄλλο καὶ τὰς τῶν τροφῶν δυνάμεις ἐπίσταστθαι 1
τὸν τῆς ὑγιείας φροντίζοντα· τὰ μὲν οὖν τῆς λεπτυνούσης δυνάμεως
5 ἐκφράττει τε τὰς στενὰς διεξόδους καὶ ἀπορρίπτει τὰ προσπλαττό-
μενα γλίσχρα, τέμνει τε καὶ λεπτύνει τὰ παχέα· συνάγει δὲ τοῖς
χρονίσασι κατὰ τὴν ἐδωδὴν αὐτῶν ὀρρώδη καὶ χολώδη περιττώματα·
κἂν ἔτι μᾶλλον πλεονάσῃ τις, μελαγχολικὸν τὸ αἷμα καθίσταται·
χρὴ οὖν ἀπέχεσθαι τῆς συνεχοῦς αὐτῶν χρήσεως, καὶ μάλιστα τοὺς
10 χολώδεις τὴν κρᾶσιν· ἁρμόζει γὰρ μόνοις τοῖς τὸ φλέγμα καὶ τὸν
ὠμὸν καὶ γλίσχρον καὶ παχὺν χυμὸν ἠθροικόσι. Τὰ δὲ τῆς παχυ- 2
νούσης τρόφιμα μὲν ἱκανῶς ἐστι κἂν ἔν τε τῇ γαστρὶ καὶ τῷ ἥπατι
πεφθῇ προσηκόντως, εὔχυμον αἷμα γεννᾷ· σπλῆνα δὲ καὶ ἧπαρ
ἐμφράττει. Τούτων δέ τινα μέν ἐστι, παχύχυμα μόνον, ὡς φακή, 3

17. DES QUALITÉS DES ALIMENTS.

Celui qui prend soin de sa santé doit, avant tout, connaître les qualités 1
des aliments; ceux donc qui ont une vertu atténuante ouvrent les conduits étroits, en détachent les matières glutineuses qui y adhèrent, divisent et atténuent celles qui sont épaisses; mais, si on en fait un usage trop prolongé, il se produira des excréments séreux et bilieux; si on persiste encore davantage, il se formera un sang mélancolique; il ne faut donc pas en faire un usage continuel; recommandations qui s'adressent surtout aux personnes d'un tempérament bilieux; un tel régime ne convient qu'aux personnes chez qui se sont accumulées la pituite ou des humeurs crues, visqueuses et épaisses. Les aliments qui ont la vertu de 2
produire des sucs épais nourrissent beaucoup, et, si leur coction se fait convenablement dans l'estomac et dans le foie, ils produisent un sang de bonne qualité; cependant ils forment des obstructions dans la rate et dans le foie. Parmi ces aliments, certains ne produisent que des sucs 3
épais, comme les lentilles; d'autres un suc glutineux, comme la mauve;

τινὰ δὲ γλίσχρα ὡς μαλάχη· τισὶ δὲ ἄμφω συμβέβηκε παχυχύμους
4 τε εἶναι καὶ γλίσχρους ὥσπερ τοῖς ὀστρακοδέρμοις. Ἀσφαλεστέρα
τοίνυν ἐστὶν ἡ λεπτύνουσα δίαιτα πρὸς φυλακὴν ὑγιείας τῆς παχυ-
νούσης μᾶλλον· ὀλιγότροφος δὲ οὖσα τόνον οὐκ ἐντίθησιν οὐδὲ
ῥώμην τοῖς σώμασι· καὶ χρή ποτε καὶ τῶν πολυτρόφων προσφέ- 5
ρεσθαι μετρίως ἡνίκα τις ἐνδείας ἀντιλαμβάνεται· μάλιστα δὲ ἂν
ἀκινδύνως μεταλαμβάνοιεν αὐτῶν, οἱ γυμνασίοις τε προσέχοντες
5 καὶ [οἱ] καθεύδοντες ἐπὶ ὅσον ἂν βούλοιντο. Πάντες δὲ ὅσοι πρὸ
τῶν σιτίων οὐχ οἷοί τέ εἰσι γυμνάζεσθαι, φευγέτωσαν τὰς παχυ-
χύμους τροφάς· ἀργοὶ δὲ μηδὲ οὗτοι ταῖς τροφαῖς προσιέτωσαν· 10
μέγιστον γὰρ κακὸν εἰς τὴν τῆς ὑγιείας φυλακὴν ἡ παντελὴς ἀργία
καθέστηκεν, ὥσπερ γε ἡ σύμμετρος κίνησις μέγιστον τῶν ἀγαθῶν.
6 Τὰ δὲ μεταξὺ τῶν παχυνόντων καὶ λεπτυνόντων ἐδέσματα κάλλιστα
πάντων ἐστὶ σύμμετρον αἷμα γεννῶντα κατὰ σύστασιν· κατάλλη-
λος μὲν οὖν ἡ τοιαύτη τοῖς σώμασι τροφὴ ἡμῶν ἐστι· βλαβερὰ δὲ 15
7 ἡ κακόχυμος, ἣν ἀεὶ χρὴ φεύγειν. Φυλάττεσθαι δὲ καὶ τὴν ποικι-

4 d'autres enfin fournissent l'un et l'autre, comme les testacés. Pour conserver la santé, un régime atténuant est préférable à un régime incrassant; cependant, comme il nourrit peu, il ne donne ni ton ni force au corps; aussi faut-il recourir quelquefois, mais modérément, aux aliments incrassants, alors que l'on est pris de besoin; cette substitution se fera sans danger pour ceux qui prennent de l'exercice et qui peuvent se livrer
5 au sommeil autant qu'ils le veulent. Tous ceux qui ne peuvent s'exercer avant le repas doivent éviter les aliments d'un suc épais; il en est de même des personnes qui vivent dans l'oisiveté, car il n'y a rien de plus défavorable à la santé que la complète inaction, de même qu'un exercice
6 modéré est le plus grand des biens. Les mets qui tiennent le milieu entre les atténuants et les incrassants sont les meilleurs de tous, car ils produisent un sang d'une juste consistance; ces aliments conviennent donc à notre corps; mais ceux qui produisent un suc de mauvaise qualité lui
7 sont nuisibles; il faut toujours s'en abstenir. On doit éviter aussi la di-

7. μεταλαμβάνοιεν Paul.; ἀντιλαμβάνοιεν Codd. — Ib. αὐτοῖς Codd. — 8. [οἱ] Paul.; om. Codd. — 13. καὶ λεπτυνόντων om. M.

λίαν τῶν τροφῶν ἄμεινον, μᾶλλον ἐὰν ἐξ ἐναντίων ὦσι δυνάμεων· οὐ γὰρ πέπεται τὰ ληφθέντα προσηκόντως.

versité des mets, surtout s'ils sont opposés les uns aux autres par leurs qualités, car il en résulte que ce qu'on mange n'arrive pas à une coction
5 parfaite.

Ch. 18. = *Coll. méd.* III, 2. Cf. *Syn.* IV, 1.

Om. *κάρδαμα*, t. I, p. 193, 1; *μίνθη*, 2; donne *σισυάρια* au lieu de *σισύμβριον*, 2-3; om. *καὶ οὐκέτι... κοινῇ*, p. 193, 4-8; *σία*, 8; donne *πλὴν εἰ διὰ μετά* (sic), au lieu de *πλὴν εἰ μὴ διὰ μακροῦ*, p. 194, 8-9; om. *εἰ βούλοιο καὶ ἄφθονον*,
10 10; *τὰ γὰρ... εἰσι. Καί*, 12-p. 195, 5; *ἰουλίδος... εἰπεῖν*, p. 195, 8-10; *Μαλακὴ... μαλακή*, 12-p. 196, 1; donne *ἔχεις δέ* au lieu de *Ταῦτα οὖν ἔχεις*, p. 196, 1; om. *καὶ τούτοις..... νοῦν*, 2-3; *καὶ τοῦδε..... ἀπορήσαντα*, 5-6; *ὥστε καὶ..... ψῆτα*, p. 196, 6-p. 197, 5; ajoute *διὰ ὀξους δὲ μᾶλλον ἄμεινον καὶ ὀξυμέλιτος ἐσκευασμένου, προσφέρεσθαι τῶν ἐδεσμάτων τὰ πλεῖστα, καὶ προταριχεύειν αὐτῶν ὅσα*
15 *δυνατόν* après *φυλάσσεσθαι*, p. 198, 1; ajoute *τὰ δὲ βραδυπορώτερα χείρω καὶ μᾶλλον εἰ σκληρὰ τυγχάνοι· ἀλλὰ τούτων μὲν μὴ γεύεσθαι μηδενὸς πλὴν τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων, οἷά περ ἐστὶν ἀπίων τε καὶ μήλων, καὶ σταφυλῶν οὐκ ὀλίγα γένη· τὰ δὲ μαλακώτερα μᾶλλον ἐσθίειν* après *κοιλίας*, 3; om. *τὰς..... Καί*, 3-5; *ὡς ἔπος εἰπεῖν*, 10; donne *λεπτὸν γεννᾷ χυμόν* au lieu de *λεπτοῦ..... γεννητικόν*, 10-11; om. *Καὶ μὲν..... ἐστίν*, 13-14.
20

Ch. 19. = *Coll. méd.* III, 3. Cf. *Syn.* IV, 2.

Om. *καὶ ὁ καλ. τράγος*, p. 199, 1; *ἅπερ*, 3; *τὸ δὲ*, 6; *τὸ... ρυπτικόν*, 7-8; *σησάμου σπέρμα, ἐρησίμου σπέρμα*, 8-9; ajoute *καὶ αἱ* avant *χῆμαι*, p. 200, 1; donne *ὅσα* au lieu de *ἁπλῶς*, 2; donne *ἥπατα* au lieu de *ἧπαρ*, 4; ajoute *κοκύμηλα* après
25 *μύκητες* et om. *ἄρου ῥίζα*, 9; om. *κιτρίου ..... πέπειρα*, 10-11.

Ch. 20. = *Coll. méd.* III, 4. Cf. *Syn.* IV, 3.

Om. *τρυγόνων..... τε καί*, p. 201, 5-6, et donne *πολλά* au lieu de *μυρία* p. 202, 1.

Ch. 21. = *Coll. méd.* III, 5. Cf. *Syn.* IV, 4.

30 Donne *γεννῶσι γλίσχρον χυμόν· ἐστὶ δέ* au lieu de *τοιοῦτοι*, p. 202, 9; *κάλεσον* au lieu de *καλλωσόν*, 10, et *παγκρέας* au lieu de *πᾶν κρέας*, ibid.

Ch. 22. = *Coll. méd.* III, 6. Cf. *Syn.* IV, 5.

Om. *ὡς... ῥίγεσιν*, p. 203, 1-2; *ὅταν... αὐτῆς*, 3; ajoute *διὸ προταριχεύοντες,*

εἰς χρῆσιν ἄγουσιν αὐτά, après *ζῴων*, 7; om. *τυροί*, 8; ajoute *καὶ μὴ διαφθαρεῖσα*, après *ἐπισχεθεῖσα*, 9.

Ch. 23. = *Coll. med.* III, 7. Cf. *Syn.* IV, 6.

Om. *οὐκ.....* Κοιλία, p. 204, 1-2; ajoute *ἔτι* avant *ἔντερα*, 2.

Ch. 24. = *Coll. med.* III, 8. Cf. *Syn.* IV, 7. 5

Om. *βωλῖται ἀμανῖται*, p. 204, 7.

Ch. 25. = *Coll. med.* III, 9. Cf. *Syn.* IV, 8.

Donne *προβάτων* au lieu de *ὄνεια, καμήλεια, ἀλωπ. κυνῶν*, p. 204, 10: le nom. pluriel au lieu du génit. plur. pour *θύννων..... ἁπάντων*, p. 205, 2-3; donne *ὡς σχίνου* et om. *λέγω*, 5; om. *καὶ βάτου καὶ κυνοσβ.*, 5-6; donne *μελαγχολικώτερον*, 7; *πονηρῶν* au lieu de *μοχθηρῶν*, 8; *ἁπαλοί* au lieu de *παλαιοί*, 9. 10

Ch. 26. = *Coll. med.* III, 10. Cf. *Syn.* IV, 9.

Donne *πικρὸς καὶ λεπτόχυλος* au lieu de *λεπτὸς καὶ πικρόχ.*, p. 205, 11.

Ch. 27. = *Coll. med.* III, 11. Cf. *Syn.* IV, 10.

Ch. 28. = *Coll. med.* III, 12. Cf. *Syn.* IV, 11. 15

Ch. 29. (Ὅσα πολύτροφα) = *Coll. med.* III, 13. Cf. *Syn.* IV, 12.

Donne *κάρα* au lieu de *καρδία*, p. 207, 4; *τρὶς ἑψηθέντες* au lieu de *τρίσεφθοι γενόμενοι*, 7; *καὶ τὰ ὅμοια* au lieu de *ὅσα τε..... δίδωσι*, 8-9; om. *ἄλλα*, p. 208, 1; donne *παραπλήσια, καὶ τῶν* au lieu de *τοιαῦτα*. Τῶν, 2; om. *ἢν καὶ βουβωνιάδα καλοῦσιν*, p. 209, 1; *πάντων τῶν... ἐρυθροὶ καὶ παχεῖς*, 5-7; ajoute *μᾶλλον* après *σλύφοντες*, 8. 20

Ch. 30 (Ὅσα ὀλιγότροφα). = *Coll. med.* III, 14. Cf. *Syn.* IV, 13.

Om. *ὡς..... θᾶτλον*, p. 210, 4-5; *ὅπως..... εἰσίν*, 7; *λίνου σπέρμα, ὄρμινον*, 11; *ὁ τῶν..... μύρτα*, 11-12; *μιμαίκυλα... ἀλικ.*, p. 211, 2-3; *λάπαθον... τρύχνος*, 4-5; *γογγυλίς*, 5; *κάδρ. πύρεθρον*, 5-6; *καὶ ἀμπελόπρασα*. 7; *δὲ..... τρόφιμον*, 9-10; *ὀλιγότροφος*, 10. 25

Ch. 31 (Ὅσα μέσα τῶν ὀλιγοτρόφων καὶ πολυτρ.). = *Coll. med.* III, 14 (suite, depuis Μέσα, *κ. τ. ἑ.* p. 211, 11). Cf. *Syn.* IV, 13 (suite).

S'arrête au mot *σαρκί* (*σαρκίον* dans *Ad Eun.*), p. 212, 4.

Ch. 32. = *Coll. med.* III, 15. Cf. *Syn.* IV, 14. 30

Om. *χείρω..... σπρουθ.*, p. 212, 11-p. 213, 1; *καὶ μάλιστα..... ταῦτα*, p. 213,

13; ajoute χρὴ τῶν ἰχθύων après ποιεῖσθαι, 13; om. καὶ μέντοι..... ἐστίν, p. 214, 13; κάλλιστον..... πλεῖστον, p. 215, 3-7; donne ὁμοίως ταῖς σαρξὶν εὔχυμα au lieu de διδόασιν ..... σάρκα, 10-11; om. ὁ γὰρ..... πεζοῖς, 12-p. 216, 6; καὶ μᾶλλον ὁ γλυκύτερος, p. 216, 4-5; κιρρός, 5.

5 Ch. 33. = *Coll. med.* III. 16, Cf. *Syn.* IV, 15.

Om. Τῆς..... μελαγχολ., p. 217, 9; donne εἰσί au lieu de τισὶν ᾗ, 11; om. ὁμοίως μ. δριμύτητος, p. 218, 4; ἥτ̓τον..... ζῴων, 12; τῶν..... ἐσθίειν, p. 218, 13-p. 219, 1; Τίφαι, p. 219, 1; ὅτε..... εὔχυμος, 1-2; κόκκυγες, 5; Καὶ..... πλῆθος, 7-11; ajoute περσικαὶ ῥοιαὶ, μέσπιλα κράνια προῦμνα, κέρατα avant ὁ τῆς,
10 p. 220, 1; ajoute σῦκα δὲ ἥτ̓τον τῶν ἄλλων ὡραίων ἐστὶ κακόχυμα καὶ ἰσχάδες τοῖς πλεονάζουσιν ἐν αὐταῖς, οὐ πάνυ χρηστὸν αἷμα γεννῶσιν, ὅθεν αὐταῖς καὶ τὸ τῶν φθειρῶν ἕπεται πλῆθος après γίνεται, p. 220, 4; om. εἶτα, puis καὶ ἀνδρ. καί, puis καὶ λάπαθον, 7; τε τῶν ἄρων εἰσὶ καί, et ajoute εἰσί après γογγυλῶν, 11; om. ἃς βουνιάδας ὀνομάζουσι, 11-12; καὶ ἀμπελ. p. 221, 1; θριδακίνη..... κιχώριον,
15 3-4; ajoute καὶ ἀηδεῖς avant καὶ αὐστηροί, 5.

Ch. 34. = *Coll. med.* III, 17. Cf. *Syn.* IV, 16.

Om. τε καὶ ἀλεκτρυόνος, p. 222, 1; Πάντων τῶν, 10; παρακμ..... τῆς τῶν, 11-12; donne ἧπαρ au lieu de ἥδιον, p. 223, 5.

Ch. 35. = *Coll. med.* III, 18. Cf. *Syn.* IV, 17.

20 Ajoute ὀνώδη καὶ ξηρὰν καὶ διὰ τοῦτο δύσπεπτον ἔχουσι τὴν σάρκα, après γηράσαντες, p. 223, 9; om. σπλάγχνα πάντα, 10; ἅπαν αἷμα, p. 224, 1; ἔτι, 3; ajoute τῆς παλαιᾶς avant τρυγόνος, 4; δυσπεπτότερα καὶ ἐνωδέστερα τούτων, après νήττης et om. καὶ πλέον, 4; donne ἐθύκης au lieu d'αἰθυίας et om. ὥς τι... εἰσι φάρμακον, 6-8; om. καὶ..... κοιλίαν, 9; σάλπαι..... ἀετοί, mots qui sont
25 remplacés par γόγγροι, p. 225, 5-6; om. ὀπτά, 6; ὁ καλούμενος... δυσπεπ. 7; καὶ..... ἄρτοι, 8; ὦχροι, 9; βίκος, 10; ἐρύσιμον, 11; βάλανοι, 11; καὶ οὖα, 12; transporte καὶ σῦκα (l. 11) après πεπανθῆναι et ajoute τὰ μήπω πέπειρα, 12; om. κίτριον..... δριμέων, p. 226, 1-3; Δύσπεπτον, 6.

Ch. 36. = *Coll. med.* III, 19. Cf. *Syn.* IV, 18.

30 Om. τὸ ἀκανθώδη... προσήκει, p. 226, 12-227, 2; σισάρου..... Τό, p. 227, 3; ajoute παγουρ (sic. πάγουρος?) après σκάνδικι, 4; Ὡς... ἀλόη, 11-12.

Ch. 37. = *Coll. med.* III, 20. Cf. *Syn.* IV, 19.

Om. Ἀρκευθίδες..... σπέρμα, p. 228, 1-2; λάπαθον ὁμοίως, 3; ὁμοίως, 6; τοῖς δὲ..... ἐστι, 7-8; καὶ γὰρ..... ἔμετον, p. 228, 10-p. 229, 1; ἀλλὰ οὐχ, p. 229, 2;
35 Ὡς..... ἀφρόνιτρον, 5-6.

Ch. 38. = *Coll. med.* III, 22. Cf. *Syn.* IV, 21.

Om. ἡ ῥίζα καὶ τὸ σπέρμα, p. 230, 8; καὶ γάρῳ, 10; ajoute κατὰ τὴν ἕψησιν ἀποθέμενον ἅπαντα τὸν ἀφρόν après μέλι τό et om. ἀπαφρισθέν, 11; om. ὅπως..... εἰσίν, p. 231, 1-2; ἄρακοι, 3.

Ch. 39. = *Coll. med.* III, 23. Cf. *Syn.* IV, 22. 5

Om. φάσηλοι, ὦχροι, p. 231, 4; donne κύαμοι, λοβοὶ δὲ ἧτλον τῶν κυάμων, μᾶζα au lieu de Τῶν κυάμων... Ἡ μᾶζα, p. 231, 5-7; om. φυσώδης... Ζύθος, 7-9; οὔτε... ταύτην, p. 232, 7-8; donne ὁμοίως au lieu de φυσῶδές ἐστιν, 9.

Ch. 40. = *Coll. med.* III, 24. Cf. *Syn.* IV, 23.

Om. πέπων, p. 232, 10; οἱ καὶ..... ἐναργῶς, p. 233, 1; donne καὶ ἀπορρύπτει καὶ ἐκφράττει μάλιστα διὰ ὀξυμ. au lieu de ἡ γοῦν..... διὰ ὀξυμ. 3-6; σιτίων ἐσθιομένη τεύτλων ὁ χυλὸς ῥύπτει au lieu de σιτίων. Ὁ ἐν..... λύει, 6-8; om. ὁμοίως..... ῥίζα καί, 9-10; διὸ καὶ..... ἅμα, 11-12; καὶ ἀμπελόπρασα, 13; ἑψηθέντα..... ἔτι, p. 234, 1-3; ἐπὶ... αὐτῶν, 4-5; ἀρκευθίδες... χυμούς, 6-8; donne δυνάμεις au lieu de διεξόδους et om. αὐτοῦ..... δυνάμεως, 12; donne ἀνάκτησιν au lieu de ἀνάπτυσιν, p. 235, 9.

Ch. 41. = *Coll. med.* III, 25. Cf. *Syn.* IV, 24.

Om. μὲν..... τὸ δέ, p. 235, 11-p. 236, 1, et donne ὀροῦ au lieu de τούτου, p. 236, 1; om. οὐ... γλυκέων, 6-7; ἐμφραττομένοις..... εἰσίν, 8-11; ταχέως..... θώρακος, 236, 13-p. 237, 1; καὶ γλυκεῖς, p. 237, 1-2; καὶ μᾶλλον οἱ χλωροί, 2.

Ch. 42. = *Coll. med.* III, 26. Cf. *Syn.* IV, 25.

Om. καὶ μᾶλλον... μᾶλλον, p. 238, 1; ἐρύσιμον, βάλανοι, 2.

Ch. 43. = *Coll. med.* III, 27. Cf. *Syn.* IV, 26.

Ajoute πάντα ὅσα κακόχυμα ἐστιν, ὑγρὰ δὲ καὶ ὀλισθηρὰ καὶ ὑπεῖναι ῥᾳδίως δυνάμενα après ὑπελθεῖν, p. 238, 8; donne ληφθέντα au lieu de βρωθέντα, p. 239, 2, et om. αὐτά τε διαφθείρεται, 2-3.

Ch. 44. *Coll. med.* III, 28. Cf. *Syn.* IV, 27.

Ch. 45. = *Coll. med.* III, 29. Cf. *Syn.* IV, 28.

Donne καὶ κοχλίαι au lieu de καλούμενα, p. 240, 4; donne ἤ τε ἄλλα τὰ εἰρημένα au lieu de ἤ τι..... εἶπον, 7-8; om. διὰ..... πίτυρον, p. 241, 5-6; καὶ τῷ... ἔκκρισιν, 9; Ὥσπερ... διαχώρησιν, 241, 12-p. 242, 2; ἀνατροπῆς... ὅσον, p. 242, 5-6; εἴγε... ἁλῶν, 6-8; καὶ τὰ ἄκρεα αὐτῶν, 9; λάπαθον ἀκαλήφη, 10-11; καθαρᾷ... καί, p. 243, 1; διεξέρχεται..... ὁμοίως, 2-4; ἀλλὰ..... ὑπάγει, 5-7; μελικράτῳ,

7; donne *μέσης πώς ἐστι δυνάμεως τῶν τε ὑπαγόντων καὶ ὑπεχόντων τὸ μέλι μόνον* au lieu de *ἐὰν μὲν*..... *Καὶ μόνον αὐτὸ τὸ μέλι*, p. 244, 2-p. 245, 1; donne *ὑπέρχεται*, p. 245, et om. *φθάνει* .... *ἔντερον*, 2-3; donne *συμβάλλεται ἐπὶ τῇ* au lieu de *συλλαμβάνει τι βραχὺ τῇ*, 4.

5 Ch. 46. = *Coll. med.* III, 30. Cf. *Syn.* IV, 30.

Om. *ὁ δὲ*... *ἅ*, p. 245, 7-8; *καλοῦσι*, et *μέν*, 8; *ἐπέχει*... *γαστέρα*, 245, 8-p. 247, 5, et donne à la place *καὶ ἄπιοι ὁμοίως καὶ ῥοιαί* (voy. p. 246, l. 4); donne *ὄξους* au lieu de *ἁλῶν*, p. 348, 7.

Ch. 47. = *Coll. med.* III, 31. Cf. *Syn.* IV, 3.

10 Om. *ἀρκευθίδες* et *μετρίως*, p. 249, 2; *ἐρύσιμον*..... *σπέρμα*, 3; *δριμέα καὶ θερμά*, 6-7; *δαῦκοι* et *θερμαίνουσι σαφῶς*, 7; *ἀμπελόπρασον*... *δριμύτητα*, 8-9; *θερμὸς*... *διψώδης*, 10.

Ch. 48. = *Coll. med.* III, 32. Cf. *Syn.* IV, 32.

Donne *Μῆλα τὰ στύφοντα καὶ τὰ ὀξέα καὶ τὰ ἄπια, καὶ ἄπιοι δὲ καὶ ῥοιαὶ ὁμοίως αἱ*
15 *τοιαῦται ψύχουσιν* au lieu de *Τὰ μὲν στύφοντα*..... *ἐστιν*, p. 250, 8-251, 2; om. *τοῦτο*... *στύφουσαν ἔχει*, p. 251, 4-8; *διαδυόμενον εἰς βάθος*, p. 252, 2-3.

Ch. 49. = *Coll. med.* III, 23. Cf. *Syn.* IV, 33.

Om. *παραπλησίως*... *συμβέβηκεν*, p. 252, 5-253, 1; *ξηραίνει*, p. 253, 1; *ἔδεσμα ξηρ. γίνονται*, 3; *ὅσα δὲ ἐν ὕδατι*..... *ἐστίν*, 5-6; *τὰ δὲ*..... *ὑγρότερα*,
20 p. 253, 8-254, 1.

Ch. 50. = *Coll. med.* III, 34. Cf. *Syn.* IV, 34.

Ajoute *σούσινα* (à la marge *σούσινα*) avant *κοκκύμηλα* et om. *συκόμορα*, p. 254, 6; *μὴ διαφθ*.....*ληφθείη*, 6-8; *ὑγραίνει*, 8; *ταύτης*..... *Ἀνδράχνη*, 8-9; *Ὑγροὶ*..... *σπέρμα*, p. 254, 10-255, 3.

25 Ch. 51. = *Coll. med.* III, 21. Cf. *Syn.* IV, 20.

Om. *ὅσα*..... *ῥίζαι*, 5. 229, 7-10; *λίνου σπέρμα*, 11.

νβ'. Ὅτι γάλα ὀδόντας βλάπτει.

Γάλα βλάπτει τοὺς ὀδόντας, εἰ συνεχῶς αὐτὸ χρῶτό τις, καὶ τὰ 1

52. QUE LE LAIT NUIT AUX DENTS.

Le lait, si on en fait un usage trop continu, nuit aux dents et aussi 1

2 οὖλα. Ταῦτα μὲν πλαδαροῖ, τοὺς ὀδόντας δὲ εὐσήπτους τε καὶ ῥᾳδίως βιβρωσκομένους ἐργάζεται· χρὴ τοίνυν ἐπὶ τῇ τροφῇ τοῦ γάλακτος οἴνῳ κεκραμένῳ διακλύζεσθαι· καὶ βέλτιον δὲ εἰ καὶ μέλι ἐπεμβάλοι αὐτῷ.

2 aux gencives. Il ramollit les gencives, et il dispose les dents à se carier et à se corroder; il convient donc, après avoir bu du lait, de se rincer la bouche avec du vin; le mieux est encore de mêler du miel au lait.

ΒΙΒΛΙΟΝ Β'.

[ΠΡΟΟΙΜΙΟΝ.]

Ὅσα μὲν εἰδέναι τέ σε καὶ ποιεῖν δυνατὸν ἦν φυλακῆς ἕνεκα τῆς 1
ὑγιείας εἴρηται· καιρὸς δὲ τάς τε δυνάμεις ἐπελθεῖν τὰς καθόλου
τῶν ἁπλῶν καὶ εὐπορίστων φαρμάκων, καί τισι τῶν παθῶν οἷόν
τε βοηθεῖν ἕκαστον τούτων. Καὶ μετὰ ταῦτα ὥσπερ ἐπὶ τῶν τρο- 2
5 φῶν, οὕτω καὶ ἐπὶ τῶν ἁπλῶν φαρμάκων πράξομεν, τὰς ὕλας
ἑκάστης δυνάμεώς τε καὶ ἐνεργείας, εἰς ἓν ἀθροίσαντές τε καὶ ἀνα-
γράψαντες· εὐπορεῖν γὰρ ἡμᾶς τῶν ἐπιτηδείων ἰάσεων, ὧν ἂν
ἑκάστοτε δεώμεθα, τοῦτο μάλιστα πάντων ποιεῖν δυνήσεται.

α'. Κατὰ στοιχεῖον.

Α

Ἄγνου τὰ φύλλα καὶ τὰ ἄνθη, καὶ ὁ καρπὸς, θερμὰ μέν ἐστι καὶ 1
ξηρὰ τὴν δύναμιν σφοδρῶς, λεπτομερῆ δὲ ἱκανῶς καὶ τὰς ἀφρο-

LIVRE II.

[PRÉAMBULE.]

J'ai dit, Eunape, tout ce que tu pouvais savoir et faire pour la con- 1
servation de la santé; il est temps maintenant d'aborder les propriétés générales des médicaments simples et faciles à se procurer, et d'indiquer pour quelle affection chacun d'eux peut servir de remède (ch. 1). Après cela, agissant pour les médicaments simples comme pour les ali- 2
ments, je rassemblerai, en outre, et je décrirai la matière et la vertu de chaque catégorie de médicaments (ch. 2-23, *les réchauffants, les réfrigérants, etc.*); car c'est surtout grâce à cette méthode que nous pourrons trouver les médications dont nous avons besoin chaque jour.

6. τε om. MV.

δισίους ὁρμὰς ἐπέχει· διόπερ οὐ μόνον ἐσθιόμενα καὶ πινόμενα, πρὸς ἀγνείαν πεπίστευται συντελεῖν, ἀλλὰ καὶ ὑποστρωννύμενα· καὶ πρὸς ἧπαρ καὶ σπλῆνα σκιῤῥούμενά τε καὶ ἐμφραττόμενα, τὸ
2 σπέρμα μᾶλλον ἁρμότει τοῦ πηγάνου. — Ἀγρώστεως ἡ ῥίζα μετρίως ἐστὶ ψυχρὰ καὶ ξηρὰ, καὶ διὰ τοῦτο κολλητικὴ τῶν ἐναίμων 5
3 ἑλκῶν. Αὐτὴ δὲ ἡ πόα καταπλατυνομένη ψύχει μὲν, οὐκ ἰσχυρῶς·
4 ξηρότητος δὲ καὶ ὑγρότητος ἐν τῷ μέσῳ καθέστηκε. Τὸ δὲ ἐν τῇ ῥίζῃ δακνῶδές τε καὶ λεπτομερές ἐστι μὲν ὀλίγον· εἴωθε δὲ ἐνίοτε
5 καὶ λίθους θρύπτειν, εἴ τις αὐτὴν ἀφεψήσας πίνοι. — Ἀγαρικὸν διαφορεῖ, καὶ πάχος τέμνει· διακαθαίρει τε τὰς ἐν τοῖς σπλάγχνοις 10 ἐμφράξεις, καὶ διὰ τοῦτο καὶ ἰκτεριῶντας ἰᾶται, τοὺς ἐπὶ ἐμφράξει
6 τῶν κατὰ ἧπαρ συνιστάμενους. Ὀνίνησι δὲ καὶ τοὺς ἐπιληπτικοὺς καὶ τὰ ῥίγη τὰ κατὰ περίοδον, ὅσα παχέων ἢ γλίσχρων χυμῶν
7 ἐστὶν ἔκγονα. — Ἀδίαντον ξηραίνει, λεπτύνει, διαφορεῖ· καὶ γὰρ ἀλωπεκίας δασύνει καὶ χοιράδας· καὶ ἀποστήματα διαφορεῖ· καὶ 15 λίθους θρύπτει πινόμενον· καὶ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναγωγαῖς τῶν γλίσχρων καὶ παχέων οὐ σμικρὰ συντελεῖ· καὶ ῥεῦμα
8 κοιλίας ἵστησι. Μέσον δέ ἐστι κατὰ θερμότητα καὶ ψυχρότητα τὴν
9 κρᾶσιν. — Αἰγίλωψ διαφορητικὴν ἔχει δύναμιν· τὰς γοῦν σκληρυ-
10 νομένας φλεγμονὰς καὶ αἰγίλοπας καὶ ἀλωπεκίας ἰᾶται. — Ἀείζωον 20 ἑκάτερον καὶ τὸ μικρὸν καὶ τὸ μέγα, ξηραίνει μὲν πρᾴως· κρατεῖ δὲ ἐν αὐτῷ ἡ ὑδατώδης μᾶλλον οὐσία καὶ ψύχει σφοδρῶς· ταῦτα ἄρα καὶ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας καὶ πρὸς τὰς ἐκ ῥεύματος
11 φλεγμονὰς ἁρμότει. — Αἶρα θερμαίνει καὶ ξηραίνει σφοδρῶς καὶ
12 δρασικῶς ὡς ἐγγὺς εἶναι τῶν δριμέων. Ξηραίνει δὲ ἱκανῶς. — Αἰγείρου τὰ ἄνθη θερμαίνει μὲν σφοδρῶς, ξηραίνει δὲ μετρίως· ἔστι 25
13 δὲ καὶ λεπτομερής. Ἡ ῥητίνη δὲ αὐτῆς θερμοτέρας δυνάμεώς ἐστιν.
14 — Ἀκακία ξηραίνει μὲν σφοδρῶς, ψύχει δὲ ἱκανῶς ἐπειδὴ ἂν πλυνθῇ· μὴ πλυνθεῖσα δὲ μετρίως· οὐκ οὖσα γὰρ ὁμοιομερῆ ἔχει τινὰ μόρια

1. ὁρμὰς om. M. — 3. ἧπαρ] τὰ δέ MV. — 8. μέν om. F. — 10. διαφορητικόν M. — 13. χυμῶν om. F. — 23. ἐκ ῥευμάτων Gal.; ἐξ αἵματος MV; ἐκ φλέγματος F. — 28. Ἀκακία] Ἀκακία ἀώρων προύμνων χυλός F in ora.

παρεσπαρμένα καὶ λεπτομερῆ καὶ θερμὰ τὰ κατὰ τὴν πτύσιν ἀπο-
χωροῦντα. — Ἀκαλήφης τὰ φύλλα καὶ ὁ καρπὸς διαφορητικῆς καὶ 15
λεπτομεροῦς ἐστι δυνάμεως ἱκανῶς, ἄνευ τοῦ θερμαίνειν σφοδρῶς·
ἰᾶται γοῦν φύματα καὶ παρωτίδας, καὶ τὰ ἐκ θώρακος καὶ πνεύ-
5 μονος ἀνάγει, καὶ τῶν ὑγρῶν τὰ παχέα τε καὶ γλίσχρα. Ἔχει δέ 16
τι καὶ φυσῶδες, ᾧ καὶ τὰς πρὸς συνουσίαν ὁρμὰς ἐπεγείρει, καὶ
μάλιστα δὲ ὅταν μετὰ γλύκεος πίνηται τὸ σπέρμα.—Ἀκάνθης λευκῆς 17
ἡ ῥίζα ξηραίνει μετρίως καὶ στύφει, διὸ καὶ κοιλιακοὺς καὶ στομα-
χικοὺς ὠφελεῖ, καὶ τὰς τοῦ αἵματος ἀναγωγὰς ἐπέχει, καὶ τὰ οἰδή-
10 ματα καταπλατυνομένη προσελεῖ, καὶ ὀδόντας ἀλγοῦντας ὀνίνησιν,
εἴ τις διακλύζοιτο τῷ ἀφεψήματι. Τὸ δὲ σπέρμα λεπτομεροῦς τε καὶ 18
θερμῆς ἐστι δυνάμεως, ὥστε καὶ τοῖς σπωμένοις ἁρμόττει πινόμε-
νον. — Ἀκόρου ἡ ῥίζα θερμὴν ἔχει καὶ ξηρὰν τὴν δύναμιν σφοδρῶς, 19
καὶ λεπτομερῆ τὴν σύστασιν, κινεῖ γοῦν οὖρα καὶ σπλῆνας ὠφελεῖ
15 σκιῤῥουμένους.—Ἀλόη θερμαίνει μὲν σφοδρῶς, ξηραίνει δὲ καὶ στύ- 20
φει μετρίως. Ἔστι δὲ εὐστόμαχον τὸ φάρμακον, εἴπερ τι καὶ ἄλλο, 21
καὶ κόλπων κολλητικόν. Ἰᾶται δὲ καὶ τὰ δυσεπούλωτα τῶν ἑλκῶν 22
καὶ μάλιστα τὰ κατὰ ἕδραν τε καὶ αἰδοῖον· ὠφελεῖ δὲ καὶ τὰς φλεγ-
μονὰς αὐτῶν ὕδατι διεθεῖσα καὶ κολλᾷ τραύματα κατὰ τὸν αὐτὸν
20 τρόπον. Ἁρμόττει δὲ ὡσαύτως χρωμένῳ καὶ πρὸς τὰς ἐν στόματι 23
καὶ ῥισὶ καὶ ὀφθαλμοῖς φλεγμονάς· καὶ ὅλως ἀποκρούεσθαί τε καὶ
διαφορεῖν ἅμα πέφυκε, μετὰ καὶ τοῦ ῥύπτειν ἐπὶ ὀλίγον, εἰς ὅσον
ἕλκεσι καθαροῖς ἄλυπον. — Ἅλες παραπλησίαν ἔχουσι δύναμιν οἵ 24
τε ὀρυκτοὶ καὶ οἱ ἐκ τῆς θαλάσσης ἐκ δυαῖν ποιοτήτων ῥυπτικῆς
25 τε καὶ στυπτικῆς· ὅτι δὲ ἀμφότεροι καὶ ξηραίνουσι, δῆλον. Διὸ τὸ 25
μὲν ὑγρὸν τὸ ἐν τῷ σώματι πᾶν ἐκβόσκονται, τὰ δὲ στερεὰ συν-
άγουσι τῇ στύψει, καὶ διὰ τοῦτο ταριχεύουσι, καὶ ἄσηπτα φυλάσ-
σουσι τὰ σώματα. Οἱ δὲ κεκαυμένοι τὸ μὲν διαφορητικὸν ἔχουσι 26
μᾶλλον, τὸ πιλεῖν δὲ καὶ συνάγειν, οὐχ ὁμοίως. Ἁλὸς ἄνθος λεπτο- 27
30 μερέστερόν ἐστι τῶν κεκαυμένων ἁλῶν, δριμύ τε τῇ ποιότητι καὶ

6. τι φυσῶδες MV. 12. δυνάμεώς — 26. πάνυ μὲν βόσκονται F. — 28. τε καὶ MV. — 15. σκιῤῥουμένη MV. μὲν om. M.

28 διαφορητικὸν ἱκανῶς. — Ἄμμι σπέρμα θερμαίνει καὶ ξηραίνει σφο-
δρῶς, λεπτομερὲς ὄν· ἔστι δὲ καὶ διουρητικὸν καὶ διαφορητικόν. —
29 Ἀμόργη θερμαίνει μὲν, οὐ μὴν ἐπιφανῶς δάκνει· εἰ δὲ ἑψηθείη,
30 γίνεται δυνάμεως θερμῆς καὶ ξηρᾶς ἱκανῶς. — Ἀμπέλου λευκῆς, ἣν
δὴ καὶ βρυωνίαν καλοῦσιν, οἱ βλαστοὶ τὴν οὔρησιν κινοῦσι μετρίως. 5
31 Ἡ δὲ ῥίζα ῥυπτικὴν καὶ ξηραντικὴν καὶ λεπτομερῆ δύναμιν ἔχει,
καὶ συμμέτρως θερμαίνει· διὸ καὶ σπλῆνας τήκει καὶ σκιῤῥουμέ-
32 νους, πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη. Μετὰ δὲ σύκων, καὶ
33 ψώρας καὶ λέπρας ἰᾶται. Ἡ δὲ μέλαινα παραπλήσιός ἐστι τὰ πάντα
34 τῇ προειρημένῃ πλὴν ἀσθενεστέρα. — Ἀμύγδαλα τὰ μὲν πικρὰ φα- 10
νερῶς τῆς λεπτυνούσης ἐστὶ δυνάμεως ὡς ἔφηλίν τε ἀποκαθαίρειν,
καὶ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσι τῶν γλίσχρων τε
καὶ παχέων χυμῶν ἱκανῶς συντελεῖν· ἀλλὰ καὶ ἐκφράττει καὶ ἐκ-
35 καθαίρει τὸ ἧπαρ, καὶ σπλῆνα, καὶ κῶλον, καὶ νεφρούς. Καὶ τὸ
δένδρον αὐτὸ σύμπαν ὁμοίαν ἔχει τὴν δύναμιν, ὥστε καὶ τούτου 15
36 τὰς ῥίζας ἑφθὰς ἐπιπλάττοντας, ἀποκαθαίρουσιν ἔφηλιν. Τὰ δὲ
37 γλυκέα τῶν ἀμυγδάλων ἀσθενέστερα τῶν πικρῶν. — Ἀμμωνια-
κὸν μαλακτικῆς ἐστι δυνάμεως ἐπιτεταμένης, ὥστε καὶ τοὺς ἐπὶ
τῶν ἄρθρων πόρους διαλύειν καὶ σπλῆνας ἐσκιρρουμένους ἰᾶσθαι,
38 καὶ χοιράδας διαφορεῖν. — Ἄμωμον ἔοικε τὴν δύναμιν ἀκόρῳ 20
πλὴν ὅσον ξηρότερόν ἐστι τὸ ἄκορον, πεπτικώτερον δέ πως τὸ
39 ἄμωμον. — Ἀναγαλλὶς ἑκατέρα, ἥ τε τὸ κυανοῦν ἄνθος ἔχουσα, καὶ
τὸ φοινικοῦν, ῥυπτικῆς ἱκανῶς εἰσι δυνάμεως, ἔχουσαί τι καὶ ὑπό-
40 θερμον καὶ ἑλκτικὸν, ὥστε καὶ σκόλοπας ἐπισπᾶσθαι. Ὁ δὲ χυλὸς
αὐτῶν ἐκ ῥινῶν καθαίρει· καὶ καθόλου ξηραντικὴν ἔχουσι δύναμιν 25
ἄδηκτον, ὅθεν καὶ τραύματα κολλῶσι καὶ τοῖς σηπομένοις βοηθοῦ-
41 σιν. — Ἀνδράχνη ψυχρὰ μὲν σφοδρῶς ἐστιν, ὑγρὰ δὲ ἱκανῶς,
ὀλίγου τινὸς αὐστηροῦ μετέχουσα· διὸ καὶ ἀποκρούεται ῥεύματα,
καὶ μάλιστα τὰ χολώδη καὶ θερμὰ μετὰ τοῦ μεταβάλλειν αὐτὰ, καὶ
42 ἀλλοιοῦν κατὰ τὴν ποιότητα καὶ σφοδρῶς ἐμψύχειν. Ταῦτά τοι καὶ 30

11. ἔφηλιν] ἐφ' ἡστέον (sic) MV. Ib. τε om. MV. — 15. δ. δὲ αὐτὸ MV.

τοὺς καυσομένους ὀνίνησιν εἴπερ τι καὶ ἄλλο τῶν ὑποχονδρίων. Αἱ- 43
μωδίας τέ ἐστιν ἴαμα, καὶ ὁ χυλὸς δὲ αὐτῆς ὁμοίως· ὥστε οὐ μόνον
ἔξωθεν ἐπιτιθέμενος, ἀλλὰ καὶ πινόμενος ἐμψύχει. Τοῦτο μέν γε 44
καὶ αὐτῇ τῇ βοτάνῃ συμβέβηκεν ὅλῃ βρωθείσῃ. Διὰ δὲ τὸ ὑποστύ- 45
φειν, καὶ δυσεντερικοῖς ἐστιν ἐπιτήδειον ἔδεσμα καὶ γυναικείῳ ῥῷ
καὶ αἵματος ἀναγωγαῖς· εἰς ταῦτα μέν τοι πολὺ δραστικώτερος αὐ-
τῆς τῆς πόας ὁ χυλός ἐστιν. — Ἀνεμῶναι πᾶσαι δριμείας καὶ ῥυπτι- 46
κῆς εἰσιν ἐπισπαστικῆς τε καὶ ἀνασταλτικῆς δυνάμεως· ὅθεν ἥ τε
ῥίζα διαμασωμένη φλέγμα προκαλεῖται, καὶ ὁ χυλὸς ἐκ ῥινῶν κα-
θαίρει, καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς λεπτύνει, καὶ τὰ ῥυπαρὰ δὲ τῶν
ἑλκῶν καθαίρουσι, καὶ λέπρας ἀφιστῶσιν, ἔμμηνά τε προκαλοῦνται
[προστιθέμεναι], καὶ γάλα κατασπῶσιν. — Ἄνηθον ἱκανῶς θερμαί- 47
νει καὶ ξηραίνει, διόπερ εἰκότως ἐναφεψημένον ἐλαίῳ διαφορητικόν
τε καὶ ἀνώδυνον καὶ ὑπνοποιὸν καὶ πεπτικὸν ὠμῶν καὶ ἀπέπτων
ὄγκων ὑπάρχει. Καυθὲν δὲ, σφοδρῶς θερμαίνει καὶ ξηραίνει, καὶ 48
διὰ τοῦτο πλαδαροῖς ἕλκεσιν ἐπιπαττόμενον ὀνίνησι καὶ μάλιστα τοῖς
ἐν αἰδοίῳ· τὰ δὲ ἐπὶ τῆς πόσθης χρόνια καὶ ἐπουλοῖ καλῶς. Ὑγρό- 49
τερον δὲ δηλονότι καὶ ἧττον θερμόν ἐστι τὸ χλωρὸν, ὥστε πεπτι-
κώτερον μὲν ἔστι τοῦ ξηροῦ μᾶλλον, διαφορητικὸν δὲ ἧττον. —
Ἀνθεμὶς ἢ χαμαίμηλον θερμαίνει καὶ ξηραίνει μετρίως, ἔστι δὲ καὶ 50
λεπτομερὴς, καὶ διὰ ταῦτα καὶ διαφορητικὴ καὶ ἀραιωτικὴ καὶ χα-
λαστική· διὸ καὶ πόνοις ἀρωγόν ἐστιν, εἴπερ τι καὶ ἄλλο καὶ
ἀλγημάτων πραϋντικόν. Ἀνίησι δὲ καὶ χαλᾷ, τὰ συντεταμένα καὶ 51
μαλάττει τὰ μετρίως σκληρά· καὶ πυρετῶν ὁπόσοι χωρὶς σπλάγ-
χνων φλεγμονῆς ἐνοχλοῦσι λυτικὸν ὑπάρχει, καὶ τούτων μάλιστα
τῶν ἐπὶ χολώδεσι χυμοῖς, ἢ πυκνώσει δέρματος συνιστάμενων.
Ἔστι δὲ καὶ ὑποχονδρίῳ εὐμενὲς εἴπερ τι καὶ ἄλλο. Ἐξανθημάτων δὲ 52-53
διὰ τὴν ὑπερβολὴν τοῦ πυρετοῦ γενομένων ἐν τῇ κεφαλῇ χαμαίμηλον
[θεραπεύει] εἰ μὲν εἴη χλωρὸν ἐναφεψημένον τῷ ἐλαίῳ, εἰ δὲ ξηρὸν,

12. [προστιθέμεναι] e Gal.; om. Codd. 27. ἐξανθήματα..... γενομένον (sic) M 1ª m.; γενόμενα 2ª m. — 29. [θεραπεύει] e Vers ant. om. Codd

54 ὄξει προνοτισθέν. Ἐπιτήδειον δὲ καὶ ἐπὶ ὧν οὔπω τέλεων ἡ ὕλη
πέπαυται τῆς ἀναφορᾶς· τήν τε γὰρ οὐσίαν ἐν τῇ κεφαλῇ διαφορεῖ
καὶ ἑτέραν οὐκ ἐπισπᾶται, ὅπερ οὐδενὶ τῶν ἄλλων συντετύχηκε
55 φαρμάκων.— Ἀννήσου τὸ σπέρμα θερμαίνει καὶ ξηραίνει σφοδρῶς.
56 Ταῦτα ἄρα καὶ οὐρητικόν ἐστι καὶ διαφορητικόν· ἐμπνευματώσεις 5
57 τε τὰς κατὰ γαστέρα καθίστησιν. — Ἀριστολοχία ἡ μακρὰ μὲν ἕλκη
σαρκοῖ, καὶ ταῖς τῶν ὑστερῶν πυρίαις χρησιμωτέρα καθέστηκεν.
58 Ἐπὶ ὧν δὲ παχὺν χυμὸν ἰσχυρότερον λεπτῦναι δεῖ, τῆς στρογγύλης
[ἡ] χρεία· διὰ τοῦτο καὶ τὰ διὰ ἔμφραξιν ἢ πάχος ἀπέπτου πνεύ-
59 ματος ἀλγήματα θεραπεύει μᾶλλον ἡ στρογγύλη. Καὶ σκόλοπας 10
ἀνάγει καὶ σηπεδόνας ἰᾶται καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν· καθαίρει
60 καὶ ὀδόντας καὶ οὖλα λαμπρύνει. Βοηθεῖ δὲ καὶ ἀσθματικοῖς καὶ
λύζουσιν, ἐπιληπτικοῖς τε καὶ δριμέσι χυμοῖς, καὶ ποδαγρικοῖς
μετὰ ὕδατος πινομένη, καὶ ῥήγμασι δὲ καὶ σπάσμασιν, εἴπερ τι καὶ
61 ἄλλο φάρμακον, ἐπιτήδειόν ἐστιν. — Ἀρνόγλωσσον ἱκανῶς ψύχει 15
καὶ ξηραίνει καὶ στύφει· διὸ καὶ πρὸς ἕλκη κακοήθη καὶ ῥεύματα
καὶ σηπεδόνας ἁρμόττει· καὶ διὰ τοῦτο καὶ πρὸς δυσεντερίας, καὶ
αἱμορροΐδας ἵστησι, καὶ, εἴ τι διακαὲς ἐμψύχει, καὶ κολλᾷ κόλπους.
62 Ἔστι δὲ καὶ τῶν ἄλλων ἑλκῶν προσφάτων τε ἅμα καὶ παλαιῶν
ἅμα· ξηραίνει γὰρ ἀδήκτως καὶ μετέχει ψύξεως μηδέπω ναρκού- 20
63 σης. Καὶ ὁ καρπὸς δὲ αὐτοῦ καὶ ἡ ῥίζα παραπλησίας εἰσὶ δυνά-
μεως, πλὴν ὅτι ξηροτέρας τε καὶ ἧττον ψυχρᾶς· ἀλλὰ ὁ μὲν καρπὸς
64 λεπτομερέστερος, αἱ ῥίζαι δὲ παχυμερέστεραι. Καὶ αὐτὰ δὲ τὰ
φύλλα τῆς πόας ξηρανθέντα λεπτομερεστέρας τε καὶ ἧττον ψυχρᾶς
65 γίνεται δυνάμεως. Ταῦτα ἄρα, ταῖς μὲν ῥίζαις, καὶ πρὸς ὀδόντων 25
ἀλγήματα χρῶνται· διαμασωμέναις τε καὶ τοῖς διακλύσμασιν αὐτῶν
ἐνεψομέναις· πρὸς δὲ τὰς κατὰ ἧπαρ καὶ νεφροὺς ἐμφράξεις, καὶ
ταύταις μὲν, ἀλλὰ καὶ τοῖς φύλλοις· καὶ πολὺ μᾶλλον ἔτι τῷ
66 καρπῷ. — Ἄρον ῥυπτικῆς ἐστι δυνάμεως, οὐκ ἰσχυρᾶς, ὥσπερ τὸ
67 δρακόντιον· ξηραίνει δὲ ἱκανῶς καὶ θερμαίνει. Αἱ ῥίζαι δὲ αὐτοῦ 30

9. [ἡ] om. Codd. — 11. ἰᾶται om. — 13 τε om. MV. — 27. ἐνεψομέλαις MV. — 12. λαμπρύνει] λεπτύνει MV. ἐνιεμέναις MV.

τέμνουσιν ἐσθιόμεναι πάχος χυμῶν οὐ μετρίως, ὥστε καὶ ταῖς ἐκ θώρακος ἀναπλύσεσίν εἰσιν ἐπιτήδειοι. — Ἀρσενικὸν καυστικῆς ἐστι 68 δυνάμεως, ἄκαυστόν τε καὶ κεκαυμένον. Χρῶνται δὲ αὐτῷ καὶ εἰς τὰς 69 ψιλώσεις τῶν τριχῶν ὡς ἀποκαίοντι, καὶ εἰ χρονίσειέ γε, καὶ αὐ-
5 τοῦ τοῦ δέρματος ἅπλεται. — Ἀρτεμισίαι θερμαίνουσι, καὶ ξηραίνου- 70 σιν ἱκανῶς· εἰσὶ δὲ καὶ λεπτομερεῖς μετρίως, ὥστε καὶ πρὸς τοὺς ἐν νεφροῖς λίθους ἁρμότλει μετρίως καὶ εἰς πυρίας ὑστερῶν. — Ἀσά- 71 ρου αἱ ῥίζαι παραπλήσιαι μὲν ταῖς τοῦ ἀκόρου, ἐπιτεταμέναι δὲ μᾶλλον, ὥστε, ἐξ ὧν περὶ ἐκείνου προείρηται, καὶ περὶ τούτων
10 χρὴ γινώσκειν. — Ἀσπάλαθος ἐξ ἀνομοιομερῶν σύγκειται δριμέων 72 τε καὶ στυφόντων. Καὶ τοῖς μὲν δριμέσιν ἑαυτοῦ μέρεσι θερμαίνει, 73 τοῖς δὲ στύφουσι ψύχει, ὥστε ξηραίνει κατὰ ἄμφω· καὶ διὰ τοῦτο πρός τε σηπεδόνας καὶ ῥεύματα χρήσιμος ὑπάρχει. — Ἀσπάραγος 74 μυακάνθινος ῥυπτικῆς ἐστι δυνάμεως· οὔτε δὲ θερμαίνει σαφῶς,
15 οὔτε ψύχει. Ταῦτά τοι καὶ νεφρῶν καὶ ἥπατος ἐκφρακτικὸς ὑπάρ- 75 χει· καὶ μάλιστα αἱ ῥίζαι τῆς βοτάνης καὶ τὸ σπέρμα. Καὶ μὲν δὴ καὶ 76 ὀδονταλγίας ἰᾶται τῷ ξηραίνειν ἄνευ τοῦ θερμαίνειν. — Ἀστάφις 77 ἡ μὲν ἥμερος πεπτική τέ ἐστιν ἅμα καὶ στυπτικὴ καὶ διαφορητικὴ μετρίως· ἡ δὲ ἀγρία, δριμεῖα ἰσχυρῶς, ἀποφλεγματίζει τε καὶ
20 ῥύπτει σφοδρῶς, ὥστε καὶ πρὸς ψώρας ἁρμότλειν. Μετέχει δὲ καὶ 78 καυστικῆς τινος δυνάμεως. — Ἀσφοδέλου ἡ ῥίζα χρήσιμος ὥσπερ 79 ἄρου καὶ ἀσάρου καὶ δρακοντίου ῥυπτικῆς ὑπάρχουσα δυνάμεως. Καυ- 80 θείσης δὲ αὐτῆς, ἡ τέφρα θερμοτέρα καὶ ξηραντικωτέρα καὶ λεπτο-
μερεστέρα καὶ διαφορητικωτέρα γίνεται, καὶ διὰ τοῦτο καὶ ἀλωπε-
25 κίας ἰᾶται. — Ἀτράφαξις ὑγρὰ μέν ἐστιν ἱκανῶς, ψυχρὰ δὲ μετρίως· 81 στύψεως δὲ οὐ μετέχει, ἀλλὰ ἔστιν ὑδατώδης ὁμοίως τῇ μαλάχῃ. Εἰσὶ δὲ ὑγρότεραι μὲν αἱ κηπευόμεναι πολὺ καὶ ψυχρότεραι τῶν 82 ἀγρίων· διὸ καὶ φλεγμοναῖς ταῖς ἀρχομέναις ἐπιτήδειαι, ταῖς ἀκμαζούσαις δὲ καὶ παρακμαζούσαις αἱ ἄγριαι συμφορώτεραι. Ὁ δὲ 83
30 καρπὸς ῥυπτικῆς ἐστι δυνάμεως, ὅθεν καὶ πρὸς ἰκτέρους, τοὺς ἐπὶ

17. Ἀστάφις] Ἀγρίας ἀστάφιδος τὸ σπέρμα ἑψόμενον μετὰ ἐλαίου λεῖον καλῶς τὰς ἐν τῇ κεφαλῇ ῥυπαρίας τῶν παιδίων ἰᾶται ἀλειφόμενον F in ora.

84 ἥπατος ἐμφράξεις, χρήσιμος ὑπάρχει. — Ἀφρόνιτρον ῥυπτικὴν ἔχει
δύναμιν, ὥστε μὴ μόνον ἀποσπᾶν, ἀλλὰ καὶ κνῆσιν ἰᾶσθαι, διαφο-
85 ρουμένων ὑπὸ αὐτοῦ τῶν ἐργαζομένων αὐτὴν ἰχώρων. — Ἀψίνθιον
86 θερμὸν μὲν μετρίως ἐστὶ, ξηρὸν δὲ σφοδρῶς. Ὁ δὲ χυλὸς αὐτοῦ
πολὺ τῆς πόας θερμότερον· ῥύπτει δὲ καὶ τονοῖ διὰ τοῦτο, καὶ 5
τοὺς ἐν τῇ κοιλίᾳ χολώδεις χυμούς· ἐπί τε τὴν κάτω διαχώρησιν
ἀπάγει, καὶ διὰ οὔρων καὶ μᾶλλον τὸ ἐν φλεψὶ χολῶδες καθαίρει.
87 Διὰ αὐτὰ δὲ ταῦτα καὶ φλέγματος ἐν τῇ κοιλίᾳ περιεχομένου προσ-
φερόμενον οὐδὲν ὀνίνησιν· ἡ γὰρ στυπτικὴ δύναμις ἐν αὐτῷ τῆς
πικρᾶς ἐστιν ἰσχυροτέρα· τῷ δὲ καὶ δριμύτητός τινος μετέχειν 10
πλείονι μέτρῳ θερμόν ἐστιν ἤπερ ψυχρόν.

B

1 Βάλσαμον ἱκανῶς θερμαίνει καὶ ξηραίνει· ἔστι δὲ καὶ λεπτομε-
2 ρές. Ὁ δὲ ὀπὸς αὐτοῦ, λεπτομερέστερος, οὐ μὴν εἰς τοσοῦτόν γε
θερμὸς, εἰς ὅσον οἴονταί τινες ὑπὸ τῆς λεπτομερείας ἐξαπατώμε-
3 νοι. Ὁ δὲ καρπὸς αὐτοῦ παραπλήσιός ἐστι κατὰ τὴν δύναμιν· ἀπο- 15
4 λείπεται δὲ μακρὸν κατὰ τὸ λεπτομερές. — Βαλαύστιόν ἐστι
μὲν ἄνθος ἀγρίας ῥοιᾶς· ἰσχυρῶς δὲ στύφει τὴν γεῦσιν, καὶ ξη-
ραντικῆς δὲ καὶ ψυκτικῆς ἐστι δυνάμεως, καὶ παχυμεροῦς, καὶ
εἰ παρατρίμμασι καὶ τοῖς ἕλκεσιν ἐπιπάτοις αὐτὸ, τάχιστα ἂν
ἴδοις εἰς οὐλὴν ἰόντα· διὰ ταῦτά τοι κἀπὶ τῶν ἀναγόντων αἷμα 20
5 πάντες αὐτῷ χρῶνται. — Βάτου τὰ φύλλα καὶ οἱ βλαστοὶ δὲ διαμασώμενοι ἄφθας τε καὶ τὰ ἄλλα ἕλκη τὰ ἐν στόματι θεραπεύ-
6 ουσι· καὶ μέντοι καὶ τραύματα κολλᾷ. Ὁ δὲ καρπὸς, εἰ μὲν εἴη πέπειρος, ἔχει τι καὶ συμμέτρου θερμότητος· ὁ δὲ ἄωρος ὑπὸ ψυχρᾶς οὐσίας καὶ γεώδους ἐπικρατεῖται, καὶ διὰ τοῦτο σφοδρῶς 25
7 ξηραντικός ἐστι. Ξηρανθεὶς δὲ ἀποτίθεται, ὥσπερ καὶ τὸ ἄνθος αὐτῆς· καὶ ποιοῦσι πρὸς δυσεντερίας καὶ ῥεύματα γαστρὸς καὶ ἀτονίας

10. καί om MV. — 16. μακρόν Gal.; μακρῷ F; μερικῶς MV. — 24-25. ὑπὸ ψυχρᾶς οὐσίας καὶ γεώδους post Ξηρανθεὶς δέ (l. 26) repet. MV.

καὶ τὰς τοῦ αἵματος πλύσεις. Ἡ δὲ ῥίζα πρὸς τῷ σλύφειν ἔτι καὶ 8
λεπτομερής ἐστι καὶ διὰ τοῦτο τοὺς ἐν νεφροῖς θρύπτει λίθους. —
Βδέλλιον μαλακτικῆς ἐστιν ἰσχυρῶς [καὶ] δραστηρίου δυνάμεως· 9
καὶ χρῶνταί τινες ἐπί τε βρογχοκήλων καὶ ὑδροκήλων ἀσίτῳ πλυέλῳ
5 δεύοντες, ὡς ἐμπλαστῶδες γενέσθαι· καὶ τὰς τῶν ἀπέπτων πνευμά-
των διαδρομὰς ἐξιᾶται καὶ πόνους πλευρῶν καὶ ῥήγματα. — Βλίτον 10
τὸ λάχανον ὑγρόν τε καὶ ψυχρόν ἐστιν ἱκανῶς. — Βολβὸς φυσώδης 11
καὶ ἀφροδισιαστικός ἐστιν ἐσθιόμενος· ἐπιπλατυόμενος δὲ κολλητι-
κὸς γίνεται καὶ ξηραντικός. — Βούτυρον πεπτικῆς ἐστι δυνάμεως, 12
10 ἔχον ὀλίγον τι τῆς διαφορητικῆς, ὥστε καὶ παρωτίδας καὶ βουβῶ-
νας καὶ τὰς ἐν τῷ στόματι φλεγμονὰς, καὶ ἄλλα δὲ μύρια πολλάκις
αὐτὸ μόνον ἰᾶται παιδικῶν σωμάτων καὶ γυναικείων. Ἀλλὰ κἀπὶ τῶν 13
φυόντων τοὺς ὀδόντας παιδίων διαχριόμενον συνεχῶς, οὐδὲν ἧττον
μέλιτος λεπτύνει τὰ οὖλα, καὶ μέντοι καὶ καταποθὲν, συντελεῖ με-
15 γάλως ταῖς ἐκ πνεύμονος ἀναπτύσεσι μετὰ τοῦ συμπέττειν τὰς φλεγ-
μονάς. — Βούφθαλμον δριμύτερόν ἐστι τῆς ἀνθεμίδος καὶ διὰ τοῦτο 14
καὶ διαφορητικώτερον μέχρι τοῦ καὶ σκληρίας ἰᾶσθαι μιγνύμενον
κηρωτῇ. — Βράθυ τῶν θερμαινόντων ἐστὶ καὶ ξηραινόντων σφοδρῶς 15
καὶ διαφορούντων διὰ λεπτομέρειαν, καὶ καταμηνίων ἐστὶν ἀγωγὸν
20 εἴπερ τι ἄλλο, καὶ διὰ οὔρων αἷμα κινεῖ καὶ τὰ ζῶντα τῶν ἐμβρύων
διαφθείρει, τά τε νεκρὰ ἐμβάλλει. Ἔνιοι δὲ καὶ ἀντὶ κινναμώμου δι- 16
πλάσιον αὐτὸ βάλλουσιν.

Γ

Γάλα τὸ εὐχυμώτατον πρὸς τὰ δριμέα καὶ δάκνοντα ῥεύματα συμ- 1
φορώτατόν ἐστιν. Εὔτρεπτον δὲ ὂν, καὶ μάλιστα ὅταν τὸ περιέχον 2
25 θερμὸν ᾖ, ἀποβάλλει πολὺ τῆς δυνάμεως, εἰ μή τις αὐτῷ χρῷτο
θερμῷ τῶν τιτθῶν ἐκχυθέντι. Μάλιστα μὲν γυναικὸς εὐεκτούσης τε 3
καὶ καλῶς διαιτωμένης, γάλακτι χρηστέον· εἰ δὲ μὴ αἰγὸς ἢ ἵππου

3. [καί] e Gal.; om. Codd. — 5. ἀπέμπων V; ἀναπέμπον M. — 6. Βλίτον] Λακπαγιοῦνος F in ora. — 9. ἐστι δυνάμ. om. F. — 21-22. διπλάσιον] διάθεσιν M.

4 ἢ βοὸς ἢ ὄνου ἢ προβάτου. Ὁ δὲ ὀρρὸς αὐτοῦ ῥυπτικὴν ἔχει δύνα-
μιν καὶ ὑπαγωγῆς γαστρὸς ἕνεκα λαμβάνεται, καὶ διὰ κλυστήρων
ἐνίεται, περιῤῥύπτων τε καὶ περιπλύνων ἀδήκτως τὰς ἐν τοῖς ἐντέ-
ροις δριμύτητας, ἕλκη τε δριμέα καὶ ἰχῶρας ἔχοντα κατακλυζόμε-
5 νον. Ἐπὶ δὲ δυσεντερικῶν καὶ πάντων τῶν κατὰ γαστέρα δριμέων 5
ῥευμάτων προαφεψημένῳ τῷ γάλακτι, διαπύρους κάχληκας ἐμβάλ-
λειν χρὴ, καὶ ἕψειν τὸ γάλα μέχρις ἂν ἐκδαπανηθῇ τὸ πλεῖστον
6 αὐτοῦ τῆς ὀρρώδους ὑγρότητος. Ἐὰν δέ τις σιδήρους κυλίνδρους δια-
7 πύρους ἐμβάλλῃ βελτίονα τὴν δύναμιν ἀπεργάζεται. Τὸ δὲ ὅλον
γάλα πρός τε τὰ κατὰ τοὺς ὀφθαλμοὺς ῥεύματα δριμέα ἁρμόττει 10
καὶ πρὸς τὰ ὑποσφάγματα καὶ ὑπώπια· καὶ μέντοι κατὰ τῶν βλε-
φάρων ἔξωθεν ὑπνοῦν μελλόντων ἐπιτιθέμενον ἅμα ῥοδίνῳ καὶ ὠῷ
πέττει τὰς φλεγμονάς· γυναικὸς δὲ ἕστω τὸ γάλα πρόσφατον ἐκ
8 τῶν τιτθῶν ἐπιστάζόμενον. Ἐνίεμεν δὲ αὐτὸ καὶ μήτραις ἡλκωμέ-
ναις, καὶ πρὸς πάντα δὲ τὰ παρηγορίας δεόμενα διὰ φλεγμονὴν, ἢ 15
9 δῆξιν, ἢ κακοήθειαν καλῶς αὐτῷ χρώμεθα. — Γῆ πᾶσα ξηραντικὴν
ἔχει δύναμιν, καὶ ὅταν ἀκριβῶς ᾖ πυρώδους ἄμικτος οὐσίας, ἀδηκ-
τότατα ξηραίνει· συντελεῖ δὲ εἰς τοῦτο αὐτῇ τὸ πεπλῦσθαι, καὶ
τῆς γεωργουμένης ἡ λιπαρὰ πᾶσα γῆ, χρήσιμος εἰς θεραπείαν
ἐστὶν ἁπάντων τῶν ξηρανθῆναι δεομένων μορίων, ὅθεν αὐτῇ κατὰ 20
10 Ἀλεξάνδρειάν τε καὶ Αἴγυπτον χρῶνται. Εἶδον γοῦν ὑδερώδεις τε
καὶ σπληνώδεις ἐνίους χρωμένους τῇ Αἰγυπτίᾳ γῇ καὶ χριομένους.
11 Κατὰ δὲ τὸν αὐτὸν τρόπον, τὰς παλαιὰς φλεγμονὰς καὶ τὰ χαῦνα
τῶν οἰδημάτων ὀνίνησιν ὁ πηλὸς ὁ αὐτὸς, ὥστε ἐνίους οἶδα καὶ
ὅλην τὴν ἕξιν οἰδαλέους ἐξ αἱμορῤῥοΐδων ἀμέτρου κενώσεως γενομέ- 25
12 νης, ὠφεληθέντας ἐναργῶς. Καί τινες ἀλγήματα χρόνια, κατά τινα
13 μόρια ἐστηριγμένα, τῷ πηλῷ τούτῳ τελέως ἐξιάσαντο. Ἡ δὲ Λημ-
νία γῆ, ἄλλοτε ἄλλῳ τῶν ὑγρῶν ἀνιεμένη, φάρμακον ἐπιτήδειον
γίνεται πρός τε τὴν τῶν [προσφάτων] τραυμάτων κόλλησιν καὶ
14 τῶν χρονίων ἢ δυσεπουλώτων ἢ κακοήθων ἴασιν. Ἡ δὲ Σαμία γῆ 30

5. δυσεντερίας F. — 29. [προσφάτων] e Gal.; om. Codd.

καὶ μᾶλλον ὁ Σάμιος ἀστὴρ καλούμενος, χρήσιμος εἰς τὰς τοῦ αἵματος πτύσεις, ὅθεν ἂν γινόμεναι τύχωσιν, ὥσπερ καὶ ἡ Λημνία σφραγίς. Ὠφελοῦσι δὲ καὶ τὰς ἐκ μήτρας αἱμορραγίας καὶ τὰς δυσεντερικὰς ἑλκώσεις, πρὶν σηπεδονώδεις γενέσθαι. Ἡ δὲ Σαμία καὶ 15 16
5 παρηγορεῖ φλεγμονὰς, μάλιστα [δὲ] τὰς ἐν τιτθοῖς καὶ ὄρχεσι καὶ πᾶσι τοῖς ἀδενώδεσι. Χρὴ δὲ λειοῦν αὐτὴν μετὰ ὕδατος, εἶτα οὕτως 17
μιγνύειν ῥόδινον τοσοῦτον ὅσον τὸ μιχθὲν οὐκ ἐάσει ξηρανθῆναι τὸ φάρμακον· ἀγαθὸν γὰρ τὸ οὕτως σκευασθὲν ὅπου μετρίως ψύξαι βουλόμεθα μετὰ τοῦ παρηγορεῖν, ὡς φαίνεσθαι τῆς Σαμίας τὴν
10 δύναμιν εἶναι μετρίως ψυκτικήν. Ῥυπτικαὶ δέ εἰσι μετρίως ἥ τε Σε- 18
λινουσία καὶ ἡ Χία· διὸ καί τινες τῶν γυναικῶν ἐπὶ τὸ πρόσωπον αὐταῖς χρῶνται. — Γίγαρτα ξηραίνει μὲν ἱκανῶς, ψύχει δὲ μετρίως 19
καὶ στύφει· διὸ καὶ πᾶσι τοῖς κατὰ γαστέρα πάθεσι τοῖς ῥοώδεσιν ἱκανῶς ἁρμόττει. — Γλαύκιον στύφει καὶ ψύχει σαφῶς, ὥστε θερα- 20
15 πεύειν καὶ ἐρυσιπέλατα ὅσα γε μὴ ἰσχυρά. — Γλήχων θερμαίνει καὶ 21
λεπτύνει σφοδρῶς· τὰ γοῦν ἐκ θώρακος καὶ πνεύμονος ὑγρὰ παχέα καὶ γλίσχρα ῥᾳδίως ἀναπτύεσθαι ποιεῖ, καὶ καταμήνια προτρέπει. —
Γλυκυῤῥίζης ὁ χυλὸς τραχύτητας ἐκλεαίνειν πέφυκεν, οὐκ ἐν ἀρτη- 22
ρίᾳ μόνον, ἀλλὰ καὶ ἐν ψωρώδει κύστει. Ἔστι δὲ ἡ σύμπασα κρᾶσις 23
20 αὐτῆς χλιαρά· ἐπεὶ δὲ ὑγρόν ἐστι τῇ κράσει, δεόντως ἄδιψόν ἐστι τὸ φάρμακον. — Γλυκυσίδης ἡ ῥίζα, τῆς καὶ παιονίας, καταμήνια 24
κινεῖ, μέγεθος ἀμυγδάλου σὺν μελικράτῳ πινομένη. Ἐκκαθαίρει δὲ 25
καὶ ἧπαρ ἐμπεφραγμένον καὶ νεφρούς· τῇ στύψει δὲ τὰ κατὰ γαστέρα ῥεύματα ἵστησιν, ἐν οἴνῳ τινὶ τῶν αὐστηρῶν κατεψηθεῖσα καὶ
25 ποθεῖσα. Ὅλως δὲ ξηραντικὴ τὴν δύναμίν ἐστιν ἰσχυρῶς· ὥστε οὐκ 26
ἀπελπίσαιμι καὶ περιαπτομένην αὐτὴν εὐλόγως πεπιστεῦσθαι παιδίων ἐπιληψίας ἰᾶσθαι. Ἔστι δὲ ἡ δύναμις αὐτῆς λεπτομερὴς μὲν 27
καὶ ξηραντική· θερμὴ δὲ οὐκ ἐπιφανῶς. — Γογγυλίδος τὸ σπέρμα 28
πρὸς ἀφροδίσια παροξύνει, φυσῶδες ὂν· καὶ ἡ ῥίζα δὲ αὐτοῦ φυ-

1. καί om. MV. — 5. μάλιστα om. MV. — Ib. [δέ] om. Codd. — 14. Γλαύκιον] Βιόλα F interl. — 22. πινόμενον V; om. M. — 23. δέ] καί F. — 26. αὐτὴν εὐκόλως εὐλόγως F. — 28. Γογγυλίδος] ῥάπια F interl.

29 σώδης ἐστὶ καὶ σπέρματος γεννητική. — Γύψος ξηραντικῆς ἐστι
30 καὶ ἐμπλαστικῆς δυνάμεως. Καυθεῖσα δὲ τὸ μὲν ἐμπλαστικὸν οὐχ
ὁμοίως ἔχει, λεπτομερεστέρα δὲ καὶ ξηραντικωτέρα γίνεται· καὶ
μέντοι καὶ ἀποκρουστικὴ καὶ μάλιστα ὅταν ὀξυκράτῳ δευθῇ.

Δ

1 Δαῦκος, ὁ καὶ σταφυλῖνος, θερμαντικῆς ἐστι δυνάμεως καὶ
2 λεπτυντικῆς. Ἡ δὲ ῥίζα πρὸς τοῖς εἰρημένοις καὶ φυσῶδές τι κέκτη-
ται καὶ ἀφροδισιαστικόν· τὸ δὲ σπέρμα τὸ μὲν τοῦ ἡμέρου ἔχει
τι καὶ αὐτὸ παροξυντικὸν εἰς ἀφροδίσια· τὸ δὲ τοῦ ἀγρίου τε-
λέως ἐστὶν ἄφυσον, καὶ διὰ τοῦτο διουρητικόν τε καὶ καταμηνίων
3 κινητικόν. — Δάφνης τοῦ δένδρου τὰ φύλλα καὶ ὁ καρπὸς ξηραίνει
4 καὶ θερμαίνει σφοδρῶς καὶ μᾶλλόν γε ὁ καρπός. Ὁ δὲ φλοιὸς τῆς
ῥίζης ἧττόν ἐστι δριμὺς, πικρὸς δὲ μᾶλλον καί τι στύψεως ἔχει· διὸ
5 καὶ λίθους θρύπτει καὶ ἡπατικοὺς ὠφελεῖ. Πίνεται δὲ σὺν οἴνῳ εὐώδει
6 τριοβόλου σταθμός. — Δέρματα παλαιὰ ἀπὸ τῶν καττυμάτων καυ-
θέντα πρὸς τὰ ἐκ τῶν ὑποδημάτων ἕλκη, παυσαμένης τῆς φλεγμονῆς
ὠφελεῖ· ξηραντικὴ γάρ ἐστιν ἡ τοιαύτη τέφρα, καὶ εἰκότως καὶ τὰ
πυρίκαυστα τῶν ἑλκῶν καὶ τὰ καλούμενα παρατρίμματα κατὰ τοὺς
7 μηροὺς γινόμενα θεραπεύει. — Διφρυγὲς μικτῆς ἐστι ποιότητος
καὶ δυνάμεως στυφούσης καὶ δριμείας· διὸ καὶ τῶν κακοήθων ἑλκῶν
8 ἀγαθόν ἐστι φάρμακον. — Δίκταμνον λεπτομερεστέρας ἐστὶν οὐσίας
9 ἢ κατὰ γλήχωνα, τὰ δὲ ἄλλα παραπλήσιον αὐτῇ. Τὸ δὲ καλούμενον
10 ψευδοδίκταμνον ἀσθενέστερον εἰς ἅπαντα τοῦ δικτάμνου. — Δρακόν-
τιον δριμύτερόν ἐστι τοῦ ἄρου καὶ πικρότερον, καὶ θερμαντικώτε-
11 ρον καὶ λεπτομερέστερον. Ἔχει δέ τινα καὶ στύψιν βραχεῖαν σὺν τῇ
δριμύτητι καὶ πικρότητι· δραστήριον οὖν γίνεται φάρμακον ἐν τοῖς
12 μάλιστα. Ἡ γοῦν ῥίζα διακαθαίρει τὰ σπλάγχνα πάντα τούς τε
παχεῖς καὶ γλίσχρους λεπτύνουσα χυμοὺς, καὶ τῶν κακοήθων ἑλκῶν

7. σπέρμα σφόδρα τὸ μέν F. — 16. καὶ τά om. MV. — 23-25. καὶ θερμαντικώτερον..... πικρότητι om. MV. — 26. πάντα om. F. — Ib. τε om. V.

ἄρισΤόν ἐσΤι φάρμακον. Ἀποκαθαίρει τε καὶ ἀπορρύπΤει γενικῶς 13
τά τε ἄλλα τὰ ῥύψεως δεόμενα, καὶ ἀλφοὺς σὺν ὄξει. Τὰ δὲ φύλλα 14
ἕλκεσι καὶ τραύμασι νεοτρώτοις ἁρμόΤει, καὶ ὅσῳ γε ἂν ἧΤΤον ᾖ
ξηρὰ, τοσοῦτον μᾶλλον κολλᾷ· τὰ γὰρ ξηρότερα δριμύτερά ἐσΤιν
5 ἢ ὡς τραύμασι ϖρέπειν. — Δρυὸς ϖάντα τὰ μόρια σΤυφούσης μετ- 15
έχει ϖοιότητος, ἐπιπλέον δὲ τοῦ ἔνδον τὸ ὑπὸ τῷ φλοιῷ τοῦ ϖρέ-
μνου ὑμενῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου τὸ ϖερὶ τῇ
σαρκὶ τοῦ καρποῦ· διὸ καὶ ϖρὸς ῥοῦν γυναικεῖον, αἱματός τε ϖΤύ-
σεις καὶ δυσεντερίας καὶ γασΤρὸς ῥεύματα χρόνια, χρήσιμον εἶναι
10 ϖεπίσΤευται· σφοδρότερον δὲ ἔτι σΤύφει. Φηγὸς καὶ ϖρῖνος τούτων 16
καὶ τῆς δρυὸς τὰ φύλλα καταπλασσόμενα ξηραίνειν οὐκ ἀγεννῶς
ϖέφυκε· κολλᾷ γοῦν καὶ τραύματα καταπλασσόμενα κατὰ τοῦ ϖέ-
ριξ χωρίου ϖαντὸς τοῦ τραύματος.

E

Ἐβίσκος ἢ ἀλθαία· ἐσΤὶ δὲ μαλάχη [ἡ] ἀγρία διαφορητικὴ, χα- 1
15 λασΤικὴ, ἀφλέγμαντος, ϖραϋντικὴ, ϖεΤΤικὴ φυμάτων δυσπέΤΤων.
Καὶ ἡ ῥίζα δὲ αὐτῆς καὶ τὸ σπέρμα, τὰ μὲν ἄλλα, ὁμοίως ἐνεργεῖ 2
τῇ ϖόᾳ, λεΤΤομερεσΤέραν δὲ καὶ ξηραντικωτέραν ἐκείνης καὶ ϖροσ-
έτι ῥυΤΤικωτέραν ἐπιδείκνυται δύναμιν, ὥσΤε καὶ ἀλφοὺς ἀποῤ-
ῥύΤΤειν, καὶ τὸ σπέρμα τοὺς ἐν νεφροῖς λίθους διαιρεῖν. Τὸ δὲ τῆς 3
20 ῥίζης ἀφέψημα καὶ ϖρὸς δυσεντερίαν καὶ διάῤῥοιαν καὶ ϖρὸς αἵμα-
τος ἀναγωγὴν ὠφέλιμόν ἐσΤιν, ὡς ἐχούσης τινὰ δύναμιν σΤυΤΤικήν.
— Ἐλαίας οἱ μὲν ϑαλλοὶ τοσοῦτον μετέχουσι ψύξεως ὅσον καὶ 4
σΤύψεως· ὁ δὲ καρπὸς ὁ [μὲν] ἀκριβῶς ϖέϖειρος ϑερμὸς συμμέτρως
ἐσΤὶν, ὁ δὲ ἄωρός ἐσΤι σΤυΤΤικώτερος καὶ ψυχρότερος. — Τὸ δὲ 5
25 ἔλαιον τὸ ἐξ αὐτῶν, ὑγραντικόν ἐσΤι συμμέτρως καὶ ϑερμόν· τὸ δὲ ἐκ
δρυϖετοῦς μάλισΤα τοῦ καρποῦ, γλυκὺ γινόμενον· τὸ δὲ ὠμοτριβὲς
εἰς ὅσον σΤύψεως μετείληφεν, εἰς τοσοῦτον καὶ ψύξεως. Τὸ δὲ ϖα- 6

14. [ἡ] Gal.; om. Codd. — 15. 22. ϑαλλοί Gal.; ϑερμοί Codd. — 23. ϖραϋντική Gal. F; ϖρεσϑυτέρα MV. — [μέν] Gal.; om. Codd.

λαιὸν ἔλαιον τὸ ἐκ τοῦ γλυκέος, θερμότερόν τε καὶ διαφορητικώ-
τερόν ἐστι· καὶ τὸ ἐκ τοῦ ὠμοτριβοῦς δὲ, ἐπειδὰν δὲ ἀποβάλλῃ
7 τελέως τὴν σήψιν, ὁμοιοῦται τῷ ἄλλῳ. Τὸ δὲ λεπτομερὲς, τοιοῦτο
δέ ἐστι τό τε καθαρὸν καὶ διαυγὲς ὁρῶντι, καπειδὰν ὀλίγον ληφθὲν
ἐπιπλεῖστον ἐκτείνηται τοῦ σώματος ἑαυτῷ μένῃ συνεχὲς, ἀνα- 5
πίνηταί τε πρὸς τοῦ χρωτὸς, ἡγεῖσθαι κάλλιστόν τε καὶ τὴν ἐλαίου
8 μάλιστα κεκτημένον ἀρετήν. — Ἐλλέβορος ἑκάτερος ῥυπτικῆς τε ἅμα
καὶ θερμῆς δυνάμεώς ἐστι· διὸ καὶ πρὸς ἀλφοὺς καὶ ψώρας καὶ
9 λέπρας καὶ λειχῆνας ἁρμόττουσι. Καὶ μὲν δὴ καὶ εἰς σύριγγα τετυ-
λωμένην ὁ μέλας καθιέμενος ἐν δύο που καὶ τρισὶν ἡμέραις, ἀφ- 10
ίστησιν αὐτῆς τὸν τύλον· καὶ ὀδόντας δὲ σὺν ὄξει διακλυζόμενος
10 ὀνίνησι θερμαίνων καὶ ξηραίνων σφοδρῶς. — Ἑλξίνη, ἔνιοι δὲ
περδίκιον· ἡ δύναμις αὐτῆς ῥυπτική τε καὶ ἀτρέμα στυπτικὴ μετὰ
ὑγρότητος ὑποψυχροῦ, ὅθεν ἰᾶται φλεγμονὰς πάσας, ἐν ἀρχῇ τε
καὶ ἀναβάσει μέχρι τῆς ἀκμῆς, καὶ μάλιστα τὰς θερμάς· καὶ μὲν 15
11 δὴ καὶ ἀρχομένοις φυγέθλοις ἐπιπλάττεται. Καὶ ὁ χυλὸς δὲ αὐτῆς
μετὰ ῥοδίνου πρὸς ὤτων ἀλγήματα φλεγμαινώδη μετρίως ποιεῖ. —
12 Ἕλυμος, ἡ [καὶ] μελίνη, ξηραντική ἐστιν· ἴστησι γοῦν καὶ τὰ κατὰ
13 γαστέρα ῥεύματα, καθάπερ ὁ κέγχρος. Εἰ δὲ ἔξωθεν ἐπιπλασθείη,
14 ξηραίνει καὶ ψύχει. — Ἐρέβινθος γάλακτος καὶ σπέρματός ἐστι γεν- 20
15 νητική· προτρέπει δὲ καὶ καταμήνια. Εἰσὶ δὲ οἱ κριοὶ καλούμενοι
16 τῶν ἄλλων οὐρητικώτεροι. Τὸ δὲ ἐφέψημα αὐτῶν καὶ λίθους τοὺς
17 ἐν νεφροῖς θρύπτει, καὶ μάλιστα τὸ τῶν μελάνων. Τὸ δὲ ἕτερον
γένος τῶν ἐρεβίνθων καλοῦνται μὲν ὀροβίαι· δυνάμεως δέ εἰσιν
ἐπισπαστικῆς, διαφορητικῆς, τμητικῆς, ῥυπτικῆς· εἰσὶ γὰρ θερ- 25
18 μοὶ μὲν καὶ μετρίως ὑγροί. Μετέχουσι δὲ καὶ πικρότητος, διὰ ἣν
καὶ ἧπαρ καὶ σπλῆνα καὶ νεφροὺς ἐκκαθαίρουσι καὶ ψώρας, καὶ
λειχῆνας ἀπορρύπτουσι καὶ παρωτίδας καὶ διδύμους σκιῤῥουμένους

2. ἐκ om. MV. — 5. μένῃ e Gal.; μὲν ὂν M; μὲν ὁ FV. — 12. Ἑλξίνη] hic F. Dioscor. IV, 39, exscrib. — 18. ἡ [καὶ] μελ. Cf. *Coll. med.* XV. 1, t. II, p. 633, l. 2; ἡ μελ. Codd. — 20. σπέρματος] αἵματος F. — 23. ἐν τοῖς νεφροῖς F. — Ib. τό ante τῶν om. F. — 25. γάρ] καί F. — 27. ψώρας] ἕλους P.

διαφοροῦσι, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰῶνται, μετὰ μέλιτος. —
19 Ἔρπυλλον θερμαντικῆς εἰς τοσοῦτόν ἐστι δυνάμεως ὡς καταμήνια καὶ
20 οὖρα κινεῖν. — Ἔρια τὰ μὲν ῥυπαρὰ τὰ καλούμενα οἰσυπηρὰ, ἐπιτι-
θέμενα κατὰ τῶν τεθλασμένων καὶ συντετριμμένων μορίων, συνερ-
γεῖ ταῖς ἐπιβροχαῖς πρὸς τὴν ὠφέλειαν· τὰ δὲ καθαρὰ καυθέντα 5
δύναμιν ἔχει δριμεῖάν τε καὶ θερμὴν ἅμα λεπτομερείᾳ, ὥστε καὶ
21 τὰς πλαδαρὰς σάρκας ἐπὶ τῶν ἑλκῶν ἀποτήκειν τάχιστα. Καίεται
δὲ καθάπερ καὶ τῶν ἄλλων τὰ πλεῖστα, καινῆς χύτρας πληρουμένης
ἐξ αὐτῶν, εἶτα πωμαζομένης ὀπὰς πλείονας ἔχοντι τῷ πώματι.
22 — Εὐπατόριον ἡ πόα λεπτομεροῦς καὶ ῥυπτικῆς καὶ σύπτικῆς καὶ 10
τμητικῆς ἐστι δυνάμεως, ἄνευ θερμότητος ἐπιφανοῦς· ὅθεν καὶ τὰς
23 κατὰ ἧπαρ ἐμφράξεις ἀποκαθαίρει. Μετέχει δὲ καὶ σύψεως βρα-
24 χείας, διὰ ἣν καὶ τόνον ἐντίθησι τῷ σπλάγχνῳ. — Εὐφόρβιον
25 καυστικῆς ἐστι καὶ λεπτομεροῦς δυνάμεως. — Ἐχίδνης αἱ σάρκες
ἀρτυόμεναι ὡς ἐγχέλεις ἐλαίῳ καὶ ἁλσὶ, καὶ ἀνήθῳ καὶ πράσῳ καὶ 15
ὕδατι συμμέτρῳ, καὶ ἐσθιόμεναι, πᾶν ἐκκαθαίρουσι τὸ σῶμα διὰ
26 τοῦ δέρματος οὕτως, ὡς τοὺς ἐλεφαντιῶντας ἰᾶσθαι. Ἐπεὶ δὲ ἔνιοι
τῶν φαγόντων [αὐτὰς] δίψει ἑάλωσαν σφοδροτάτῳ, φεύγειν χρὴ τὰς
παρὰ τῇ θαλάσσῃ καὶ τόποις ἁλμυρίδας ἔχουσι διαιτωμένας· ἁλμυ-
27 ρὰν γὰρ ἔχουσι τὴν σάρκα· καλοῦσι δὲ αὐτὰς διψακούς. Ἔστιν οὖν 20
ἡ σὰρξ τῶν ἐχιδνῶν ξηραντικὴ δυνάμει μετρίως· ἐπείγεται δὲ, ὡς
ἔοικεν, ἡ δύναμις αὐτῆς ἐπὶ τὸ δέρμα, διὰ τούτου κενοῦσα τὰ κατὰ
τὸ σῶμα περιττώματα δαψιλῆ· καὶ τοῦ δέρματος ἀφίσταται καὶ
ἀποπίπτει καθάπερ τις λοπὸς ἡ ἐπιδερμὶς ὀνομαζομένη κατὰ ἣν αἵ τε
ψῶραι καὶ αἱ λέπραι καὶ αἱ ἐλεφαντίασεις γίνονται. 25

Z

1 Ζύμη λεπτομερής ἐστι καὶ μετρίως θερμή· διὰ τοῦτο τοίνυν
ἀδήκτως τε καὶ ἀλύπως ἐπισπᾶταί τε ἅμα ἐκ τοῦ βάθους καὶ δια-
φορεῖ.

2-p. 614, 6. ἔρπυλλον... ἄλλη om. F in lac. — 18. [αὐτάς] e Gal.; om. Codd.

Η

1 Ἡδύοσμος, ἔνιοι μίνθην, θερμὴ τὴν δύναμίν ἐστι σφοδρῶς· διὰ δὲ τὴν ἐκ τοῦ κηπεύεσθαι προσοῦσαν ὑγρότητα πρὸς ἀφροδίσια
2 παρορμᾷ μετρίως. Ἔχει δέ τι καὶ πικρὸν, ᾧ τὰς ἕλμινθας ἀναιρεῖ, καὶ στρυφνὴ δέ ἐστι· διὰ ὀξυκράτου πινομένη τὰς προσφάτους αἵ-
3 ματος ἀναγωγὰς ἐπέχει. Καὶ λεπτομεροῦς δέ ἐστιν οὐσίας, εἴπερ τις καὶ ἄλλη.

Θ

1 Θαψία δριμείας ἐστὶν ἰσχυρῶς καὶ θερμαντικῆς δυνάμεως σὺν ὑγρότητι· ἕλκει τοιγαροῦν ἐκ βάθους βιαίως καὶ αὐτὸ διαφορεῖ τὸ
2 ἑλχθέν· χρόνῳ δὲ ἐργάζεται πλείονι ταῦτα. — Θέρμος ὁ μὲν ἐσθιόμενος τῶν ἐμπλαστικῶν ἐστι φαρμάκων· ὁ δὲ τὴν σύμφυτον ἔχων
3 πικρότητα, ῥυπτικός τε καὶ διαφορητικὸς ὑπάρχει. Ἀναιρεῖ δὲ καὶ ἕλμινθας ἐπιπλατυόμενός τε καὶ μετὰ μέλιτος ἐκλειχόμενος, ἢ μετὰ
4 ὀξυκράτου πινόμενος. Οὐ μὴν ἀλλὰ καὶ τὸ ἀφέψημα αὐτοῦ τὰς ἕλμινθας ἐκβάλλειν πέφυκε· καὶ μέν γε καταντλούμενον, ἔξωθεν ὀνίνησιν ἀλφοὺς, ἀχῶρας, ἐξανθήματα, ψώρας, γαγγραίνας, ἕλκη
5 κακοήθη· ξηραίνει γὰρ ἀδήκτως. Ἐκκαθαίρει δὲ καὶ ἧπαρ καὶ
6 σπλῆνα μετὰ πηγάνου καὶ πεπέρεως. Ἐπισπᾶται δὲ καὶ καταμήνια
7 καὶ ἔμβρυα σὺν μυρσίνῃ καὶ μέλιτι προστιθέμενον. Ἔστι δὲ καὶ τὸ ἄλευρον τῶν θέρμων ἀδήκτως διαφορητικόν· οὐ γὰρ τὰ πελιδνὰ μόνον, ἀλλὰ καὶ χοιράδας καὶ φύματα σκληρὰ θεραπεύει· ἐν ὄξει
8 δὲ ἕψειν αὐτὸ χρὴ τηνικαῦτα ἢ ὀξυμέλιτι ἢ ὀξυκράτῳ. Διαφορεῖ δὲ καὶ πελιδνὰ, καὶ τὰ ἄλλα ὅσα εἴρηται πρόσθεν τὸ ἀφέψημα δρᾷν,
9 ἅπαντα καὶ τὸ ἄλευρον ἐργάζεσθαι πέφυκε. — Θεῖον ἑλκτικῆς ἐστι

8. αὐτό Gal.; αὐτή Codd. — 11. πικρότητα] θερμότητα MF 1ª m. — 13. ὀξους καταπινόμενος M; ὀξυκράτου καταπινόμ. V. — 15. γαγγρ. γεγραμμένας M. — 16-17. ἧπαρ... Ἐπισπᾶται δὲ καί om. M. — 22. εἴρηται τηνικαῦτα πρόσθεν καὶ τό M. — 23. πάντα Gal.; πᾶν F; ἅπαν M; ἅπαντα V.

δυνάμεως, θερμόν τε ὂν καὶ λεπτομερὲς, ὡς πρὸς πολλὰ τῶν ἰοβόλων ἀνθίστασθαι. Καὶ ψώρας καὶ λέπρας καὶ λειχῆνας ἰᾶται μετὰ 10
ῥητινῆς τερμινθίνης· ἀπορρύπτει γὰρ καὶ τὰ τοιαῦτα πάθη πάντα
χωρὶς τοῦ πρὸς τὸ βάθος ἀπακρούεσθαι. — Θλάσπεως τὸ σπέρμα 11
5 δριμὺ τὴν δύναμίν ἐστι· τὰ γοῦν ἐντὸς ἀποστήματα ῥήσσει ποτιζόμενον, καὶ καταμήνια κινεῖ, καὶ ἔμβρυα φθείρει, καὶ διὰ ἕδρας
ἐνιέμενον ἰσχιάδας ὀνίνησιν, αἱματώδη κενοῦν. — Θρίδαξ ὑγρὸν καὶ 12
ψυχρόν ἐστιν, οὐ μὴν ἐσχάτως διὰ τοῦτο, πρὸς μὲν τὰς θερμὰς
φλεγμονὰς ἁρμόττει καὶ πρὸς τὰ μικρὰ καὶ κοῦφα τῶν ἐρυσιπελά-
10 των. Ἔστι δὲ καὶ ἄδιψον ἔδεσμα. Τὸ δὲ σπέρμα πινόμενον ἐπέχει 13-14
γονορροίας, ὅθεν καὶ τοῖς ὀνειρώττουσι δίδοται. — Θύμος θερμαίνει 15
καὶ ξηραίνει σφοδρῶς, καὶ τέμνει σαφῶς, καὶ διὰ τοῦτο οὖρα καὶ
καταμήνια κινεῖ καὶ ἔμβρυα κατασπᾷ, καὶ τὰ σπλάγχνα διακαθαίρει πινόμενος, ταῖς τε ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσι
15 συνεργεῖ.

I

Ἰξὸς ἐκ τοῦ βάθους ἕλκει σφοδρῶς ὑγρότητας, οὐ τὰς λεπτὰς μόνον, ἀλλὰ καὶ τὰς παχυτέρας, διαχεῖ τε καὶ διαφορεῖ. Ἔστι δὲ τῶν 1 2
οὐκ εὐθὺς ἐκθερμαινόντων φαρμάκων, ἀλλὰ χρόνου δεομένων, ὥσπερ
ἡ θαψία. — Ἴου τὰ μὲν φύλλα τὴν ὑδατώδη καὶ ὑπόψυχρον οὐσίαν 3
20 ἐπικρατοῦσαν κέκτηται, καὶ διὰ τοῦτο καὶ κατὰ ἑαυτὰ καὶ μετὰ
ἀλφίτων ἐπιπλαττόμενα τὰς θερμὰς φλεγμονὰς παρηγορεῖ. — Ἰὸς 4
δριμεῖαν ἔχει ποιότητα, διαφορητικός τε καὶ καθαιρετικὸς καὶ σμηκτικὸς ὤν, οὐχ ἁπαλῆς μόνον, ἀλλὰ καὶ σκληρᾶς σαρκός. Εἰ δέ 5
τις αὐτοῦ μίξειεν ὀλίγον κηρωτῇ πολλῇ ῥυπτικὸν ἀδήκτως γίνεται
25 τὸ μιχθὲν ἐξ ἀμφοῖν. — Ἵππουρις στυπτικὴν μετὰ πικρότητος ἔχει 6
ποιότητα καὶ διὰ τοῦτο ξηραντικὴν ἰσχυρῶς τε ἅμα καὶ ἀδήκτως.
Τραύματά τε οὖν τὰ μέγιστα καταπλαττομένη πολλᾷ, κἂν νεῦρα 7
διατετμημένα τύχῃ, καὶ τὰς ἐντεροκήλας ὀνίνησιν, ἀλλὰ καὶ πρὸς

3. ὁ ἀπορρ. F. — 4. πρὸ βάθους M. om. F. — 13. τά om. MV. — 17. τάς — 8. τάς om. MV. — 9. φλεγμονάς om. MV. — 22. καθαρτικός Codd.

τὰς ἀναγωγὰς τοῦ αἵματος καὶ πρὸς τὸν ῥοῦν τὸν γυναικεῖον, καὶ
μάλιστα τὸν ἐρυθρὸν, ἔτι δὲ δυσεντερίας καὶ τἄλλα τὰ κατὰ τὴν
γαστέρα ῥεύματα γενναῖόν ἐστι φάρμακον ἡ πόα πινομένη διὰ ὕδα-
8 τος ἢ διὰ οἴνου. Ὁ δὲ χυλὸς αὐτῆς αἱμορῥαγίας τε τὰς ἐκ ῥινῶν
ὠφελεῖ, καὶ τὰ κατὰ τὴν γαστέρα ῥοώδη πάθη σύν τινι τῶν αὐστη- 5
ρῶν οἴνων πινόμενος, ἢ καὶ διὰ ὕδατος, ἂν πυρέτοντες τυγχάνω-
9 σιν. — Ἰσάτις ἥμερος ἧ οἱ βαφεῖς χρῶνται, ξηραντικῆς ἰσχυρῶς
ἐστι δυνάμεως, οὐδέπω δακνούσης· ἔστι δὲ πικρά τε ἅμα καὶ στυ-
πτικὴ, ταῦτά τοι καὶ τὰ μεγάλα τραύματα τῶν σκληρῶν σωμάτων
κολλᾷ, κἂν ἐν ταῖς τῶν μυῶν ὦσι κεφαλαῖς, καὶ κατὰ τῶν αἱμορ- 10
ῥαγούντων ὠφελίμως ἐπιπλάττεται, καὶ τοὺς οἰδηματώδεις ὄγκους
ἱκανῶς διαφορεῖ τε ἅμα καὶ προστέλλει καὶ πρὸς ἅπαντα κακοήθη
10 ἕλκη δραστικῶς ἀνθίσταται. — Ἰτέας τοῖς φύλλοις χρήσαιτο ἄν τις
11 εἰς τραυμάτων ἐναίμων κόλλησιν. Ἔστι δὲ αὐτά τε καὶ τὸ ἄνθος αὐτῆς
12 δυνάμεως ἀδήκτως ξηραντικῆς, ἠρέμα καὶ στυφούσης. Ἔνιοι δὲ καὶ 15
χυλὸν ἐξ αὐτῶν ποιοῦντες ἄδηκτόν τε καὶ ξηραῖνον ἴσχουσι φάρμα-
13 κον εἰς πολλὰ χρήσιμον. Καὶ ὁ φλοιὸς δὲ τοῦ δένδρου παραπλή-
σιος, πλὴν ὅσον ξηρότερος· ἀλλὰ τοῦτόν γε καίουσι ἔνιοι καὶ
χρῶνται τῇ τέφρᾳ πρὸς ὅσα περ ἂν ἰσχυρῶς δέωνται ξηραίνειν.
14 Τοὺς γοῦν καλουμένους ἥλους τε καὶ τύλους καὶ μυρμηκίας ἐξαίρου- 20
σιν αὐτὴν δεύοντες ὄξει δριμεῖ.

K

1-2 Καλαμίνθη θερμὴ καὶ ξηρὰ σφοδρῶς ἐστι καὶ λεπτομερής. Πι-
νομένη δὲ αὐτή τε κατὰ ἑαυτὴν ξηρὰ, καὶ διὰ μελικράτου, θερμαί-
νει τε σαφῶς καὶ ἱδρῶτας κινεῖ καὶ διαφορεῖ καὶ ξηραίνει τὸ σύμπαν 25
3 σῶμα. Τοῦτο γοῦν αὐτῇ τινες ἐχρήσαντο καὶ πρὸς τὰ κατὰ περίο-
δον ῥίγη, ἔξωθεν μὲν, ἐναφεψῶντες ἐλαίῳ, καὶ συναλείφοντες ὅλον
τὸ σῶμα μετὰ τρίψεως γενναίας, ἔσωθεν δὲ λαμβάνοντες, ὡς εἴρηται,

14. τραύματα ἐναίμων τὴν κ. M. — 27-28. ὅλον.....λαμβάν. om. M 1ª m.

καὶ μέν γε καὶ καταπλάτ|ουσί τινες αὐτὴν κατὰ ἰσχίων ἐπὶ τῶν ἰσχιαδικῶν ὡς γενναῖον βοήθημα· καὶ γὰρ ἕλκει τὰ ἐκ τοῦ βάθους εἰς τὴν ἐκτὸς ἐπιφάνειαν, καὶ θερμαίνει σύμπαν τὸ ἄρθρον, ἐπικαίει τε σαφῶς τὸ δέρμα καὶ τὰ καταμήνια πινομένη τε καὶ προσ|θεμένη προκαλεῖται πάνυ δρασ|ηρίως. Ἀγαθὸν δὲ καὶ τῶν ἐλε- 4
φαντιώντων φάρμακον, τῷ διαφορεῖν καὶ λεπ|ύνειν ἰσχυρῶς καὶ τέμνειν τοὺς παχεῖς χυμούς· οὕτω δὲ καὶ οὐλὰς μελαίνας λαμπρύνει καὶ ὑπώπια διαφορεῖ. Κάλλιον δὲ ἐπὶ τῶν τοιούτων ἕψοντας ἐν 5
οἴνῳ, καταπλάσσειν αὐτὴν, καὶ χλωρὰν μᾶλλον ἢ ξηράν· ἰσχυρο-
τέρα γὰρ ξηρανθεῖσα γίνεται καὶ καίειν ἑτοιμοτέρα. Καὶ ἀσκαρίδας 6
δὲ καὶ ἕλμινθας ὁ χυλὸς αὐτῆς ἐνιέμενός τε καὶ πινόμενος ἀναιρεῖν πέφυκεν. Ὀνίνησι δὲ καὶ τοὺς ἀσθματικοὺς καὶ τοὺς ἰκτεριώδεις τῷ 7
ῥύπ|ειν τε καὶ διακαθαίρειν τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. Ἔσ|ι δὲ 8
εἰς ἅπαντα τὰ προειρημένα πρακτικωτέρα ἡ ὄρειος. — Καλάμου 9
Φραγμίτου ῥίζα ῥυπ|ικῆς μετέχει δυνάμεως, οὐκ ὀλίγης ἥκισ|α δριμείας. Τὰ μέντοι φύλλα τὰ χλωρὰ μετρίως ἐμψύχει, μετέχοντα 10
καὶ αὐτὰ τῆς ῥυπ|ικῆς δυνάμεως. Ὁ φλοιὸς δὲ αὐτοῦ καυθεὶς λεπ|ο- 11
μεροῦς ἱκανῶς καὶ διαφορητικῆς γίνεται δυνάμεως, ἔχων τι καὶ ῥυπ|ικὸν ὡς καὶ ξηραίνειν καὶ θερμαίνειν σφοδρῶς. — Καννάβεως 12
ὁ καρπὸς ἄφυσός τε καὶ ξηραντικὸς εἰς τοσοῦτον ὡς, εἰ πλείων βρωθείη, ξηραίνει τὴν γονήν. — Κάπνιος δριμείας ἅμα καὶ πικρᾶς 13
μετέχει ποιότητος· οὐκ ἀπήλλακται δὲ παντάπασιν, οὐδὲ τῆς σ|ρυφνῆς, ὅθεν οὖρά τε χολώδη προτρέπει πολλὰ καὶ τὰς κατὰ ἧπαρ ἐμφράξεις τε καὶ ἀτονίας ἰᾶται. Λαπάσσει δὲ καὶ γασ|έρα 14
ξηρὰ λεῖα μελικράτῳ ἐμπλασσομένη· καὶ τονοῖ σ|όμαχον ξηρὰ ὁμοίως οἴνῳ κεκραμένῳ ἐμπλασσομένη. — Καππάρεως τῆς ῥίζης 15
ὁ φλοιὸς ἐκ μαχομένων σύγκειται δυνάμεων· ῥύπ|ειν μὲν γὰρ δύναται καὶ διακαθαίρειν καὶ τέμνειν καὶ διαφορεῖν τῇ δριμύτητι, συνάγειν δὲ καὶ σφίγγειν τῇ σ|ρυφνότητι· καὶ διὰ τοῦτο σπλῆνας

4-5. προσ|θεμένη om. MV. — 6. ἰσχυρῶς] ἱκανῶς F. — 10. γάρ om. M. — 17. καὶ αὐτά om. MV. — εἰς om. F. — 21. τὴν γονήν om. MV. — 23. τροφῆς M; V 1ª m. σ|ροφῆς. — 27. μέν om. MV.

σκιρρώδεις, εἴπερ τι καὶ ἄλλο καὶ τοῦτο τὸ φάρμακον ὀνίνησιν, ἔξωθεν δὲ τοῖς ἐπιτηδείοις καταπλάσμασι μιγνύμενον, εἴσω δὲ τοῦ σώματος λαμβανόμενον, ἀφεψημένον ὄξει ἢ ὀξυμέλιτι, ἢ ξηρὸν λεῖον ἀναμιγνύμενον αὐτοῖς· κενοῖ γὰρ σαφῶς τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς οὕτω ληφθὲν οὐ διὰ οὔρων μόνον, ἀλλὰ [καὶ] κατὰ 5
16 γαστέρα. Πολλάκις δὲ καὶ αἱματώδη διαχωροῦσιν, ἐπὶ οἷς οἵ τε
17 σπλῆνες ὀνίνανται καὶ αἱ κατὰ ἰσχίον ὀδύναι. Καὶ μὲν δὴ καὶ καταμήνια κινεῖ καὶ ἀποφλεγματίζει· καταπλατυνόμενος δὲ τοῖς κακοήθεσιν ἕλκεσιν, ἀγαθὸν φάρμακον, καὶ ὀδόντων δὲ πόνους ὠφελεῖ· ἐνίοτε μὲν ὄξει συνεψηθεὶς, ἐνίοτε δὲ οἴνῳ, πολλάκις δὲ αὐτὸς μόνος 10
18 ἐκδακνόμενος. Καὶ ἀλφοὺς δὲ ἀφαιρεῖ σὺν ὄξει καὶ χοιράδας, καὶ ὄγκους σκληροὺς διαφορεῖ, τοῖς ἐπιτηδείοις πρὸς ταῦτα φαρμάκοις
19 μιγνύμενος. Θαυμαστὸν δὲ οὐδὲν καὶ τοὺς ἐν ὠσὶ σκώληκας, ὁ χυλὸς
20 τῆς πόας ἀναιρεῖ διὰ τὴν πικρότητα. — Καρδάμου τὸ σπέρμα καυστικῆς μετέχει δυνάμεως, ὥσπερ τὸ νᾶπυ, καὶ διὰ τοῦτο ἰσχιάδας καὶ 15 κεφαλαίας καὶ ὁτιοῦν ἄλλο τῶν δεομένων φοινίξεως ἐκθερμαίνουσιν
21 αὐτῷ, καθάπερ τῷ νάπυϊ. — Καρδάμωμον θερμῆς ἐστι σφοδρῶς
22 δυνάμεως, ὡς καίειν ἐπιπλατυνόμενον. Ἔχει δέ τι καὶ πικρότητος διὰ ἣν τὰς ἕλμινθας ἀναιρεῖ καὶ τὰς ψώρας ἰσχυρῶς ἀπορρύπτει σὺν ὄξει.
23 — Κασία θερμαίνει καὶ ξηραίνει σφοδρῶς· ἔστι δὲ καὶ λεπτομερὴς 20 ἱκανῶς καὶ δριμεῖα, βραχύ τι καὶ στύφον ἔχει· τέμνει τε οὖν ἅμα καὶ διαφορεῖ τὰ κατὰ τὸ σῶμα περιττώματα καὶ ῥώμην ἐντίθησι τοῖς
24 ὀργάνοις. Ἐπιτήδειος δὲ καὶ πρὸς τὰς τῶν ἐπιμηνίων ἐπισχέσεις ἐστὶν, ὅτε ἂν ὑπὸ πλήθους τε ἅμα καὶ πάχους τῶν περιττωμάτων,
25 αὐτάρκως κενοῦσθαι κωλύηται. — Καρύα τὸ δένδρον ἔχει μέν τι κἂν 25 τοῖς βλαστοῖς στυπτικὸν, ἐναργὲς δὲ καὶ πλεῖστον ἐν τοῖς τοῦ κα-
26 ρύου λέμμασι. Θλίβοντες γοῦν αὐτὰ καὶ τὸν χυλὸν ὁμοίως τῷ τῶν μόρων καὶ τῷ τῶν βάτων ἕψοντες σὺν μέλιτι, στομαχικῷ χρώ-
27 μεθα φαρμάκῳ. Τὸ δὲ λέπος τοῦ καρύου, τὸ ξηρὸν καυθὲν, λεπτο-

1. τι ἄλλο F. — 5. ἀλλὰ [καὶ] κατὰ γ. Gal.; ἀλλὰ κατὰ τὴν γ. MV; ἀλλὰ κατὰ γ. F. — 7. ἰσχίον] κατὰ μῆκος πληγὰς ὄντας F ora. — 9. δέ om. F. — 15. τοῦτο καὶ ἰσχ. MV. — 20-22. ἔστι δὲ..... διαφορεῖ om. MV.

μερές τε γίνεται καὶ ξηραντικὸν καὶ ἄδηκτον φάρμακον. Τὸ δὲ 28
λεπτοκάρυον ψυχρότερον καὶ αὐστηρότερόν ἐστι· τὰ δὲ ἄλλα παρα-
πλήσιον ὑπάρχει τῷ μεγάλῳ. — Καστόριον θερμαίνει καὶ ξηραί- 29
νει, λεπτομερές τε ἱκανῶς ὑπάρχει. Ἔστι δὲ τοῖς μὲν διὰ πλῆθος 30
5 σπωμένοις ἢ τρέμουσιν ὠφελιμώτατον, τοῖς δὲ διὰ κένωσιν ἐναντιώ-
τατον, τοῖς δὲ εἴσω τοῦ σώματος λαμβανόμενον ὠφελεῖ ταῦτα, καὶ
κατὰ τοῦ δέρματος ἐπιτιθέμενον ἅμα σικυωνίῳ ἢ παλαιῷ ἐλαίῳ.
Τὰ δὲ πλείονος θερμότητος δεόμενα καὶ ἀνατρίβειν προσήκει διὰ 31
αὐτοῦ. Ὠφελεῖ δὲ καὶ εἴ τις αὐτὸ ἐπὶ ἀνθράκων θυμιῶν ἕλκη διὰ 32
10 τῆς εἰσπνοῆς καὶ μάλιστα τὰ κατὰ τὸν πνεύμονα καὶ ἐγκέφαλον
ὑγρὰ καὶ ψυχρὰ πάθη. Τά γε μὴν ληθαργικὰ καὶ καταφορικὰ πάντα 33
πάθη μετὰ πυρετῶν, ἄμεινον οὐ τῶν εἰρημένων ἐλαίων τινὶ δεόντα
θεραπεύειν, ἀλλὰ [τὸ?] διὰ ῥοδίνου μᾶλλον ἐπιτιθέναι τῇ κεφαλῇ
καὶ τῷ αὐχένι. — Κέδρος θερμαίνει καὶ ξηραίνει σφοδρῶς· τὸ δὲ 34
15 αὐτῆς ἔλαιον σφοδρότερον, λεπτομερὲς ἱκανῶς ὑπάρχον. Τὰς μὲν 35
ἁπαλὰς σάρκας ἑτοίμως καὶ ἀνωδύνως σήπει· τὰς δὲ σκληρὰς ἐν
χρόνῳ πλείονι· καὶ μάλιστα μέντοι, τὰ τῶν νεκρῶν σώματα ξη-
ραίνει τε καὶ ἄσηπτα φυλάττει. Θαυμαστὸν δὲ οὐδὲν εἰ καὶ φθεῖρας 36
καὶ κόνιδας καὶ ἀσκαρίδας καὶ τοὺς ἐν τοῖς ὠσὶ σκώληκας ἀναιρεῖν
20 πέφυκεν. Ἔμβρυα [τε] προστιθεμένη, τὰ μὲν ζῶντα κατακτείνειν, τὰ 37
δὲ νεκρὰ ἐκβάλλειν, [καθάπερ καὶ αὐτὸ τὸ κατὰ συνουσίαν σπέρμα]
περιαλειφομένη τῷ αἰδοίῳ· καὶ διὰ τοῦτο, ἀτόκιόν ἐστι φάρμακον
τοῖς οὕτω χρωμένοις, οὐδενὸς δεύτερον. Καὶ τοῖς τρήμασι δὲ τῶν 38
ὀδόντων ἐνσταχθεῖσα, τὰ μὲν ἀλγήματα παύει, θραύει δὲ αὐ-
25 τούς. — Κενταυρίου τοῦ μεγάλου ἡ ῥίζα, δριμεῖά τε καὶ θερμὴ καὶ 39
στύφουσα μετὰ γεώδους στύψεώς ἐστι. Τῇ μὲν οὖν δριμύτητι, προ- 40
τρέπει καταμήνια, καὶ ἔμβρυα νεκρὰ κατασπᾷ, καὶ ζῶντα διαφθεί-
ρει τε καὶ ἐκβάλλει· τῇ δὲ στύψει κολλᾷ τε τραύματα, καὶ τοὺς
αἱμοποϊκοὺς ὠφελεῖ. Δίδονται δὲ αὐτοῖς ὁλκαὶ β', τοῖς μὲν πυρέτ- 41

4. ὑπάρχει] ὄν F. — 9. αὐτὸ κατὰ — 19-21. ἀναίρει ἀλειφομένη MV. — ἐπί MV. — 11-12. πάντα om. MV; πάθη om. M. 18. τε καί] τὰ δέ F. 20. [τε] om. F. — 21. [καθάπερ..... σπέρμα] e Gal.; om. Codd.

42 τουσι, μετὰ ὕδατος, τοῖς δὲ ἀπυρέτοις μετὰ οἴνου. Ὠφελεῖ δὲ καὶ
ῥήγματα καὶ σπάσματα καὶ δυσπνοίας καὶ τὰς ϖαλαιὰς βῆχας. —
43 Κενταύριον τὸ μικρὸν ἰσχυρῶς ξηραίνει χωρὶς δήξεως, τά τε οὖν
μεγάλα τραύματα κολλᾷ, καταπλασσόμενα ϖρόσφατα· ἔτι δὲ καὶ
44 τὰ ϖαλαιὰ καὶ δυσκατούλωτα τῶν ἑλκῶν ἐπουλοῖ. Τὸ δὲ ἀφέψημα 5
τῆς ϖόας, ἐνιᾶσί τινες ἰσχιαδικοῖς, ὡς ἄγον χολώδη καὶ ϖαχέα·
καὶ μὲν δὴ καὶ ὅταν ἐνεργήσῃ σφοδρῶς [ὡς] αἱματώδη κενοῦν, ὠφε-
45 λεῖ μᾶλλον. Ὁ δὲ χυλὸς αὐτοῦ ϖαραπλησίας ὑπάρχων δυνάμεως,
τά τε ἄλλα τὰ ϖροειρημένα δρᾷ καὶ ἔμβρυα ϖροσιθέμενος κατασπᾷ
46 καὶ καταμήνια ἄγει. — Κηκὶς ἡ μὲν ὀμφακῖτις, σιρυφνὸν ἱκανῶς 10
ἐσι φάρμακον, οὐσίας γεώδους τὸ ϖλεῖσιον ἔχουσα, διὰ ἣν κατα-
ξηραίνει καὶ ἀποκρούεται ῥεύματα, συνάγει καὶ σφίγγει καὶ τονοῖ
τὰ ἄῤῥωσια μόρια, καὶ ϖᾶσι τοῖς ῥοώδεσι ϖάθεσι γενναίως ἀνθί-
47 σιαται· ξηραίνει μὲν οὖν σφοδρῶς, ψύχει δὲ ἱκανῶς. Ἡ δὲ ἑτέρα
48 κηκὶς ἡ ξανθὴ καὶ χαύνη ξηραίνει μὲν καὶ αὐτὴ, ἀλλὰ ἧτιον. Καυ- 15
θεῖσαι δὲ κηκίδες ἰσχαίμου δυνάμεως γίνονται· χρὴ δὲ διαπύρους
49 ἐπὶ ἀνθράκων ἐργασαμένας αὐτὰς ὄξει ἢ οἴνῳ σβεννύναι. — Κηρὸς
ἐν τῷ μεταξύ ϖώς ἐσι τῶν θερμαινόντων τε καὶ ψυχόντων ὑγραι-
νόντων τε καὶ ξηραινόντων, ὅθεν καὶ ὕλη τῶν ἄλλων ἐσὶ φαρμά-
50 κων. Αὐτὸς δὲ κατὰ ἑαυτὸν ἐκ τῶν ϖεπικῶν ἂν εἴη τῶν ἀσθενῶν 20
51 ἔξωθεν ἐπιτιθέμενος. — Κισσὸς ἐξ ἐναντίων σύγκειται δυνάμεων·
σιύφει τε γὰρ καὶ ψύχει καὶ δριμύς ἐσι καὶ θερμὸς, ὑδατώδους τε
οὐσίας μετέχει χλιαρᾶς ὁ χλωρός· οὗ τὰ φύλλα ἑψηθέντα ἐν οἴνῳ,
μεγάλων τραυμάτων ἐσὶ κολλητικὰ καὶ τῶν κακοήθων ἰατικά·
52 ἐπουλοῖ δὲ καὶ τὰς ἐκπυρώσεις. Σὺν ὄξει δὲ ἑψηθέντα τὰ φύλλα, 25
53 σπληνικοὺς ὠφελεῖ. Τὰ δὲ ἄνθη αὐτοῦ ἰσχυρότερά ϖώς ἐσιν, ὡς
54 μετὰ κηρωτῆς λειούμενα, τοῖς ϖυρικαύσιοις ἁρμότιειν. Ὁ δὲ χυλός
ἐσι μὲν καὶ ἔῤῥινον, καὶ τὰ χρόνια δὲ τῶν ὤτων ἰᾶται ῥεύματα,
καὶ τῶν ἑλκῶν τὰ ϖαλαιὰ κατά τε τὰ ὦτα καὶ τὰς ῥῖνας· ἐὰν δὲ
δριμύτερος φαίνηται, κατὰ μὲν τὴν χρῆσιν ῥοδίνῳ ἐλαίῳ μίγνυται· 30

4. ἔτι om. F. 7. [ὡς] Gal.; om. Codd.

τὸ δὲ δάκρυον αὐτοῦ, φθεῖρας κτείνει καὶ τρίχας φιλοῖ. — Κολο- 55
κύνθη ὑγραίνει καὶ ψύχει ἱκανῶς, ὅθεν καὶ τῶν ξυσμάτων αὐτῆς ὁ
χυλὸς πρὸς ὠταλγίας τὰς κατὰ φλεγμονὴν ἁρμόττει, σὺν ῥοδίνῳ
χρωμένοις. Οὕτω δὲ καὶ ὅλη καταπλασσομένη, τὰς θερμὰς φλεγμο- 56
5 νὰς ἐμψύχει. — Κόμμι ξηραντικῆς τέ ἐστι καὶ ἐμπλαστικῆς δυνά- 57
μεως· καὶ δῆλον ὅτι καὶ τραχυτήτων ἰατική. — Κονία καυστικὴν 58
μὲν ἔχει θερμότητα, τῷ λεπτομερεῖ δὲ τῆς οὐσίας ἀνωδύνως καίει.
— Κόννζα καὶ ἡ μείζων καὶ ἡ μικροτέρα, θερμαίνουσι καὶ ξηραί- 59
νουσι σφοδρῶς. Ἀφεψηθεῖσαι γοῦν ἐν ἐλαίῳ, τῶν κατὰ περίοδον 60
10 ῥιγῶν ἀλεξιτήριον γίνονται. Τὰ δὲ ἄνθη αὐτῶν σὺν τοῖς φύλλοις 61
τρίψαντές τινες σὺν οἴνῳ ποτίζουσιν ὑπὲρ τοῦ καταμήνια κινῆσαι
βιαίως καὶ ἔμβρυα ἐκβάλλειν. — Κορίανον ἢ κόριον ἐξ ἐναντίων 62
δυνάμεων σύγκειται, πολὺ μὲν ἔχουσα πικρᾶς οὐσίας, ἥτις λεπτο-
μερής ἐστι γεώδης, οὐκ ὀλίγον δὲ καὶ ὑδατώδους ὑγρότητος χλια-
15 ρᾶς κατὰ δύναμιν. Ἔχει δέ τι καὶ στύψεως ὀλίγον, ἐξ ὧν αὐτῶν 63
ἐνεργεῖ ποικίλως. — Κόπροι αἰγῶν· σπύραθοι δὲ ἰδίως ὀνομά- 64
ζονται δριμείας καὶ διαφορητικῆς οὖσαι δυνάμεως. Τοῖς σκιῤῥουμέ- 65
νοις ὄγκοις ἁρμόττουσιν, οὐκ ἐπὶ σπληνὸς μόνον, ἀλλὰ καὶ ἐπὶ
ἄλλων μερῶν· ἔγωγε οὖν ἐπὶ γόνατος ἔχοντος ὄγκον χρόνιον,
20 ἐχρησάμην αὐταῖς διὰ ὀξυκράτου, καταπλάττεσθαι κελεύσας ἀλεύ-
ρων κριθίνων ἐπεμβαλλομένων· καὶ θαυμαστῶς ὁ ἄνθρωπος ὤνητο.
Καὶ κατὰ ἄλλων δὲ μορίων οὗτος ὁ τρόπος ὠφελιμώτατος· δριμύ- 66
τερον δέ ἐστιν, ἢ ὥστε γυναῖκας ἀστείας ἢ παιδία θεραπεύειν, ἢ
ὅλως τοὺς μαλακοσάρκους. Καὶ μέντοι καυθεῖσα λεπτομερεστέρα 67
25 μὲν, οὐ μὴν δριμυτέρα σαφῶς γίνεται· διὸ καὶ πρὸς ἀλωπεκίας
ἁρμόττει καὶ πάντα ὅσα ῥυπτόντων δεῖται φαρμάκων, οἷον λέπρας
τε καὶ λειχῆνας καὶ ψώρας, ὅσα τε ἄλλα τοιαῦτα. Τῶν δὲ βοῶν αἱ 68

1-2. κολοκύνθη] Πρὸς τὸ μὴ γίνεσθαι πολιάς. Λαβὼν κολόκυνθαν ἀγρίαν τρύπησον καὶ πλήρωσον αὐτὴν δαφνελαίου, καὶ πρόσβαλε ὑοσκυάμου· ἀρσενικοῦ, εἶτα ἄφες ἡμέραν μίαν, καὶ ἄλειψον χρησίμως ἅπαξ τοῦ ἐνιαυτοῦ· κατὰ δὲ τρίχας (voc. eras.). Λάδανον καὶ σχοινέλαιον ἄλειφε F in ora. — 5. τέ om. F. — 12. Κερίανον] Κολίανδρον F in ora. — 23. παῖδας MV.

κόπροι ξηραντικῆς δυνάμεώς εἰσιν· ἔχουσι δὲ καὶ τῆς ἑλκτικῆς ὡς
69 δηλοῦσιν ὠφελοῦσαι τὰ τῶν μελιτίων τε καὶ σφηκῶν νύγματα. Καὶ
70 τοὺς ὑδερικοὺς δέ τις καταχρίων ἐν ἡλίῳ κατέκλινε. Τῶν νομάδων
δὲ περισιερῶν τῇ κόπρῳ ὡς θερμαίνοντι φαρμάκῳ συνεχῶς εἰς
πολλὰ χρώμεθα μετὰ καρδάμου σπέρματος ἀντὶ νάπυος, ἐπὶ τῶν 5
71 φοινιγμοῦ δεομένων. Τῇ δὲ τῶν ἀλεκτορίδων χρῶνταί τινες ἐπὶ τῶν
ὑπὸ μυκητῶν ἐδωδῆς πνιγομένων· καὶ ἐμοῦσιν οἱ λαβόντες φλεγμα-
τώδη παχύτατον χυμὸν, ἐπὶ ᾧ τελείως παύονται τοῦ συμπτώμα-
72 τος. Δεῖ δὲ ἐπιπάτεσθαι λελειωμένην αὐτὴν κυάθοις τρισὶν ἢ τέτ-
73 ταρσιν ὀξυκράτου τε καὶ ὀξυμέλιτος. Ἔστι δὲ τῆς τῶν περισιερῶν 10
74 ἥτιον ἡ κόπρος αὕτη θερμή. Ἡ δὲ τῶν κροκοδείλων τῶν χερ-
σαίων κόπρος, ῥυπτικήν τε καὶ ξηραντικὴν δύναμιν ἔχει ὡς καὶ
75 τῶν ψαθρῶν ὅταν ὄρυζαν μόνην ἐσθίωσιν. Ἡ γοῦν τῶν κροκοδείλων
κόπρος ὥσπερ τὴν ἔφηλιν ἀπορρύπτειν πέφυκεν, οὕτω καὶ ἀλφοὺς
76 καὶ λειχῆνας. — Κόστος βραχείας μὲν πάνυ τῆς πικρᾶς, πλείστης 15
δὲ τῆς δριμείας καὶ θερμῆς μετέχει ποιότητος, ὡς ἤδη καὶ ἑλκοῦν·
διὸ δὲ ἔξωθεν ἀνατρίβουσιν αὐτῷ μετὰ ἐλαίου τὸ σῶμα πᾶν πρὸ τῆς
εἰσβολῆς ἐπὶ τῶν κατὰ περίοδον ῥιγούντων· οὕτω δὲ κἀπὶ τῶν
παραλελυμένων τε καὶ ἰσχιαδικῶν, καὶ ὅλως ἐπὶ ὧν ἤτοι τι θερ-
μῆναι πρόκειται μόριον ἢ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν ἑλκῦ- 20
77 σαί τινα χυμόν. Ἔστι δὲ καὶ οὐρητικὸς καὶ ἐμμήνων ἀγωγὸν καὶ
πρὸς ῥήγματα καὶ σπάσματα καὶ πόνους πλευρῶν ἁρμότει, καὶ
πλατείας ἕλμινθας ἀναιρεῖ, καὶ πρὸς ἐφήλεις αὐτῷ χρῶνται μετὰ
78 ὕδατος ἢ μέλιτος. Ἐνυπάρχει δὲ αὐτῷ τι φυσώδους ὑγρότητος διὰ
79 ἣν καὶ πρὸς ἀφροδίσια παρορμᾷ μετὰ οἰνομέλιτος. — Κοτυληδὼν 25
μικτῆς ἐστι δυνάμεως ὑγρᾶς ὑποψύχρου καί τινος ἀμυδρᾶς στυφούσης καὶ σὺν αὐτῇ βραχείας πικρᾶς, ὅθεν ἐμψύχει καὶ ἀποκρούεται καὶ ῥύπτει καὶ διαφορεῖ· φλεγμονάς τε οὖν τὰς ἐρυσιπελατώδεις καὶ ἐρυσιπέλατα φλεγμονώδη θεραπεύει καὶ κατὰ στομάχου καυ-
80 σουμένου χρήσιμον ἱκανῶς ἐστιν ἐπίπλασμα. — Κράμβη ξηραντι- 30

1. καί om. MV. — 2. δήγματα MV. — 6. χρ. δέ τινες MV. — 8. ᾧ τε λεπτύνονται τοῦ F. — 19-20. ἤτοι θερμ. πρόκ. τι μόριον M. — 24. Ὑπάρχει V.

κῆς ἐσΊι δυνάμεως, οὐ μὴν ἤδη γέ πως καὶ δριμείας ἐναργῶς, ἀλλὰ
ὥσΊε καὶ τραύματα κολλᾷν καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶσθαι καὶ
Φλεγμονὰς τὰς ἤδη σκληρυνομένας τε καὶ δυσλύτους καὶ τῶν ἐρυ-
σιπελάτων τὰ τοιαῦτα καὶ ἕρπητας. Ἔχει δέ τι καὶ ῥυΠικὸν ἐν ἑαυτῇ 81
5 κατὰ ὃ καὶ λέπρας Θεραπεύει. Τὸ δὲ σπέρμα πινόμενον ἑλμινθας 82
ἀναιρεῖ, καὶ ἐΦήλεις τε καὶ Φακοὺς ὀνίνησιν. Οἱ δὲ καυλοὶ τῆς 83
κράμβης, καυθέντες ἰσχυρῶς, ξηραίνουσαν ποιοῦσι τέΦραν, ὡς ἤδη
τι, καὶ τῆς καυσΊικῆς μετέχειν δυνάμεως· κατὰ τοῦτο οὖν αὐτῇ καὶ
μιγνύντες σΊέαρ παλαιὸν, εἴς τε τὰ τῶν πλευρῶν ἀλγήματα χρῶνται,
10 καὶ εἴ πού τι τοιοῦτον ἕτερον εἴη· διαΦορητικὸν γὰρ ἰσχυρῶς ἀποτε-
λεῖ τὸ Φάρμακον.— Κριθαὶ ξηραίνουσι καὶ ψύχουσι μετρίως, ἔχουσι 84
δέ τι καὶ ῥυΠικὸν ὀλίγον. Τὰ δὲ ἄλΦιτα πολὺ τῶν κριθῶν ἐσΊι 85
ξηραντικώτερα. — Κρίνου τὸ ἄνθος λεπΊομερές ἐσΊι. Τὸ δὲ ἐξ αὐ- 86-87
τοῦ ἔλαιον διαΦορητικῆς τε ἀδήκτου καὶ μαλακτικῆς ἐσΊι δυνάμεως,
15 καὶ ταῖς τῆς μήτρας σκληρότησιν ἐπιτήδειον. Καὶ ἡ ῥίζα δὲ καὶ τὰ 88
Φύλλα κατὰ ἑαυτὰ λειούμενα ξηραίνει καὶ ῥύΠει καὶ διαΦορεῖ με-
τρίως· ἐπὶ γοῦν τῶν κατακαυμάτων ἁρμόΊει· τὴν μὲν οὖν ῥίζαν
ὀπΊήσαντες, εἶτα ἅμα ῥοδίνῳ λειώσαντες, ἐπιτιθέασι τοῖς κατα-
καύμασι μέχρι συνουλώσεως· ἔσΊι γὰρ καὶ ἄλλως ἁπάντων ἑλκῶν
20 εἰς ἐπούλωσιν ἀγαθὸν Φάρμακον. Οὐ μὴν ἀλλὰ καὶ ὑσΊέρας μαλάτ- 89
τει καὶ καταμήνια προκαλεῖται. Τὰ δὲ Φύλλα προαΦέψοντες ἐπι- 90
τιθέασι καὶ αὐτὰ μέχρι κατουλώσεως, οὐ τοῖς κατακαύμασι μόνον,
ἀλλὰ καὶ τοῖς ἕλκεσιν. Εἰ δέ τις τὸν χυλὸν τῶν Φύλλων ἑψήσας 91
σὺν ὄξει καὶ μέλιτι πλείονα τὸν χυλὸν ἑκάσΊου βαλὼν, εὐδόκιμον
25 ἕξει Φάρμακον εἰς πάντα τὰ ξηραίνεσθαι σΦοδρῶς δεόμενα, χωρὶς
τοῦ δάκνεσθαι, καθάπερ ὅσα τραύματα μεγάλα καὶ μάλισΊα κατὰ
τὰς κεΦαλὰς γίνεται τῶν μυῶν, ὅσα τε πλαδαρὰ καὶ χρόνια καὶ
δυσεπούλωτα τῶν ἑλκῶν ἐσΊιν. — Κρόκος Θερμαίνει μὲν ἱκανῶς, 92
ξηραίνει δὲ μετρίως, καὶ διὰ τοῦτο καὶ πεπΊικὸν ἔχει τι, συντελού-
30 σης εἰς τοῦτο καὶ τῆς βραχείας σΊύψεως. — Κρόμμυον σΦοδρὰ 93

19. καί om. MV. — 30. σΦοδρότατον MV.

θερμαίνει, παχυμεροῦς οὐσίας ὄν, ὅθεν καὶ τὰς αἱμορροΐδας ἀνα-
στομοῖ προστιθέμενον, καὶ σὺν ὄξει καταχριόμενον, ἐν ἡλίῳ τοὺς
ἀλφοὺς ἀπορρύπτει, καὶ παρατριβόμενον ἀλωπεκίας θᾶττον ἀλκυο-
94 νίου παρορμᾷ τὰς τρίχας. — Κύαμος τῆς μέσης ἐγγυτάτω κρά-
σεώς ἐστιν· μετέχει δέ τινος ἐπὶ ὀλίγον καὶ ῥυπτικῆς δυνάμεως καὶ 5
95 στυπτικῆς. Καὶ ἔξωθεν ἐπιτιθέμενος, ἀλύπως ξηραίνει· ἐπὶ μὲν
ποδαγρικῶν, διὰ ὕδατος ἑψόμενος, εἶτα μιγνύμενος ὑείῳ στέατι,
ἐπὶ δὲ τῶν κατὰ τὰ νεῦρα θλασμάτων καὶ ἑλκῶν διὰ ὀξυμέλιτος
τὸ ἄλευρον ἐπιτιθέμενον, ἐπὶ δὲ τῶν ἤδη φλεγμαινόντων ἐκ πληγῆς
96 σὺν ἀλφίτοις. Καὶ διδύμων δέ ἐστι καὶ μαστῶν ἀγαθὸν κατάπλασμα· 10
φιλεῖ γὰρ ταῦτα τὰ μόρια μετρίως ψύχεσθαι φλεγμαίνοντα, καὶ
μάλιστα ὅταν ἐκ γάλακτος τυρωθέντος οἱ μαστοὶ φλεγμαίνωσι· καὶ
γὰρ οὖν καὶ τὸ γάλα σβέννυται πρὸς τοῦ τοιούτου καταπλάσματος,
ὥσπερ καὶ τὸ τῶν παίδων ἐφηβαῖον ἐπιπλασσόμενον ἀλεύρῳ
97 κυαμίνῳ μέχρι πλείονος, ἄνηθον διαμένει. — Κυμίνου τὸ σπέρμα 15
θερμαντικῆς ἐστι δυνάμεως σφοδρῶς, ἄφυσον, διουρητικόν. —
98 Κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ τὰ σφαιρία, τὰ νέα καὶ
μαλακά, μεγάλων τραυμάτων ἐν σκληροῖς σώμασίν ἐστι κολλητικά.
99 Ἐξ οὗ δῆλον ὡς ξηραντικῆς ἐστι δυνάμεως, οὐδὲν ἐπιφανῶς ἐχούσης
δριμύ· πλεῖστον δὲ ἔχει τὸ πικρὸν καὶ πολὺ πλεῖον ἔτι τὸ στρυφνόν. 20
100 Διὰ τοῦτο τὰς κατὰ βάθος ὑγρότητας, ἐν ταῖς πλαδαραῖς καὶ σηπε-
δονώδεσι διαθέσεσιν ἀλύπως τε ἅμα καὶ ἀσφαλῶς ἐκβόσκεται ἑτέρας
101 οὐκ ἐπισπώμενα. Καὶ τοὺς ἐντεροκηλικοὺς δὲ ὠφελεῖ ξηραίνοντα καὶ
τόνον ἐντιθέντα τοῖς διὰ ὑγρότητα χαλαροῖς σώμασιν, ὡς ἂν τῆς στύ-
102 φεως εἰς βάθος διαδυομένης διὰ τὴν μεμιγμένην θερμότητα. — Κυ- 25
πέρου χρήσιμα μάλιστά εἰσιν αἱ ῥίζαι θερμαίνουσαι καὶ ξηραίνου-
σαι χωρὶς δήξεως ὅθεν καὶ διὰ ὑγρότητα πολλὴν ἕλκη δυσεπούλωτα
θαυμαστῶς ὀνίνησιν· ἔχουσι γάρ τι στυπτικόν, καὶ διὰ τοῦτο καὶ
103 τοῖς ἐν στόμασιν ἕλκεσίν εἰσιν ἐπιτήδειοι. Καὶ μὴν καὶ τμητικήν
τινα δύναμιν ἔχουσι, διὰ ἣν καὶ λιθιῶσιν ἁρμόττουσι καὶ οὖρα καὶ 30

24-27. χαλαροῖς σώμασι..... καὶ διὰ ὑγρότητα om. M V.

καταμήνια κινοῦσιν. — Κυκλάμινος ῥύπλει καὶ τέμνει καὶ διαφο- 104
ρεῖ καὶ ἀνασλομοῖ καὶ ἐπισπᾶται· ὁ γοῦν χυλὸς αὐτῆς αἱμορροΐδας
ἀνασλομοῖ καὶ προκαλεῖται βιαίως εἰς ἀπόπατον ἐν κροκύδι προσ-
τιθέμενος. Σφοδρὰ δὲ οὕτως ἐσλὶν ἡ δύναμις αὐτοῦ, ὥσλε καὶ ἐπὶ 105
5 τοῦ ἐπιγασλρίου καταχριόμενος, κοιλίαν ὑπάγει καὶ ἔμβρυα δια-
φθείρει ἐν πεσσῷ προσλιθέμενος. Ἡ δὲ ῥίζα τοῦ χυλοῦ μέν ἐσλιν 106
ἀσθενεσλέρα, σφοδρὰ δέ ἐσλι καὶ αὐτή, καὶ γὰρ ἔμμηνα κινεῖ πι-
νομένη τε καὶ προσλιθεμένη, καὶ ἰκτεριῶντας ὀνίνησιν, οὐ μόνον
ἐκκαθαίρουσα τὸ σπλάγχνον, ἀλλὰ καὶ τὴν ἐν ὅλῳ τῷ σώματι χο-
10 λὴν ἐκκρίνουσα διὰ ἱδρώτων. Χρὴ δὲ διδόναι τὸ πινόμενον αὐτῆς 107
πλῆθος δραχμὰς τρεῖς μετὰ γλυκέος ἢ μελικράτου. Ῥύπλει δὲ καὶ τὸ 108
δέρμα καὶ ἀλωπεκίας καὶ τὰς ἐφηλίδας, ἅπαντά τε τὰ ἐξανθήματα
θεραπεύει. Ὀνίνησι δὲ καὶ τοὺς σκληροὺς σπλῆνας, ἐπιπλαλομένη 109
πρόσφατός τε καὶ ξηρά. — Κυτίσου τὰ φύλλα διαφορητικῆς ἐσλι 110
15 δυνάμεως, ἐπιμεμιγμένης ὑδατώδους χλιαρᾶς. — Κώνου καρπὸς, ὃν 111
δὴ καὶ κόκκαλον ὀνομάζουσιν, ὅλος μὲν χλωρὸς, ἔχει δέ τι μετὰ ὑγρό-
τητος πικρὸν καὶ δριμὺ, καὶ διὰ τοῦτο καὶ τοῖς ἐμπύοις, ὅσοι τε
ἄλλοι δέονται, τὰ κατὰ θώρακα καὶ πνεύμονα ῥαδίως ἀναπλύειν,
ἐπιτήδειός ἐσλιν. Ὁ δὲ ἐδώδιμος ἐξ αὐτοῦ καρπὸς ἐκλεαίνει τραχύ- 112
20 τητα ἐν ὕδατι βρεχθείς.

Λ

Λάπαθον διαφορητικῆς μετρίως ἐσλι δυνάμεως· τὸ δὲ ὀξυλάπα- 1
θον μικτῆς· ἅμα γὰρ τῇ διαφορητικῇ καὶ ἀποκρουσλικῆς τι μετέ-
χει. Τὸ δὲ σπέρμα αὐτῶν ἔχει τι σαφῶς σλυπλικὸν, ὡς δυσεντερίας 2
καὶ διαῤῥοίας ἰᾶσθαι καὶ μάλισλα τὸ τοῦ ὀξυλαπάθου. — Λευκοΐου 3
25 καὶ σύμπας μὲν ὁ θάμνος, ῥυπλικῆς ἐσλι καὶ λεπλομεροῦς δυνά-
μεως· ἐπὶ μᾶλλον δὲ αὐτῆς μετέχει τὰ ἄνθη, καὶ τούτων τὰ ξηρό-
τερα μᾶλλον, ὥσλε καὶ καταμήνια τὸ ἀφέψημα αὐτῶν προτρέπει,

10. διδον.] εἰδέναι F. — 11. δραχμὰς τρεῖς] κύαθον F. — 19. Ὁ δὲ δίδυμος F.

καὶ χόρια καὶ ἔμβρυα τεθνεῶτα προκαλεῖται· καὶ εἰ ποθείη δὲ,
4 φθόριόν ἐστι φάρμακον. Καὶ εἴ τις αὐτοῦ τὸ σφοδρὸν τῆς δυνάμεως
ὕδατος ἐπιμιξίᾳ πολλοῦ πραύνειεν, ἕξει [καὶ πρὸς] φλεγμονὴν ἀγα-
θὸν φάρμακον· οὕτως οὖν τὸ ἀφέψημα αὐτοῦ τὰς ἐν μήτρᾳ φλεγμονὰς
5 ἰᾶται προσαντλούμενον, καὶ μάλιστα ὅσαι σκιῤῥώδεις εἰσίν. Ὁ δὲ 5
καρπὸς τῆς αὐτῆς ὢν δυνάμεως πινόμενος ὅσον ∠β' ἢ προσλιθέ-
μενος, καταμήνιά τε καὶ ἔμβρυα τὰ μὲν ζῶντα διαφθείρει, τὰ δὲ
6 νεκρὰ ἐκβάλλει. — Λιβανωτὸς θερμαίνει μὲν ἱκανῶς, ξηραίνει δὲ
7 μετρίως· ἔχει δέ τι καὶ ὑπόστυφον ὀλίγον, καὶ μᾶλλον ὁ λευκός. Ὁ
δὲ φλοιὸς αὐτοῦ, τὴν στυπτικὴν δύναμιν ἐναργῆ κέκτηται, διὸ καὶ 10
ξηραίνει γενναίως· ἔστι δὲ καὶ παχυμερὴς ἥκιστα δριμύτητος μετ-
8 έχων. — Λιβανωτίδες αἱ τρεῖς ὁμοίας εἰσὶ δυνάμεως, μαλακτικῆς,
9 διαφορητικῆς, ῥυπτικῆς τε καὶ τμητικῆς. Ὁ δὲ χυλὸς αὐτῶν τῆς
ῥίζης καὶ τῆς πόας μέλιτι μιγνύμενος, ἀμβλυωπίας, ὅσαι διὰ πά-
10 χος ὑγρῶν γίνονται, θεραπεύει. — Λίθος αἱματίτης τοσοῦτον ψύ- 15
ξεως μετέχει, ὅσον καὶ στύψεως· μόνῳ γοῦν ἐχρησάμην αὐτῷ
11 τραχέων γεγονότων βλεφάρων. Εἰ μὲν ἅμα φλεγμονῇ τοιαῦτα εἴη
γεγονότα, διὰ ὠοῦ τὴν ἄνεσιν ποιούμενος, ἢ μᾶλλον ἔτι διὰ τή-
12 λεως ἀφεψήματος· εἰ δὲ χωρὶς φλεγμονῆς διὰ ὕδατος. Ἄρχου δὲ
ἀπὸ μετρίως ὑγροῦ διὰ τῆς μήλης ἐγχέων· ὅταν δὲ φέρῃ τὴν 20
δύναμιν αὐτοῦ ὁ θεραπευόμενος, παχύτερον ἀεὶ καὶ μᾶλλον ἐργά-
ζου, καὶ τελευτῶν οὕτω παχὺ ποιήσεις, ὡς διὰ μήλης πυρῆνος
13 ὑπαλείφειν, κατὰ ὑποβολὴν [ἢ] ἐκτροπὴν τοῦ βλεφάρου. Ὁ δὲ αὐ-
τὸς λίθος ὁμοίως ἐπὶ ἀκόνης ἀποτριβόμενος, αἵματος πλύσεσιν ἁρ-
14 μόζει καὶ πᾶσιν ἕλκεσιν. Ξηρὸς δὲ λειωθεὶς ὡς χυνώδης γενέσθαι, 25
15 κατασθέλλει τὰ ὑπερσαρκοῦντα. Καὶ αὐτὰ δὲ τὰ κατὰ τοὺς ὀφθαλ-
μοὺς ἕλκη συνουλοῖ· μόνος αὐτὸς ἀποτριβόμενος ὡς εἶπον ἐγχυμα-
16 τιζόμενος, ἢ ὑπαλειφόμενος. — Λίθοι ἐν τοῖς σπόγγοις θρυπτικῆς

3. [καὶ πρὸς] e Gal.; om. Codd. — 6. αὐτῆς ὢν Gal.; αὐτῶν F; αὐτῆς MV. — Ib. ∠α' MV. — 7. μέν] τῶν MV. — 10. δύν. ἔχει ἐναρ. F. — 13. τε om. F. — 17. Εἰ μὲν οὖν ἅμα MV. — Ib. τοιαῦτα Gal.; ταῦτα Codd. — 18. δια ὠοῦ Gal.; διὸ οὐ F; δι' αὐτοῦ (ora διὰ οὗ) M. — 19. χωρίς om. F. — 23. [ἢ] Gal.; om. Codd.

δυνάμεώς εἰσιν ὥστε τοὺς ἐν κύστει λίθους θρύπτειν. — Λιθάργυ- 17
ρος ξηραίνει μὲν ὡς καὶ τὰ ἄλλα πάντα τὰ μεταλλικὰ καὶ γεώδη
καὶ λιθώδη· μετριώτατά γε μὴν τοῦτο ποιεῖ, καὶ κατὰ τὰς ἄλλας δὲ
ποιότητας καὶ δυνάμεις ἐν τῷ μέσῳ πώς ἐστιν, οὔτε θερμαίνουσα
5 σαφῶς, οὔτε ψύχουσα, καὶ τοῦ ῥύπτειν τε καὶ στύφειν μετρίως
μετέχει, διὸ καὶ ὡς ὕλῃ χρώμεθα αὐτῇ, μιγνῦντες τοῖς ἰσχυρὰν
ἔχουσι δύναμιν ἢ δάκνουσαν ἢ στύφουσαν ἤ τι ἄλλο ποιοῦσαν. —
Κινόσπερμον θερμαίνει μὲν μετρίως, ὑγρότητος δὲ καὶ ξηρότητος 18
μέσον ἐστί. — Κίτρον ξηραίνει μὲν καὶ διαφορεῖ καὶ εἰ εἴσω τοῦ 19
10 σώματος ληφθείη, τέμνει καὶ λεπτύνει τοὺς παχεῖς καὶ γλίσχρους
χυμοὺς πολὺ μᾶλλον τῶν ἁλῶν. Ἀφρόνιτρον δὲ, μὴ μεγάλης ἀνάγκης 20
οὔσης, οὐδὲ καταπίνει τις, ὡς ἂν κακοστόμαχον ὄν· ἐπὶ γοῦν
μυκήτων ἐχρῆτό τις αὐτῷ ἄγροικος, καὶ εὐδοκίμει. Κίτρῳ δὲ κε- 21
καυμένῳ καὶ ἀκαύστῳ καὶ ἡμεῖς ἐπὶ τῶν τοιούτων χρώμεθα. —
15 Λειχὴν ὁ ἐπὶ τῶν πετρῶν ῥυπτικῆς τε ἅμα καὶ μετρίως ψυκτικῆς 22
καὶ στυφούσης δυνάμεως, καὶ ξηραντικῆς ἐστιν· οὐδὲν οὖν θαυμα-
στὸν ἀφλέγμαντον ὑπάρχειν αὐτόν. — Λωτὸς ἥμερος, ὃν καὶ τρί- 23
φυλλον ὀνομάζουσι, στυπτικῆς μετρίως ἐστὶ δυνάμεως καὶ ξηραν-
τικῆς, μέσος ὢν κατὰ τὸ θερμαίνειν καὶ ψύχειν. — Λωτὸς τὸ 24
20 δένδρον στύφει μὲν μετρίως· ἔστι δὲ λεπτομερὲς καὶ ξηραντικόν.
Τὰ γοῦν ῥινήματα τῶν ξύλων αὐτοῦ, πρός τε ῥοῦν γυναικεῖον ἁρ- 25
μόττει καὶ δυσεντερίας καὶ κοιλιακούς. Ἐναφέψεται δὲ ποτὲ μὲν 26
ὕδατι, ποτὲ δὲ οἴνῳ, ὡς ἂν ἡ χρεία κελεύῃ, καὶ οὐκ ἐνίεται δὲ μόνον,
ἀλλὰ καὶ πίνεται. Καὶ μὴν καὶ τὰς ῥεούσας τρίχας ἐπέχει. — 27
25 Λύκιον ξηραντικῆς ἐστι δυνάμεως, ἐξ ἑτερογενῶν οὐσιῶν συγκεί- 28
μενον, τῆς μὲν ἑτέρας λεπτομεροῦς τε καὶ διαφορητικῆς ἱκα-
νῶς καὶ θερμῆς, τῆς δὲ ἑτέρας γεώδους ψυχρᾶς ὀλίγης, ἐξ ἧς καὶ
τὸ στύφειν ἔχει. Διὸ καὶ πρὸς διαφέροντα πάθη χρῶνται τῷ φαρ- 29
μάκῳ, ὡς ῥυπτικῷ μὲν, ὅταν ὡς ἀποκαθαῖρον αὐτὸ τὰ ἐπισκοτοῦντα

1. ὥστε τούς Gal.; ὡς τούς F; om. MV. — Ib. ῥύπτει M; ῥύπτειν V. — 7. τι om. MV. — 8. μέν om. F. — Ib. ξηρότητος] θερμότητος F. — 23. καί om. MV. — 25. οὐσῶν M; ὀστῶν F.

ταῖς κόραις παραλαμβάνουσιν, ὡς συνακτικῷ δὲ κοιλιακοῖς τε καὶ
30 δυσεντερικοῖς καὶ ῥόῳ γυναικείῳ προσφέροντες. Χρῶνται δὲ αὐτῷ
καὶ πρὸς ὑπώπια, καὶ πρὸς τὰς ἐν ἕδρᾳ καὶ στόματι φλεγμονὰς
καὶ ἑλκώσεις, ἕρπητάς τε καὶ σηπεδόνας καὶ τὰ κακοήθη τῶν ἑλκῶν
31 καὶ ὦτα πυορροῦντα καὶ παρατρίμματα καὶ παρωνυχίας. Τὸ δὲ 5
Ἰνδικὸν λύκιον ἰσχυρότερόν ἐστιν εἰς πάντα.

M

1 Μαλάχη ἡ μὲν ἀγρία διαφορητικῆς καὶ μαλακτικῆς ἀτρέμα μετ-
2 έχει δυνάμεως· ἡ δὲ κηπευομένη ἀσθενεστέρα ταύτης. Ὁ δὲ καρ-
πὸς αὐτῶν εἰς τοσοῦτον ἰσχυρότερός ἐστιν, εἰς ὅσον καὶ ξηρότερος,
ἡ δὲ δενδρομαλάχη καὶ ἀλθαία καλουμένη τοῦ μὲν αὐτοῦ γένους 10
3 ἐστί, διαφορητικωτέρα δὲ τῶν εἰρημένων. — Μανδραγόρας ψύχει
μὲν σφοδρῶς, μετέχει δέ τινος καὶ θερμότητος κατά γε τὰ μῆλα,
καὶ ὑγρότητος, ὅθεν καὶ κωματώδη τὴν δύναμίν ἐστι ταῦτα· τῆς
ῥίζης δὲ ὁ φλοιὸς ἰσχυρότατος ὢν οὐ ψύχει μόνον, ἀλλὰ καὶ ξη-
4 ραίνει, τὸ δὲ ἔνδον ἀσθενὲς ὑπάρχει. — Μάραθρον θερμαίνει μὲν 15
σφοδρῶς, ξηραίνει δὲ μετρίως· διὰ τοῦτο καὶ γάλακτος γεννητικόν
5 ἐστιν, οὐκ ἀγεννῶς. Ἔστι δὲ καὶ οὐρητικὸν καὶ καταμηνίων ἀγωγόν.
6 — Μαστίχη σύνθετος ἐξ ἐναντίων ἐστὶ δυνάμεων, στυπτικῆς [καὶ]
μαλακτικῆς· διὸ στομάχου καὶ κοιλίας καὶ ἐντέρων καὶ ἥπατος
7 φλεγμοναῖς ἁρμόττει, θερμαίνουσα καὶ ξηραίνουσα ἱκανῶς. — Με- 20
λάνθιον θερμαίνει μὲν καὶ ξηραίνει σφοδρῶς, λεπτομερὲς ὂν, οὕτω
γοῦν καὶ τοὺς κατάῤῥους ἰᾶται, θερμὸν ἐν ὀθονίῳ προσφερόμενον,
8 ὡς ὀσμᾶσθαι συνεχῶς. Καὶ μὲν δὴ καὶ ἀφυσώτατόν ἐστι πινόμενον.
9 Ἀναιρεῖ δὲ καὶ ἕλμινθας, οὐ μόνον ἐσθιόμενον, ἀλλὰ καὶ κατὰ τῆς
10 γαστρὸς ἐπιτιθέμενον ἔξωθεν. Λέπρας δὲ καὶ ἥλους καὶ μυρμηκίας 25
ἐκβάλλει, καὶ καταμήνια προτρέπει, τὰ διὰ πάχος καὶ γλισχρό-
11 τητα χυμῶν ἐπισχημένα. — Μέλι θερμαίνει τε καὶ ξηραίνει ἱκα-

10. ἀλθαία] ἄλθη V; ἄνθη M. — 18. [καί] Gal.: om. Codd.

νῶς. Ἔστι δὲ ἁπλῆς ὡς ἔνι μάλιστα δυνάμεως τῆς φυσικῆς. Ἑψηθὲν 12-13
δὲ ἧττον γίνεται δριμὺ καὶ ῥυπτικὸν, ὅθεν εἰς τὰς τῶν κόλπων αὐτῷ
κολλήσεις χρῶνται. — Μελίλωτον μικτῆς ἐστι δυνάμεως, ἔχει μὲν 14
γάρ τι καὶ ῥυπτικὸν, ἀλλὰ καὶ διαφορεῖ καὶ συμπέτει· πλέον γὰρ
5 ἐν αὐτῷ τὸ τῆς θερμῆς οὐσίας ἐστὶν ἤπερ τὸ τῆς ψυχρᾶς. —
Μεσπίλων στρυφνὸς ἱκανῶς ἐστιν ὁ καρπὸς καὶ μόλις ἐδώδιμος, 15
ἐφεκτικὸς ἰσχυρῶς γαστρός. — Μήκων πᾶσα ψυκτικῆς ἐστι δυνά- 16
μεως· ἡ δὲ κηπευομένη μετρίως ὑπνώδης ἔχει τὸ σπέρμα καὶ
λευκόν. Ταῦτα ἄρα καὶ τοῖς ἄρτοις ἐπιπλάττουσιν αὐτὸ, καὶ σὺν 17
10 μέλιτι δεύσαντες ἐσθίουσι. Τῆς δὲ ἄλλης, ἧς ἀπορρεῖ τὸ ἄνθος, 18
ἰσχυρότερον ψύχει τὸ σπέρμα, ὥστε οὐκ ἄν τις αὐτῷ μόνῳ χρή-
σαιτο ἀλύπως, ὥσπερ τῆς κηπευομένης. — Μηλείας Περσικῆς τὰ 19
φύλλα καὶ οἱ βλαστοὶ τὴν πικρὰν ἔχουσιν ἐπικρατοῦσαν ποιό-
τητα· διὸ καὶ τὰς ἕλμινθας ἀποκτείνει ποθέντα, καὶ κατὰ τοῦ ὀμ-
15 φαλοῦ ἐπιτιθέντα· καὶ ὅλως διαφορητικόν ἐστι φάρμακον. Ὁ δὲ 20
καρπὸς αὐτοῦ ὑγρός ἐστι καὶ ψυχρός. — Μῆον θερμαίνει μὲν σφο- 21
δρῶς, ξηραίνει δὲ ἱκανῶς, διὸ οὖρά τε κινεῖ καὶ τὰ καταμήνια, κε-
φαλαλγὲς καὶ φυσῶδες. — Μόλυβδος ὑγρασίαν ἔχει πλείστην ὑπὸ 22
ψύξεως πεπηγυῖαν· εἰ γοῦν τις θυίαν σκευάσας ἐκ μολύβδου μετὰ
20 δοίδυκος μολυβδίνου βαλὼν εἰς αὐτὴν ὀμφάκινον ἔλαιον ἢ ὕδωρ ἢ
ῥόδινον ἤ τι ἄλλο ὑγρὸν, τρίβοι τῷ γινομένῳ χυλῷ χρῆσθαι εἰς τὰς
ἐν ἕδρᾳ μετὰ ἑλκῶν ἢ στολίδων ἀνεξασμένας φλεγμονάς, εἴς τε τὰς
ἐν αἰδοίοις καὶ ὄρχεσι καὶ τιτθοῖς βούλοιτο, ἄριστον ἕξει φάρμακον.
Ὁμοίως δὲ καὶ κατὰ τῶν ἄλλων φλεγμονῶν τῶν ἀρχομένων ὅσα τε 23
25 βουβῶσιν ἢ ποσὶν ἢ τοῖς ἄλλοις ἄρθροις ἐγκατασκήπτει καὶ μέντοι
καὶ τοῖς ἕλκεσι καὶ τοῖς κακοήθεσιν, ὥστε καὶ πρὸς τὰς καρκινώδη
χρησάμενος αὐτῷ θαυμάσεις τὸ φάρμακον. Εἰ δὲ θέλεις διὰ τα- 24
χέων πλεῖστον ἀθροῖσαι τοῦ μολύβδου χυλὸν, ἐν ἡλίῳ πειρῶ τρί-
βειν, ἢ ὅλως ἐν ἀέρι θερμῷ. Πολύχρηστον δὲ ἔσται σοι τὸ φάρμα- 25
30 κον, εἰ καὶ τῶν στυπτικῶν χυλῶν ἐναποτρίβοις, οἷον ἀειζώου καὶ

2. ὅθεν καὶ εἰς MV. — 4. συμπίπτει λαγγες F. — 25. ἐγκατασκήπτει om. MV. — 17-18. κεφαλαλγὲς] καὶ φά- MV. — 27. βούλοιο MV.

κοτυληδόνος καὶ σέρεως καὶ θριδακίνης καὶ ψυλλίου καὶ ὄμφακος.
26 Λεπὶς δὲ μολύβδου λεπτὴ γενομένη καὶ καλῶς ἐπιδεθεῖσα κατὰ
27 γαγγλίου τελέως ἀφανίζει αὐτό. — Μορέας ὁ καρπὸς, ὁ μὲν πέπει-
ρος, ὑπάγει γαστέρα, ὁ δὲ ἄωρος ξηρανθεὶς στεγνωτικὸν ἱκανῶς
γίνεται φάρμακον, ὥστε καὶ πρὸς δυσεντερικοὺς καὶ κοιλιακοὺς ἁρ- 5
28 μότειν· κόπτεται δὲ καὶ τοῖς ὄψοις μίγνυται. Ὁ δὲ φλοιὸς τῆς ῥίζης
τοῦ δένδρου καθαρτικῆς μετέχει δυνάμεως μετά τινος πικρότητος,
29 ὡς καὶ πλατεῖαν ἔλμινθα ἀποκτείνειν. — Μυελὸς μαλακτικῆς τῶν
30 σκληρυνομένων καὶ σκιῤῥουμένων σωμάτων ἐστὶ δυνάμεως. Καλλί-
στου δὲ ἐπειράθην ἀεὶ τοῦ τῶν ἐλάφων, ἐφεξῆς δὲ τοῦ τῶν νέων 10
31 βοῶν. Ὁ δὲ τῶν τράγων καὶ ταύρων δριμύτερός ἐστι καὶ ξηραντι-
κώτερος, ὥστε οὐ δύναται διαλύειν σκληρότητας σκιῤῥώδεις. —
32 Μυῤῥίνη ἐξ ἐναντίων οὐσιῶν σύγκειται, ἐπικρατεῖ δὲ ἐν αὐτῷ τὸ
γεῶδες ψυχρόν· ἔχει δέ τι καὶ λεπτομερὲς θερμὸν, ὅθεν ἰσχυρῶς
33 ξηραίνει. Ἔστι δὲ καὶ τὰ φύλλα καὶ ὁ καρπὸς καὶ οἱ βλαστοὶ καὶ ὁ 15
34 χυλὸς, οὐ πολλῷ τινι διαφέροντα κατὰ τὴν στύψιν. Ἡ μέντοι τῷ
στελέχει τε καὶ τοῖς κλάδοις αὐτῆς ἐπίφυσις ὀχθώδης ἣν ἔνιοι μυρ-
τίδα καλοῦσιν, εἰς ὅσον ἐστὶ ξηροτέρα τῶν εἰρημένων, εἰς τοσοῦ-
35 τον καὶ στύφει καὶ ξηραίνει σφοδρότερον. Ἐπιτίθενται δὲ αὐτὴν
ἔνιοι κόπτοντες καὶ ἀναλαμβάνοντες οἴνῳ καὶ τροχίσκους ἀναπλάτ- 20
36 τοντες. Ἔστι δὲ καὶ τὰ ξηρὰ φύλλα τῶν χλωρῶν ξηραντικώτερα.

N

1 Νάρδου στάχυς θερμαίνει μὲν μετρίως, ξηραίνει δὲ ἱκανῶς·
σύγκειται δὲ ἐκ στυφούσης αὐτάρκους οὐσίας καὶ δριμείας θερμῆς
οὐ πολλῆς, καί τινος ὑποπίκρου βραχείας· εὐλόγως οὖν πρὸς ἧπαρ
καὶ στόμαχον ἁρμότει, πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη καὶ 25
οὖρα κινεῖ καὶ δήξεις ἰᾶται στομάχου, καὶ τὰ κατὰ γαστέρα ῥεύ-
ματα ξηραίνει καὶ πρὸς τούτοις ἔτι τὰ κατὰ τὴν κεφαλὴν καὶ τὸν

17. φύλλοις κλάδοις E. — 26. τά om. MV. — 27. τόν om. MV.

θώρακα. Γενναιοτέρα δέ ἐστιν ἡ Ἰνδικὴ, μελαντέρα τῆς Συριακῆς 2
οὖσα. Ἡ δὲ Κελτικὴ παραπλησίας μὲν ἔστι δυνάμεως τῷ σιάχυϊ, 3
ῥυρητικωτέρα δέ. — Ναρκίσσου ἡ ῥίζα ξηραντικῆς ἐστι δυνάμεως, 4
ὡς κολλᾶν τραύματα μέγιστα, μέχρι καὶ τῶν περὶ τοὺς τένοντας
5 διακοπῶν. Ἔχει δέ τι καὶ ῥυπτικὸν καὶ ἐπισπαστικόν. — Νυμφαίας 5
ἥ τε ῥίζα καὶ τὸ σπέρμα δύναμιν ἔχει ξηραντικὴν ἄδηκτον· ἐπέχει
τοιγαροῦν καὶ τὰ τῆς γαστρὸς ῥεύματα καὶ τὸ σπέρμα τὸ κατὰ τοὺς
ὀνειρωγμοὺς καὶ ἄλλως ἀμετρότερον φερόμενον· ὀνίνησι δὲ καὶ
δυσεντερικούς. Ἡ δὲ τὴν λευκὴν ἔχουσα ῥίζαν σφοδροτέρας ἐστὶ 6
10 δυνάμεως, πίνεται δὲ [καὶ αὕτη, καὶ ἡ τὴν μέλαιναν ἔχουσα ῥίζαν]
ἐν οἴνῳ μέλανι αὐστηρῷ· μετέχουσι δὲ τῆς ῥυπτικῆς δυνάμεως,
ὥστε καὶ ἀλφοὺς ἰῶνται δευόμεναι σὺν ὕδατι, ἀλωπεκίας δὲ, σὺν
ὑγρᾷ πίτῃ.

O

Ὄξος μικτῆς οὐσίας ἐστὶ θερμῆς καὶ ψυχρᾶς, ἀμφοῖν λεπτομε- 1
15 ροῖν· ἐπικρατεῖ δὲ τῆς θερμῆς ἡ ψυχρά. Ξηραντικὸν δέ ἐστι σφο- 2
δρῶς ὅτε ἄν [γε] ἰσχυρὸν ὑπάρχῃ. — Ὀξυακάνθου ὁ καρπὸς οὐ 3
μόνον ἐσθιόμενος, ἀλλὰ καὶ πινόμενος, ἐφεκτικός ἐστιν ἁπάντων
ῥοώδων παθῶν. — Ὀποπάναξ μαλάττει καὶ διαφορεῖ καὶ θερμαί- 4
νει σφοδρῶς, ξηραίνει τε ἱκανῶς. — Ὀπὸς ὁ μὲν Κυρηναῖος, ἁπάν- 5
20 των ἐστὶ θερμότατος καὶ λεπτομερέστατος, καὶ διὰ τοῦτο καὶ
διαφορητικώτατος. Οὐ μὴν ἀλλὰ καὶ οἱ ἄλλοι θερμοί εἰσι καὶ πνευ- 6
ματώδεις ἱκανῶς, τουτέστιν ὅ τε Μηδικὸς καὶ ὁ Συριακός. —
Ὀρίγανοι πᾶσαι τμητικῆς τε καὶ λεπτυντικῆς καὶ θερμαντικῆς καὶ 7
ξηραντικῆς σφοδρῶς εἰσι δυνάμεως· ἡ δὲ τραγορίγανος προσείληφέ
25 τι καὶ στύψεως. — Ὄροβος ξηραίνει μὲν ἱκανῶς, θερμαίνει δὲ με- 8
τρίως καὶ τέμνει καὶ ῥύπτει καὶ ἐκφράττει· πλέον δὲ ληφθεὶς αἷμα
διὰ οὔρων ἄγει. — Ὄστρακα κηρύκων καὶ πορφύρων καυθέντα ξη- 9

7. τούς om. MV. — 10-11. πινεται (πίνοντες F)..... δυνάμ. om. MV; cat. e Gal. — 16. [γε] F, Gal.; om. Codd.

ραντικῆς ἱκανῶς ἐστι δυνάμεως· καὶ τῶν ὀστρέων δὲ τὸ ὄστρακον καυθὲν ὁμοίας ἐστὶ δυνάμεως, ᾧ χρῶμαι πρὸς τὰς ἐκ τραυμάτων χρονίας καὶ δυσσαρκώτους κοιλότητας, ὅσαι συραγγώδεις εἰσὶ καὶ βαθεῖαι, περιτιθεὶς ἔξωθεν αὐτὸ μετὰ παλαιοῦ στέατος ὑείου, καὶ εἰς τὸν κόλπον ἐμβαλών τι τῶν τὰ τοιαῦτα σαρκούντων, οἷόν ἐστι καὶ τὸ κεκαυμένον διφρυγὲς ὃ καλοῦσι σπεκλάριον. Ἀλλὰ καὶ λεπτύνει τοὺς ὀδόντας ἡ τῶν τοιούτων ἁπάντων τέφρα, καὶ τῷ ῥυπτικῷ μὲν τῆς δυνάμεως, καὶ τῷ τῆς οὐσίας δὲ τραχεῖ καθάπερ ἡ κίσσηρις· ἐν μὲν οὖν τῇ τοιαύτῃ χρήσει οὐ πάνυ σφόδρα λειοῦν, ἀναγκαῖόν ἐστι τὰ οὕτω καυθέντα, τοῖς δὲ κακοήθεσιν ἕλκεσιν ἐπὶ πάντων ἀκριβῶς προλειώσεις. Καὶ τὰ ὑπερσαρκοῦντα δὲ μετρίως καθαίρει καὶ προσλέλλει. Μετά γε μὴν ἁλῶν πάντα τὰ τοιαῦτα καυθέντα, ποιεῖ μὲν καὶ ὀδόντων σμῆγμα δρασικώτερον, ὡς καὶ τὰ πλαδαρὰ τῶν οὔλων ξηραίνειν, ἀλλὰ καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν ὠφελεῖ.

Π

1 Παλιούρου τὰ φύλλα καὶ ἡ ῥίζα στυπτικῆς μὲν οὐκ ἀσαφῶς μετείληφε δυνάμεως ὡς καὶ τὴν ῥέουσαν ἐπέχειν γαστέρα, διαφορη-
2 τικῆς δὲ εἰς τοσοῦτον, ὡς καὶ τὰ φύματα θεραπεύειν. Ὅσα γε μὴ
3 λίαν ὑπάρχει φλεγμονώδη τε καὶ θερμά. Ὁ δὲ καρπὸς τμητικῆς εἰς τοσοῦτον μετέχει δυνάμεως, ὡς καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν,
4 καὶ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσι βοηθεῖν. — Πεν-
ταφύλλου ἡ ῥίζα ξηραίνει μὲν ἱκανῶς, ἥκιστα δέ ἐστι δριμεῖα, διὸ
5 καὶ πολύχρηστος ὑπάρχει. — Πεπέρεως τὸ μὲν ἄρτι βλάστανον, τὸ μακρόν ἐστι, διὸ καὶ ὑγρότερον ὑπάρχει· τὸ δὲ οἷον ὄμφαξ, τὸ λευκόν ἐστι πέπερι, δριμύτερον ὑπάρχον τοῦ μέλανος· ἐκεῖνο γὰρ
6 οἷον ὑπερωπτημένον ἐστὶν ἤδη καὶ ὑπερεξηραμμένον. Ἀμφότερα δὲ
7 ἰσχυρῶς θερμαίνει καὶ ξηραίνει. — Πετροσελίνου τὸ σπέρμα δριμὺ

6. σφεκλάριον FV; σφλεκάριον M. — 13. μέν] δέ MV. — 17. ὥστε καί MV. — 24. τὸ δὲ οἷον ὄμφαξ, τό e Gal.; τὸ δὲ οἷον ὄμφαξ, ὁ καρπὸς, τό Codd. — 26. ὑποπτημένον MV. — Ib. ἤδη] ἰδεῖν MV. — 27. ἱκανῶς MV.

μετὰ ϖικρότητός ἐσϊι· διὰ τοῦτο καὶ καταμήνια κινεῖ καὶ οὖρα ϖροτρέπει δαψιλῶς. Ἔσϊι δὲ καὶ ἄφυσον, ϑερμαῖνον καὶ ξηραῖνον 8
ἰσχυρῶς.— Πήγανον τὸ μὲν ἄγριον σφοδρότατα ϑερμαίνει καὶ ξη- 9
ραίνει, καὶ τὸ ἥμερον δὲ σφοδρῶς. Ἔσϊι δὲ οὐ δριμὺ μόνον, ἀλλὰ 10
καὶ ϖικρόν. Τέμνει τε καὶ διαφορεῖ τοὺς ϖαχεῖς καὶ γλίσχρους 11
χυμοὺς καὶ διὰ οὔρων κινεῖ. Καὶ μὲν δὴ καὶ λεπϊομερές ἐσϊι καὶ 12
ἄφυσον καὶ διὰ τοῦτο ϖρός τε τὰς ἐμπνευματώσεις ἁρμόϊει, καὶ
τὰς εἰς ἀφροδίσια ϖροθυμίας ἐπέχει καὶ διαφορεῖ καὶ ξηραίνει γεν-
ναίως. — Πίσσα ἡ μὲν ξηρὰ ϑερμαίνει τε ἱκανῶς καὶ ξηραίνει, ἡ 13
δὲ ὑγρὰ μετὰ τούτων μετέχει τι καὶ λεπϊομεροῦς, ὡς καὶ τοὺς
ἀσθματικοὺς καὶ τοὺς ἐμπύους ὠφελεῖν. Πλῆϑος δὲ ἐκλείχειν ἀρκεῖ 14
κύαϑον μέλιτος μιγνῦντας. Ἀλλὰ καὶ ῥυπϊικὸν ἔχουσί τι καὶ συμ- 15
πεπϊικὸν καὶ διαφορητικόν. Οὕτω γέ τοι καὶ λεπροὺς ὄνυχας ἐξά- 16
γουσι μιγνύμεναι κηρῷ, καὶ λειχῆνας ἀποῤῥύπϊουσι. Συμπέτϊουσι 17
δὲ καὶ τοὺς σκληροὺς καὶ ἀπέπϊους ὄγκους ἐπεμβαλλόμεναι κατα-
πλάσμασιν. Ἰσχυροτέρα δὲ εἰς ἅπαντα ἡ ὑγρά. — Πίτυος ὁ φλοιὸς 18-19
ἐπικρατοῦσαν ἔχει τὴν σϊυπϊικὴν δύναμιν, ὡς καὶ ϖαρατρίμματα
καταπλασσόμενος ἰᾶσϑαι, κάλλισϊα καὶ κοιλίαν ἐπέχει, εἰ ϖοϑείη.
Καὶ κατακαύματα δὲ ἐπουλοῖ. Καὶ ὁ τῆς ϖεύκης δὲ φλοιὸς ὅμοιος 20-21
μὲν αὐτῷ, μετριώτερος δὲ κατὰ τὴν δύναμιν. Ἐν δὲ τοῖς φύλλοις 22
ἀμφοτέρων τῶν δένδρων δύναμίς ἐσϊι κολλητικὴ τραυμάτων. Ἡ δὲ 23
λιγυὺς ἡ ἐκ τῶν εἰρημένων ϖρὸς ϖϊίλα βλέφαρα καὶ μύδωντας καν-
ϑοὺς καὶ ϖεριβεβρωμένους καὶ δακρύοντάς ἐσϊι χρήσιμος. — Πλά- 24
τανος ὑγροτέρας καὶ ψυχροτέρας ἐσϊὶν οὐσίας· διὰ τοῦτο τὰ φύλλα
τὰ χλωρὰ λειωϑέντα καὶ καταπλασϑέντα τὰς ἐν γόνασι φλεγμονὰς
ὀνίνησιν. Ὁ δὲ φλοιὸς αὐτῆς καὶ τὰ σφαιρία ξηραντικώτερα, ὡς τὸν 25
μὲν [ἐν] ὄξει καϑεψόμενον εἰς ὀδόντων ἀλγήματα ϖαραλαμβάνεσϑαι·
τὰ δὲ σφαιρία μετὰ σϊέατος ἐπὶ τῶν ϖυρικαύτων ἑλκῶν.— Πομφόλυξ 26

3. Πήγανον] hic Dioscoridem, IV, 4, describit F in ora. — 4. δέ om. F. — 5. διαφορεῖ] λεπϊύνει MV. — 8. ϖροθυμίας om. MV. — 10. ἔχει MV. — 11. ἀρκεῖ om. MV. — 24. καί om. M. — 26-28. ξηραντικώτερα.. .... τὰ δὲ σφαιρία om. MV. — 27. [ἐν] Gal.; om. F.

εἰ πλυθείη, σχεδὸν ἁπάντων πρῶτόν ἐστιν, ὅσα ξηραίνειν ἀδήκτως πέφυκεν, ὅθεν εἴς τε τὰ καρκινώδη τῶν ἑλκῶν ἐστιν ἐπιτήδειος, καὶ
27 πρὸς τὰ ἄλλα τὰ κακοήθη πάντα. — Πράσιον θερμαίνει καὶ ξη-
ραίνει σφοδρῶς, ἥπάρ τε ἐκφράττει καὶ σπλῆνα καὶ τὰ κατὰ θώ-
28 ρακα καὶ πνεύμονα διακαθαίρει· κινεῖ τε ἔμμηνα. Καὶ καταπλασ- 5
σόμενον, ῥύπτει τὲ καὶ διαφορεῖ· καὶ διὰ ῥινῶν ἰκτερικοὺς καθαίρει·
29 καὶ πρὸς ὤτων ὀδύνας κεχρονισμένας ποιεῖ. — Πρόπολις θερμαί-
νει σφοδρῶς καὶ ῥυπτικῆς ἰσχυρῶς ἐστι δυνάμεως, ἑλκτικῆς τε ἱκα-
30 νῶς ἰσχυρᾶς, καὶ λεπτομερὴς τὴν οὐσίαν. — Πτελέας τὰ φύλλα
πρόσφατα τραύματα κολλᾷ, σύμπτικήν τε καὶ ῥυπτικὴν ἔχοντα 10
31 δύναμιν. Ὁ δὲ φλοιὸς ἔτι μᾶλλον, ὥστε καὶ λέπραν ἰᾶται σὺν ὄξει.
32 Καὶ αἱ ῥίζαι δὲ τῆς αὐτῆς εἰσι δυνάμεως, ὥστε καὶ τῷ ἀφεψήματι
33 καταντλοῦσί τινες, ὅσα πωρώσεως δεῖται κατάγματα. — Πτέ-
ρεως ἡ ῥίζα ἀναιρεῖ πλατεῖαν ἑλμινθα, δραχμῶν τεσσάρων ποθει-
σῶν ἐν μελικράτῳ· καὶ ἔμβρυα τὰ μὲν ζῶντα διαφθείρει, τὰ δὲ νε- 15
34 κρὰ ἐκβάλλει. Ὁμοίαν δὲ αὐτῇ καὶ ἡ θηλύπτερις δύναμιν ἔχει. —
35 Πυρέθρου ἡ ῥίζα καυστικὴν ἔχει δύναμιν, κατὰ ἣν ὀδόντων τε τῶν
ἐψυγμένων ὀδύνας ἰᾶται, καὶ πρὸς τῶν κατὰ περίοδον ῥιγῶν ἀνα-
τρίβεται μετὰ ἐλαίου, καὶ τοὺς ναρκώδεις καὶ παρειμένους ὠφελεῖ.
36 — Πυρὸς ἔξωθεν ἐπιτιθέμενος μετρίως θερμαίνει, οὐ μὴν οὔτε 20
ὑγραίνειν οὔτε ξηραίνειν ἐπιφανῶς πέφυκεν, ἔχει δέ τι καὶ γλίσχρον
37 καὶ ἐμφρακτικόν. Τὸ δὲ ἐξ αὐτοῦ σκευαζόμενον ἄμυλον ψυχρότερόν
τε καὶ ξηραντικώτερον αὐτοῦ γίνεται, καὶ τὸ ἐξ ἄρτου δὲ κατά-
πλασμα διαφορητικωτέρας ἐστὶ δυνάμεως, ἤπερ τὸ ἐκ τῶν πυρῶν,
ὡς ἂν καὶ ἁλῶν καὶ ζύμης προσειληφότος τοῦ ἄρτου· δυνάμεως γὰρ 25
38 ἐπισπαστικῆς τε καὶ διαφορητικῆς ἐστὶν ἡ ζύμη. — Πυτία πᾶσα
δριμείας ἐστὶ καὶ λεπτυντικῆς καὶ διαφορητικῆς δυνάμεως καὶ ξη-
39 ραντικῆς, γάλα δὲ τεθρομβωμένον ἐν κοιλίᾳ διαλύει. Καλλίων δὲ
40 αὐτῶν ἐστιν ἡ λαγῷα. Διαλύει δὲ καὶ τεθρομβωμένον αἷμα κατὰ
κοιλίαν ὁμοίως ποθεῖσα μᾶλλον μὲν ἴσως τῶν ἄλλων ἡ λαγῷα, οὐ 30
μὴν [δὲ] μόνη.

4. κατά om. M. — 31. [δέ] om. Codd.; οὐ μὴν μόνη γε ὥς τινες ἔγραψαν Gal.

Ρ

Ῥαφανὶς θερμαίνει σφοδρῶς, καὶ ἱκανῶς ξηραίνει. Τὸ δὲ σπέρμα 1
δραστικώτερον τοῦ φυτοῦ· διαφορητικωτέρα δέ ἐστιν ἐν αὐτοῖς ἡ
δύναμις, ὥστε καὶ πρὸς ὑπώπια καὶ τὰ ἄλλα πελιδνὰ, ὠφελίμως
παραλαμβάνεσθαι. — Ῥῆον μικτῆς ἐστι κράσεως· ἔχει γάρ τι καὶ 2
γεῶδες ψυχρόν· σύνεστι δέ τις αὐτῷ καὶ θερμότης· μετέχει δὲ καὶ
λεπτομερείας· σπάσματά τε οὖν καὶ ῥήγματα καὶ ὀρθόπνοιαν ὠφε-
λεῖ, καὶ πελίωμα καὶ λειχῆνας ἰᾶται μετὰ ὄξους ἐπαλειφόμενον καὶ
αἱμοπτοϊκούς τε καὶ κοιλιακοὺς καὶ δυσεντερικοὺς ὠφελεῖ. — Ῥητί- 3
ναι πᾶσαι θερμαίνουσι καὶ ξηραίνουσι καὶ διαφοροῦσιν, αἱ μὲν
πλέον, αἱ δὲ ἔλαττον. Προκέκριται δὲ εἰκότως ἁπασῶν ἡ σχινίνη· 4
μαστίχην δὲ αὐτὴν ὀνομάζουσι· πρὸς γὰρ τῷ στύψεως ὀλίγης μετέ-
χειν, ὡς καὶ τὰς κατὰ στόμαχον καὶ γαστέρα καὶ ἧπαρ ἀτονίας
ἰᾶσθαι, καὶ φλεγμοναῖς ἁρμότει· ἔτι καὶ ξηραίνειν ἀλύπως αὐτῇ
πάρεστιν· ἥκιστα γάρ ἐστι δριμεῖα καὶ μαλιστα ἡ λεπτομερής. Τῶν 5
δὲ ἄλλων ἡ τερμινθίνη πρωτεύει. Διαφορεῖ δὲ μᾶλλον τῆς μαστίχης 6
καὶ ῥύπτει, ὡς καὶ ψώρας ἰᾶσθαι καὶ τὰ κατὰ βάθος ἕλκειν μᾶλ-
λον τῶν ἄλλων. — Ῥόδων ἡ δύναμις ἐξ ὑδατώδους θερμῆς ἀναμε- 7
μιγμένης δυσὶ ποιότησιν ἑτέραις ἐστὶ τῆς τε στυφούσης καὶ τῆς
πικρᾶς. Τὸ δὲ ἄνθος αὐτῶν ἔτι μᾶλλον τὸ τῶν ῥόδων ῥυπτικόν ἐστι, 8
καὶ δηλονότι διὰ τοῦτο καὶ ξηραντικόν. — Ῥύπος ὁ ἀπὸ τῶν ἀν- 9
δριάντων διαφορητικός ἐστι καὶ μαλακτικὸς, καὶ ἄπεπτα φύματα
διαφορεῖ. Ὁ δὲ ἐν ταῖς παλαίστραις, ὃν καὶ πάτον ὀνομάζου- 10
σιν, ἄριστον ἵαμα φλεγμονῆς τιτθῶν ἐστι· καὶ γὰρ τὸ πυρῶδες
αὐτῶν σβέννυσι καὶ τὸ ἐπιῤῥέον στέλλει καὶ τὸ περιεχόμενον
διαφορεῖ.

Σ

Σανδαράκη καυστικῆς ἐστι δυνάμεως, ὥσπερ τὸ ἀρσενικόν· εἰ- 1

4. καί om. M. — 5. δέ om. F. — 7. καὶ πελίωμα om. M.

κότως οὖν εἴς τε διαφορητικὰς δυνάμεις αὐτὴν μιγνύουσι καὶ τὰς
2 ῥυπτικάς. — Σατύριον ὑγρόν ἐστι καὶ θερμὸν τὴν κρᾶσιν, περιτ-
τωματικὴν καὶ φυσώδη τὴν ὑγρότητα κεκτημένον· καὶ διὰ τοῦτο
3-4 παρορμᾷ πρὸς ἀφροδίσια. Ταῦτα δὲ καὶ ἡ ῥίζα αὐτοῦ δρᾷ. — Σέ-
λινον θερμὸν εἰς τοσοῦτόν ἐστιν, ὡς οὖρα καὶ καταμήνια κινεῖν. 5
5-6 Ἔστι δὲ καὶ ἄφυσον καὶ μᾶλλον τῆς πόας τὸ σπέρμα. — Σέρις
7 ψυχρᾶς καὶ ξηρᾶς κράσεώς ἐστι μετρίως. — Σεσελέως τὸ σπέρμα
τῶν θερμαινόντων εἰς τοσοῦτόν ἐστιν ὡς ἱκανῶς οὐρητικὸν ὑπάρ-
8 χειν. Διὰ λεπτομέρειαν, καὶ πρὸς ἐπιληψίαν καὶ ὀρθόπνοιαν ἁρ-
9 μόττει. — Σήσαμον ἐμπλαστικόν ἐστιν ἅμα καὶ μαλακτικὸν καὶ 10
10 μετρίως θερμόν. Τῆς [δὲ] αὐτῆς δυνάμεως ἐστι καὶ τὸ ἐξ αὐτοῦ
11 ἔλαιον, καὶ τὸ ἀφέψημα τῆς πόας. — Σίκυος ὁ μὲν ἤδη πέπων
λεπτομερεστέρας οὐσίας ἐστίν, ὁ δὲ μὴ τοιοῦτος παχυμερεστέρας.
οὐ μὴν ἀλλὰ καὶ ῥυπτικῆς τε καὶ τμητικῆς μετείληφασι δυνάμεως,
ὅθεν οὐρητικοί τε εἰσὶ καὶ λαμπρύνουσι τὸ σῶμα καὶ μᾶλλον εἰ ξη- 15
ρανθείη τὸ σπέρμα, κἄπειτα κόψας τε καὶ σήσας, ῥύμματι χρῶτο.
12 Κρατεῖ δὲ ἐν αὐτοῖς ἡ ὑγρὰ καὶ ψυχρὰ κρᾶσις ἱκανῶς· εἰ μέντοι τὸ
σπέρμα καὶ ἡ ῥίζα ξηρανθείη, οὐκέτι οὐδὲ τῆς ὑγρᾶς ἐστι φύσεως,
13 ἀλλὰ ἤδη τῆς ξηραινούσης μετρίως. — Σικύου ἀγρίου τοῦ καρποῦ
ὁ χυλός, ὃν ἐλατήριον ὀνομάζουσιν, οὐχ ἥκιστα δὲ καὶ ὁ τῆς ῥίζης 20
τε καὶ τῶν φύλλων, ἐπιτήδειοι τυγχάνουσιν εἰς τὰς ἰάσεις· τὸ μὲν
οὖν ἐλατήριον, ἐμμηνά τε προκαλεῖται καὶ τὰ κυούμενα διαφθείρει
14 προστιθέμενον. Ἀγαθὸν δὲ καὶ τοῖς ἰκτερικοῖς ἐγχεόμενον ταῖς ῥισὶ
15 μετὰ γάλακτος· οὕτω δὲ χρωμένων καὶ κεφαλαίας ἰᾶται. Ὁ δὲ τῆς
16 ῥίζης χυλὸς καὶ τῶν φύλλων ἀσθενέστερος τοῦ προειρημένου. Ἡ 25
δὲ ῥίζα ῥύπτει καὶ διαφορεῖ καὶ μαλάττει καὶ ξηραίνει· διαφορητι-
17 κώτερος δὲ αὐτῆς ὁ φλοιός. — Σιλφίου θερμότατος μὲν ἔστι ὁ
ὀπὸς, οὐ μὴν ἀλλὰ καὶ τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ὁ χυλὸς καὶ ἡ
18 ῥίζα θερμαίνει γενναίως. Ἔστι δὲ φυσωδεστέρας οὐσίας ἅπαντα καὶ
19 κατὰ τοῦτο καὶ δύσπεπτα. Ἔξωθεν μέντοι ἐπιτιθέμενα, δραστηριω- 30

21. καὶ τῶν ἄλλων φύλλων M. — 22. τε om. MV. — 23. ταῖς ῥισὶ om. F.

δέσΊερα, καὶ μάλισΊα ϖάντων ὁ ὀπὸς ἑλκτικῆς ἱκανῶς ὑπάρχων δυνάμεως. Καὶ μὲν δὴ καὶ καθαίρετικόν τι καὶ ἀποτηκτικὸν ἔχει διὰ τὴν ϖροειρημένην αὐτοῦ κρᾶσιν. — Σπόγγος ὁ μὲν κεκαυμένος δριμείας ἐσΊι καὶ διαφορητικῆς δυνάμεως· ϖοιεῖ γοῦν καὶ ϖρὸς αἱμορῥαγίας τὰς ἐκ τραυμάτων δευόμενος ἀσφάλτῳ καὶ καιόμενος, ὡς γενέσθαι ξηρὸς, μὴ ϖαρούσης δὲ αὐτῆς, ϖίΊῃ. Καινὸς δὲ ὁ σπόγγος αὐτὸς κατὰ ἑαυτὸν ξηραίνει σαφῶς· εἴσῃ δὲ χρησάμενος ἐπὶ τραύματος αὐτῷ μόνῳ μετὰ ὕδατος ἢ ὀξυκράτου ἢ οἴνου· κολλήσει γὰρ αὐτὰ ϖαραπλήσιως τοῖς ἐναίμοις φαρμάκοις. — Σφονδυλίου ὁ μὲν καρπὸς δριμείας ἐσΊὶ καὶ τμητικῆς δυνάμεως, ὥσΊε καὶ ϖρὸς ἄσθματα καὶ ϖρὸς ἐπιληψίαν ἀγαθόν ἐσΊι φάρμακον. Ὀνίνησι δὲ καὶ τοὺς ἰκτερικούς. Καὶ ἡ ῥίζα δὲ ὁμοία οὖσα τὴν δύναμιν ἐπὶ τῶν αὐτῶν ἁρμόΊει, ϖροσέτι δὲ καὶ τοὺς ἐκ συρίγγων τύλους ἀφαιρεῖ· χρὴ δὲ ϖεριξύσαντας ἐντιθέναι. — ΣΊέαρ τὸ τῶν ὑῶν ὑγρότατόν ἐσΊι σχεδὸν ἁπάντων τῶν ἄλλων καὶ διὰ τοῦτο τὴν ἐνέργειαν ἐγγύς ἐσΊιν ἐλαίῳ, μαλακτικώτερόν γε μὴν καὶ ϖεπΊικώτερον ἐλαίου· καὶ διὰ τοῦτο τοῖς ϖρὸς φλεγμονὰς ἁρμόΊουσι καταπλάσμασι μίγνυται. Τοῖς [δὲ] δακνομένοις τὰ κατὰ τὸ ἀπευθυσμένον ἢ κατὰ τὸ κῶλον ἐνίεμεν τὸ αἴγειον μᾶλλον σΊέαρ· διότι ϖήγνυται ῥᾳδίως διὰ ϖάχος, ἀποῤῥεῖ δὲ τὸ ὕειον, ὁμοίως τῷ ἐλαίῳ χρώμεθα ϖαρηγοροῦντες τὰς δήξεις ἐπὶ τῶν δυσεντερικῶν τι καὶ τεινεσμοδῶν. Τοὺς δὲ κατὰ τὸ βάθος δάκνοντας ἰχώρας τὸ χήνειον σΊέαρ μᾶλλον ἀμβλύνει διὰ τὴν λεπΊομέρειαν· ἔσΊι δὲ καὶ θερμότερον τοῦ ὑείου· μεταξὺ δὲ αὐτῶν ἐσΊι τὸ τῶν ἀλεκτρυόνων. Ἀπάσης μὲν οὖν ϖιμελῆς δύναμίς ἐσΊιν ὑγραντική τε καὶ θερμαντική· ἀλλὰ τὸ μὲν τοῦ ὑὸς μετρίως ἐσΊὶ θερμὸν, τὸ δὲ τῶν ταύρων ϖολὺ θερμότερον καὶ ξηρότερον, τὸ δὲ μόσχειον ἀπολείπεται τοῦ τῶν ταύρων τε καὶ τῶν ἐρίφων καὶ τῶν αἰγῶν καὶ τῶν τράγων· αὐτὸ

5. τραύματος MV. — 7. αὐτόν FM. — Ib. εἴσῃ δέ om. F. — 9. ἐναίμοις γε φαρμάκοις MV. — 12. καί ante τούς om. F. — 14. ξύσαντες MV. — 18. [δέ] Gal.; om. Codd. — 19. ἐν. δὲ αἴγ. Codd. — 22. τό om. MV. — 25. οὖν om. F. — Ib. ὑγρά M; ὑγρᾶν V. — 26. ταύρων] ἄντρων MV.

δὲ πάλιν τὸ τῶν ταύρων τοῦ τῶν λεόντων· διαφορητικώτατον γάρ
ἐστι πάντων τῶν ἐν τοῖς τετράποσι, καὶ γὰρ θερμότατόν ἐστι καὶ
λεπτομερέστατον· χρονίζον δὲ πᾶν στέαρ ἑαυτοῦ γίνεται θερμότε-
30 ρόν τε καὶ λεπτομερέστερον, ὥστε καὶ διαφορητικώτερον. — Σκάν-
διξ θερμαίνει καὶ ξηραίνει σφοδρῶς· οὐρητικὸς οὖν εἰκότως ἐστὶ 5
31 καὶ τῶν σπλάγχνων ἐκφρακτικός. — Σκίλλα τμητικῆς ἱκανῶς ἐστι
32 δυνάμεως, οὐ μὴν ἰσχυρῶς γε θερμῆς. Ἄμεινον δὲ ὀπτῶντας ἢ
ἕψοντας αὐτῇ χρῆσθαι· ἐκλύεται γὰρ οὕτω τὸ σφοδρὸν τῆς δυνά-
33 μεως αὐτῆς. — Σκολύμου ἡ ῥίζα θερμὴ καὶ ξηρὰ ἱκανῶς ἐστι,
πλῆθος δὲ οὔρων ἄγει δυσωδῶν, εἴ τις αὐτὴν ἐν οἴνῳ κατεψήσας 10
πίνοι· καὶ διὰ τοῦτο καὶ τὰς δυσωδίας ἰᾶται τῶν μασχαλῶν καὶ ὅλου
34 τοῦ σώματος. — Σκόρδιον ἐκ διαφόρων δυνάμεων σύγκειται· καὶ
γὰρ πικρὸν ἔχει τι καὶ στρυφνὸν καὶ δριμύ· διακαθαίρει τε οὖν ἅμα
καὶ θερμαίνει τὰ σπλάγχνα, καὶ καταμήνια καὶ οὖρα κινεῖ, καὶ
σπάσματα, καὶ ῥήγματα καὶ πλευρῶν ἀλγήματα κατὰ ἔμφραξιν 15
καὶ ψύξιν ἰᾶται πινόμενον, καὶ κολλᾷ μὲν μεγάλα τραύματα χλω-
ρὸν ἐμπλασσόμενον, ἀνακαθαίρει δὲ τὰ ῥυπαρὰ καὶ εἰς οὐλὴν ἄγει
35 ταῦτα. — Σκόροδον θερμαίνει καὶ ξηραίνει σφοδρότατα καὶ βδέλ-
36 λας ἐκβάλλει ὡς μηδενὸς ἑτέρου δεῖσθαι. — Σμύρνα τῶν ἱκανῶς
θερμαινόντων τε καὶ ξηραινόντων ἐστίν· ἐπιπαττομένη γοῦν τὰ ἐν 20
37 κεφαλῇ τραύματα κολλᾷ. Ἀναιρεῖ δὲ καὶ ἕλμινθας καὶ ἔμβρυα κτεί-
38-39 νει τε καὶ ἐκβάλλει. Ὑπάρχει δὲ αὐτῇ καὶ τὸ ῥυπτικόν. — Σμύρ-
νιον θερμὸν καὶ ξηρὸν σφοδρῶς ἐστι καὶ οὐρητικὸν, καὶ ἐμμήνων
40 ἀγωγόν. — Στοιβῆς ὁ καρπὸς καὶ τὰ φύλλα στυπτικὴν ἔχει δύνα-
μιν ἄδηκτον καὶ ξηραίνουσαν ἱκανῶς, διὰ ἧς τὸ μὲν ἀφέψημα αὐ- 25
τῶν καὶ δυσεντερικοῖς ἐνίεται καὶ ὠσὶ πυορροῦσι, καὶ κολλητικὸν
41 ὑπάρχει μεγάλων τραυμάτων. Ἐναργέστερον δὲ ταῦτα ποιεῖ μετὰ
οἴνου μέλανος αὐστηροῦ· ξηραίνει γὰρ ἰσχυρῶς πάσας τὰς παρὰ
42 φύσιν ὑγρότητας. Τὰ δὲ φύλλα χλωρὰ καταπλασσόμενα δύναμιν

1-3. γάρ..... λεπτομερ. om. F. — 2. τετράποσι Gal.; τέσσαρσι MV. — 4. ὥστε om. F. — 11. τὰς δυσωδίας Gal.; τοὺς δυσώδεις MV; δυσωδίας F. — 14. καὶ τὰ καταμ. F. — 17. ἐπιπασσόμενον MV. — 28. μέλανος om. F.

ἐφεκτικὴν αἱμορῥαγίας ἔχει καὶ τὰς ἐκ πληγῆς δὲ συγχύσεις τῶν ὀφθαλμῶν ὀνίνησι καταπλασσόμενον. — Στύραξ θερμαίνει, μα- 43
λάττει, συμπέττει· διὸ καὶ βῆχας καὶ κατάῤῥους καὶ κορύζας καὶ βράγχους ὀνίνησιν, ἔμμηνά τε προτρέπει πινόμενον καὶ προσλιθέ-
5 μενον. — Σύκα ξηρὰ θερμαίνει μετρίως, ἔχει δέ τι καὶ λεπτομε- 44
ρές· ἐξ ἀμφοῖν οὖν τούτων ἱκανὰ συμπέττειν ἐστὶ τοὺς σκληροὺς τῶν ὄγκων· εὐθὺς δὲ αὐτοὺς καὶ διαφορεῖ. Τὰ δὲ τῶν ἐρινεῶν σῦκα 45
δριμείας ἐστὶ καὶ διαφορητικῆς δυνάμεως· οὕτως δὲ καὶ τῶν ἡμέ-
ρων οἱ ὄλυνθοι. — Σχῖνος ἐξ ὑδατώδους οὐσίας ἀτρέμα θερμῆς καὶ 46
10 γεώδους, ψυχρᾶς οὐ πολλῆς σύγκειται· ξηραίνει μὲν οὖν ἱκανῶς.
Ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψυχρότητα διαφορᾷ μέσος πῶς ἐστιν, 47
ὁμοίαν δὲ ἐν ἅπασιν ἔχει τοῖς ἑαυτοῦ μέρεσιν καὶ στύψιν. Καὶ εἰ 48
χυλὸν δὲ ἐκθλίψαις ἐκ χλωρῶν τῶν φύλλων αὐτοῦ, καὶ οὗτος ὁμοίας ἐστὶ κράσεως, ὅθεν πινόμενος ἰᾶται δυσεντερίας καὶ κοιλιακὰς διαθέ-
15 σεις καὶ [πρὸς] αἵματος πτύσεις καὶ τὰς ἐκ μήτρας αἱμορῥαγίας καὶ προπτώσεις ἕδρας τε καὶ ὑστέρας, ἐπιτήδειός ἐστιν. — Σχοίνου 49
ἄνθος θερμαίνει μετρίως καὶ στύφει μετριώτερον, οὐκ ἀπηλλαγμένον τῆς λεπτομεροῦς φύσεως· διὰ ταῦτα καὶ οὐρητικόν ἐστι καὶ καταμηνίων ἀγωγόν. Ὠφελεῖ δὲ καὶ τὰς κατὰ ἧπαρ καὶ κοιλίαν καὶ στό- 50
20 μαχον φλεγμονάς.

Τ

Τερμίνθου καὶ ὁ φλοιὸς καὶ τὰ φύλλα καὶ ὁ καρπὸς ἔχουσί τι 1
στυπτικὸν, ἀλλὰ καὶ θερμαίνουσιν ἱκανῶς· ξηραίνουσι δὲ ὑγροὶ μὲν ὄντες μετρίως, ξηρανθέντες δὲ ἱκανῶς, καὶ ἔτι μᾶλλον. Ὁ καρ- 2
πὸς ταύτης καὶ οὐρητικός ἐστι καὶ σπληνας ὀνίνησιν. — Τεῦτλον 3
25 λιτρώδους τινὸς μετείληφε δυνάμεως· διὸ ῥύπτει καὶ διαφορεῖ καὶ διὰ ῥινῶν καθαίρει. Ἑψηθὲν δὲ τὸ μὲν λιτρῶδες ἀποτίθεται, γίνεται 4
δὲ ἀφλεγμάντου δυνάμεως ἀτρέμα διαφορητικῆς. Ἰσχυρότερον δὲ εἰς 5
τὸ ῥύπτειν καὶ διαφορεῖν ἐστι τὸ λευκὸν, ὡς τό γε μέλαν, ἔχει τι καὶ στύψεως καὶ μᾶλλον κατὰ τὴν ῥίζαν. — Τῆλις θερμὴ μέν 6

15. [πρός] e Gal.; om. Codd. — 28 29. τι καί om. M. — 29. καὶ κατά M.

ἔστιν ἱκανῶς, ξηρὰ δὲ μετρίως, καὶ διὰ τοῦτο τὰς μὲν ζεούσας
φλεγμονὰς παροξύνει, τὰς δὲ ἥττον θερμὰς, καὶ ὅσαι σκιῤῥωδέ-
7 στεραι, διαφορεῖ. — Τιθύμαλλοι πάντες ἐπικρατοῦσαν μὲν ἔχουσι
τὴν δριμεῖαν καὶ θερμὴν δύναμιν· ὑπάρχει δὲ αὐτοῖς καὶ πικρό-
8 της. Ἰσχυρότατος μὲν ὁ ὀπὸς, ἐφεξῆς δὲ ὁ καρπὸς καὶ τὰ φύλλα, 5
μετέχει δὲ καὶ ἡ ῥίζα τῶν εἰρημένων δυνάμεων, ἀλλὰ οὐκ ἐπίσης·
αὕτη μὲν οὖν ἑψομένη σὺν ὄξει, ὀδόντων ἀλγήματα, καὶ μάλιστα
9 ὅσα βεβρωμένοις αὐτοῖς γίνεται, θεραπεύει. Ὁ δὲ ὀπὸς τὰς τρίχας
ἀφαιρεῖ περιχριόμενος· ἐπεὶ δὲ σφοδρός ἐστιν, ἐλαίῳ μίγνυται·
καὶ εἰ πολλάκις τοῦτο γένοιτο, τελέως αἱ ῥίζαι τῶν τριχῶν ἀπόλ- 10
10 λυνται καυθεῖσαι, καὶ ψιλὸν αὐτῶν γίνεται τὸ σῶμα. Κατὰ δὲ τὴν
αὐτὴν δύναμιν καὶ ἀκροχόρδονας καὶ μυρμηκίας καὶ πτερύγια καὶ
11 θύμους ἀφαιροῦσιν. Ἀπορρύπτουσι δὲ καὶ λειχῆνας καὶ ψώρας. —
12 Τίτανος, ἡ μὲν ἄσβεστος, καίει σφοδρῶς ὡς ἐσχάραν ποιεῖν· σβε-
σθεῖσα δὲ παραχρῆμα μὲν ἐσχαροῖ, καὶ αὐτὴ μετὰ ἡμέραν μίαν ἢ 15
13 δευτέραν· μετὰ δὲ χρόνον, οὐδὲ ὅλως. Θερμαίνει δὲ καὶ διατήκει τὰς
14 σάρκας. Εἰ δὲ ἐκπλυθείη, τὴν μὲν δῆξιν ἐναποτίθεται τῷ ὕδατι καὶ
15 ποιεῖ τὴν καλουμένην κονίαν· ἡ δὲ ἀδηκτως ξηραίνει. Καὶ εἰ δὶς ἢ
καὶ τρὶς ἢ καὶ πλεονάκις πλυθείη, τελέως ἄδηκτος γίνεται, καὶ
16 ξηραίνει γενναίως ἄνευ δήξεως. — Τραγάκανθα παραπλησίαν ἔχει 20
τῷ κόμμει τὴν δύναμιν, ἐμπλαστικήν τέ τινα καὶ δριμυτήτων
17-18 ἀμβλυντικήν. Καὶ δὴ καὶ ὁμοίως ἐκείνῳ ξηραίνει. — Τρίβολος
ψύχει· ἐπικρατεῖ δὲ ἐν μὲν τῷ χερσαίῳ τὸ στύφον καὶ ξηραῖνον, ἐν
19 δὲ τῷ ἐνύδρῳ, τὸ ὑδατῶδες. Ἀμφότεροι δὲ πρὸς τὰς γενέσεις τῶν
20 φλεγμονῶν καὶ ὅλως πρὸς πάσας τὰς ἐπιῤῥοὰς ἁρμόττουσι. Τοῦ δὲ 25
χερσαίου λεπτομερὴς ὁ καρπὸς ὑπάρχων, τοὺς ἐν νεφροῖς λίθους
21 θρύπτει πινόμενος. — Τρύχνου ἢ στρύχνου τὸ ἐδώδιμον καὶ ἐν τοῖς
κήποις φυόμενον ἅπαντες γινώσκουσι καὶ χρῶνται πρὸς ὅσα ψύξαι
τε καὶ στύψαι δέονται.

1. ταῦτα τάς MV. — 8. ὅσα Gal.; — 12. πτερύσεις MV. — 16. τάς om. ὅταν F; om. MV. — 9. δέ om. MV. F.

Υ

Ὑδροπέπερι θερμαίνει μὲν, ἀλλὰ οὐκ εἰς ὅσον πέπερι, καὶ μέν- 1
τοι καὶ χλωρὸν ἔτι τὸ βοτάνιον ἅμα τῷ καρπῷ καταπλασθέν.
Ὑπώπιά τε καὶ τοὺς σκληρυνομένους ὄγκους διαφορεῖ. — Ὑοσκύα- 2-3
μος ἐπιτήδειος πρὸς ἰάσεις, ὁ τὸ σπέρμα καὶ τὸ ἄνθος λευκὸν ἔχων·
ψύχει δὲ σφοδρῶς. — Ὕσσωπον θερμαίνει καὶ ξηραίνει σφοδρῶς· 4
ἔστι δὲ καὶ λεπτομερές.

Φ

Φακοὶ στύφουσι μὲν οὐκ ἰσχυρῶς, θερμότητος δὲ καὶ ψυχρότη- 1
τος ἐν τῷ μέσῳ καθεστήκασι· ξηραίνουσι δὲ ἱκανῶς· αὐτὸ μὲν οὖν
αὐτῶν τὸ σῶμα ξηραίνει τε καὶ ἵστησι τὴν γαστέρα· τὸ δὲ ἀφέ-
ψημα προτρέχει. — Φακὸς ὁ ἐπὶ τῶν τελμάτων, ὑγρᾶς ἱκανῶς καὶ 2
ψυχρᾶς ἐστι κράσεως. — Φοίνικος ὁ καρπὸς καὶ μάλιστα ὁ γλυκὺς 3
οὐκ ὀλίγης μετέχει θερμότητος, οὐ μόνον δὲ ἔξωθεν ἐπιτιθέμενος·
τονοῖ καὶ ξηραίνει καὶ συνάγει καὶ πιλοῖ καὶ πυκνοῖ, ἀλλὰ καὶ ὡς
σιτίον λαμβανόμενος. — Φῦκος ὑγρόν ἐστι καὶ χλωρόν· ἐξαιρού- 4
μενον δὲ τῆς θαλάσσης, ἱκανῶς ψύχει καὶ ξηραίνει καὶ στύφει
μετρίως.

Χ

Χαλβάνη μαλακτικῆς τε καὶ διαφορητικῆς ὑπάρχει δυνάμεως, 1
ξηραίνουσα μὲν ἱκανῶς, θερμαίνουσα δὲ σφοδρῶς.

Ψ

Ψιμμύθιον ἐμπλαστικόν τε καὶ ψυκτικόν ἐστι. Τὸ δέ γε φῦκος, 1-2
τὴν ψύξιν τοῦ ψιμυθίου φυλάττον, λεπτομέρειαν προσείληφεν.

7. μέν] γάρ F. — 17. δυνάμεως om. F.

Ω

1 Ὠὸν τὸ μὲν λευκὸν καὶ λεπτὸν, ᾧ καὶ πρὸς τοὺς ὀφθαλμοὺς χρώμεθα, τῶν ἀδηκτοτάτων ἐστὶ φαρμάκων· χρῆσθαι δὲ τοῖς προσφά-
2-3 τοις. Τῇ κράσει δέ ἐστι ψυχρότερον ὀλίγῳ τοῦ συμμέτρου. Χρηστέον οὖν οὐ μόνον ἐπὶ τῶν ὀφθαλμῶν αὐτῷ, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὅσα τῶν ἀδηκτοτάτων δεῖται φαρμάκων, ὡς τὰ κατὰ ἕδραν 5
4 τε καὶ αἰδοῖον ἕλκη καὶ τὰ κακοήθη πάντα. Ἔστι δὲ καὶ ἡ λέκιθος
5 τῶν ὠῶν ἄδηκτος ἑψηθέντων ἢ ὀπτηθέντων. Ὅλῳ δὲ χρώμεθα μιγνύντες ῥόδινον ἐπὶ τῶν κατὰ βλέφαρα καὶ ὦτα καὶ τιτθοὺς φλεγμονῶν, ὅσαι τε πληγέντων αὐτῶν ἢ καὶ ἄλλως γίνονται, καὶ κατὰ τῶν νευρωδῶν δὲ σωμάτων, οἷον ἀγκῶνος καὶ τῶν κατὰ τοὺς δακτύλους 10 τενόντων, ἢ ἄρθρων ἐν ποσί τε καὶ χερσί· καὶ πρὸς κατάγματα δὲ παραχρῆμα ὠμὸν ἐπιτιθέμενον, ὠφέλιμόν ἐστιν, εἴ τε ἀναλαβὼν ἐρίῳ μαλακῷ, τὸ λευκὸν αὐτοῦ μόνον, εἴ τε καὶ σὺν τῇ λεκίθῳ πᾶν ἀναδεύσας ἐπιθείης· καὶ γὰρ ἐμψύχει μετρίως καὶ ἀδήκτως ξηραίνει. 15

Ch. 2. = *Coll. med.* XIV, 13. Cf. *Syn.* II, 1.

Om. μάκερ et θηλυπτέρεως, p. 501, 1; ὑακίνθου ὁ καρυός, et Σελινουσία, et καὶ, 3; καὶ Σαμία, et λίθος γαλακτίτης, 4.

Ch. 3. Ὅσα θερμαίνει. = *Coll. med.* XIV, 14-15. Cf. *Syn.* II, 2-6 [1].

1 Ἄγνου τὰ φύλλα καὶ τὸ σπέρμα θερμαίνει μετρίως· ἀκαλήφης ὁ καρπὸς καὶ τὰ 20 φύλλα, ἀμύγδαλα τὰ γλυκέα, ἀναγαλλίδες ἀμφότεραι, ἀλόη, ἄνθεμις ἢ καὶ χαμαίμηλον, φακὴ, ἀψίνθιον· θερμότερος δὲ ὁ χυλός· βάτων ὁ πέπειρος καρπὸς, γλυκυσίδης

[1] Nous avons dû reproduire la première partie de ce troisième chapitre, attendu que les chapitres 14 et 15 de la *Coll. med.* y sont mélangés, comme on le voit par les références ci-dessous indiquées, que les diverses parties de ces chapitres n'ont pas même conservé leur ordre régulier, qu'enfin il y a de notables et nombreuses différences dans les passages parallèles; par conséquent le lecteur aurait eu beaucoup de peine à se retrouver au moyen d'une simple concordance.

Ch. 3; l. 20-21. Ἄγνου..... ἀμφότεραι. *Coll. med.* XIV, 14, p. 501. — 21-22. ἀλόη... χυλός, 15, p. 506, sauf φακή qui appartient à 14, p. 501. — 22-p. 642, l. 1. βάτων..... κράμβη, 14, p. 501.

ἡ ῥίζα, ἐλαίας καρπὸς ὁ πέπειρος, ζύμη, κράμβη, λάδανον, λινόσπερμον, μαλαβάθρου τὸ φύλλον, νάρδου σταχυς· ἀσθενεστέρα δὲ ἡ Κελτική· οἶνος γλεύκινος, ὄροβος, πυρὸς ἔξωθεν ἐπιτιθέμενος· ῥητῖναι πᾶσαι· ἡ δὲ πευκίνη πλέον τῆς τερμινθίνης, καὶ ταύτης ἔτι μᾶλλον ἡ στροβιλίνη· μέσαι δὲ αὐτῶν εἰσιν ἡ πιτυΐνη τε καὶ ἡ
5 ἐλατίνη· δριμείας δέ ἐστιν ἡ κυπαρισσίνη δυνάμεως· σήσαμον, σχοίνου ἄνθος, φοινίκων ὁ καρπὸς, καὶ μᾶλλον ὁ γλυκύς· ἀμπέλου λευκῆς τῆς καὶ βρυωνίας ἡ ῥίζα, ἀκάνθης λευκῆς ἡ ῥίζα, ἀριστολοχίαι, ἀσφοδέλου αἱ ῥίζαι καὶ μᾶλλον καυθεισῶν ἡ τέφρα· δαῦκος ὁ καὶ σταφυλῖνος· χαμαιδάφνη, δρακόντων ἡ ῥίζα, μᾶλλον τῆς τοῦ ἄρου· ἔλαιον γλυκὺ παλαιὸν, ἐλενίου τῆς πόας ἡ ῥίζα, ἐρέβινθοι, ἔρπυλλον, ἰξὸς,
10 λιγυστικὸν, νάρθηκος σπέρμα, σαγάπηνον, σατύριον, σέλινον, σίνων, στύραξ, σάρκες ἐχιδνῶν, στέαρ, πιμελὴ, σίελον. — Ἱκανῶς δὲ θερμαίνει γλήχων, δάφνης τὰ 2
φύλλα, καὶ μᾶλλον ὁ καρπός· ἧττον δὲ ὁ φλοιὸς τῆς ῥίζης· δίκταμνον ὁμοίως γλήχωνι· ἐλελίσφακος, ἐρύσιμον, ἔρια κεκαυμένα, ζιγγίβερι, καρδάμωμον, ὀπὸς, καὶ πάντων μᾶλλον ὁ Κυρηναϊκὸς, σίλφιον, τρίχες κεκαυμέναι, ἅλες οἱ χαῦνοι μᾶλλον τῶν
15 ἄλλων, αἷμα, χολή.

Ch. 3 (suite). = *Coll. med.* XIV, 16.

Om. ἐπιτεταμένης, p. 506, 9, et p. 507, 5; συμπληρ. p. 507, 4; πληρουμένης, p. 507, 9; om. κάλαμος ἀρωμ. p. 506, 10-11; λυχνὶς..... σπέρμα, p. 506, 11-507, 1; donne μελίοινος au lieu de μέλι, μυῤῥίς, p. 507, 1; om. ἔνιοι..... οἶνος,
20 1-2; ἡ ῥίζα..... μᾶλλον, 2; συμπεπληρ. πολύκνημον, 3; συμπληρουμένης..... ἐπιτεταμένης, 4-5; σισάρου ἡ ῥίζα, 6; τεύκριον, 8.

Ch. 3 (suite). = *Coll med.* — XIV, 17.

Om. ἀρχομένης, p. 507, 10; ἀσθενέστερα..... φύλλα, 11; κινάμωμον, κλινοπ. p. 508, 2; λεοντοπετάλου..... λευκάς, 5; donne ἥμερον au lieu de ἄγριον, 6; om.
25 ἡ ἄρμαλα..... ὄρειον, 6-7; ἀρχομένης, 7 et 13; ὀνωνίδος ὁ φλ. 8; παρωνυχία, 8-9; πήγανου..... ξηρὸν, 9; ἡ ἀγρία..... δρασικ. 10; σησαμοειδὲς..... σκορπ. 11; στάχυς..... ῥίζα. 12; χαμαιλεύκη..... πληρουμένης, 14.

Ch. 3 (suite). = *Coll. med.* XIV, 18.

Om. ἀμπελόπρασον et ajoute θαψία avant κεδρίας, p. 509, 1; om. κληματίδος
30 τὰ φ. ἀρχομ. 1-2; λεπίδιον, 2; τὸ..... ὀφιοσκ. 3; χελιδόνιον..... ἀρχομένης, 5.

Ch. 4. = *Coll. med.* XIV, 19-22. Cf. *Syn.* II, 7-11.

Om. καταπλ. μετρίως, p. 509, 7; αὐστηροὶ..... ἀκρέμ. 7-8; donne ἀνδράφαξυς

1-3. λάδανον — ἐπιτιθ. 15, p. 506. — 3-6. ῥητῖναι.... γλυκύς, 14, p. 502. — 6. ἀμπέλου..... ῥίζα, 14, p. 503. — 7. ἀκάνθης λ. ἡ ῥίζα, 15, p. 506. — 7-9. ἀριστολοχίαι..... παλαιόν, 14. p. 503. — 9-10. ἐλενίου..... στύραξ, 14, p. 504. — 10-11. σάρκες..... σίελον, 14, p. 505. — 11-14. γλήχων... κεκαυμέναι, 15, p. 502-3. — 14-15. ἅλες..... χολή, 14, p. 504.

au lieu de *βουϐώνιον* et ajoute après *σϑύψεως ἀκακία ἄπλυτος*, 9; ajoute *γίγαρτα* après *ϑαλάσσιον*, 11; om. *δορύκνιον.. ..δρασϑηρίῳ*, p. 509, 11-510, 1; *ἔλαιον... μετρίως*, p. 510, 2-3; donne *ϑρίδαξ* au lieu de *ἐπιμήδιον μετρίως*, 4-5; om. *κώνειον ἄκρως*, 6; après *πετρῶν* ajoute *κέγχρος, κριθαί*, 6; om. *μήκωνες..... ὀπός*, 6-7; donne *ἄκρατα* au lieu de *εὔκρατα*, 8-9; ajoute *πλάτανος* avant *κιτρίου*, 9; om. *μύκητες..... ἱκανῶς*, 9-10; ajoute *ῥάμνος* après *μετρίως*, 10; om. *σιδηρῖτις.... σϑρατιώτης*, 11-12; ajoute *σέρις* avant *τρίϐολοι*, 12; om. *ἀλλὰ..... γεώδη*, 12-13; om. *ὁ δὲ σχίσϑος ἥτλον*, p. 511, 2. — Les mots ajoutés dans *Ad Eunap.* constituent le chapitre 20 dans *Coll. med.*; seulement *Ad Eunap.* omet *ἥν..... σέρεως*, p. 511, 8-9.

Ch. 4 (suite). = *Coll. med.* XIV, 21.

Om. *παραπλήσια..... πληρουμένης*, p. 511, 12-512, 2.

Ch. 4 (suite). = *Coll. med.* XIV, 22.

Om. *πολύγονον..... φλοιός*, p. 512, 5-7; *ὑπήκοον..... μήκωνος*, p. 512, 8-9.

Ch. 5. *Ὅσα ξηραίνει.* = *Coll. med.* XIV, 23-27. Cf. *Syn.* II, 13-17 [1].

1 *Ξηραίνει δὲ μετρίως ἀγρώσϑεως ἡ ῥίζα, ἀδίαυτον, ἀείζωα ἀμφότερα, αἰγείρου τὰ ἄνθη καὶ ἡ ῥητίνη, ἀκάνθης λευκῆς ἡ ῥίζα, ἀκτῆ ἥ τε δενδρώδης καὶ ἡ χαμαιάκτη, ἀμπέλου λευκῆς τῆς καὶ βρυωνίας ἡ ῥίζα· ἀπαρίνη, ἄπιοι καταπλασσόμεναι, μᾶλλον δὲ ἀχράδες· ἀνθεμὶς ἡ χαμαίμηλον, ἄρον, ἀρτεμισίαι ἀμφότεραι, κριθαὶ μᾶλλον τοῦ ἀλεύρου τῶν κυάμων τοῦ χωρὶς τῶν λεμμάτων· τὰ δὲ ἄλφιτα καὶ τῶν κριθῶν πλέον· κρόκος, λιϐανωτὸς, μάραθρον, οἶνος γλευκίνος, ἀσπάραγος, μυακάνθινος, ἀσπάλαϑος, βολϐὸς ἐπιπλασσόμενος ἔλυμος [ἡ] καὶ μελίνη, καταπλασσομένη, ἴσατις, κόμμι, κράμϐη ἐσϑιομένη τε καὶ ἔξωϑεν ἐπιτιϑεμένη, κρίνου τὰ φύλλα καὶ ἡ ῥίζα, καὶ ἡ ϑηλύπτερις, τὸ ἀπὸ τοῦ σίτου ἄμυλον, ῥητῖναι πᾶσαι, ὑπερικὸν, λιϑάργυρος, ὄστρακον, μᾶλλον δὲ τὸ ἐκ τῶν κριϐάνων· πυτία, ῥύπος, σϑέαρ ταύρειον τῶν ἄλλων μᾶλλον· ὠοῦ λέκιϑος ὀπτηϑεῖσα, σέρεως πάντα τὰ εἴδη· σικύου πέπονος τὸ σπέρμα καὶ*
2 *ἡ ῥίζα ξηρανϑεῖσα, τῆλις. — Ἱκανῶς δὲ ξηραίνει ἄγνου τὰ φύλλα καὶ τὸ σπέρμα· αἶρα, ἀμάρακον, ἀσπάλαϑος, ἀμόργη, ἄνηϑον, ἀρνόγλωσσον καὶ ὁ καρπὸς αὐτοῦ, [ὀπο]ϐάλσαμον, γίγαρτα, ἐλαφόϐοσκος, κέγχρος, ἀριστολοχία καὶ μᾶλλον ἡ στρογγύλη· ἀσφοδέλου ἡ ῥίζα, καὶ μᾶλλον καυϑείσης ἡ τέφρα· ἀφάκη μᾶλλον φακῆς·*

[1] Mêmes remarques que pour le troisième chapitre.

Ch. 5; 1, 16-19. *Ξηραίνει..... ἀχράδες. Coll. med.* 23, p. 512-13. — 19-21. *ἀνθεμὶς..... γλευκίνος*, 25, p. 520. — 21-22. *ἀσπάρ. μυακ. ἀσπάλ.* 23, p. 513. — 22-23. *βολϐὸς..... κόμμι· κράμϐη... ῥίζα*, 23, p. 514 et 515. — 23-26. *καὶ ἡ ϑηλ... ὀπτηϑεῖσα*, 23. p. 516-17. — 26-27. *σέρεως..... τῆλις*, 25, p. 520. — 27. *ἄγνου..... σπέρμα*, 23, p. 512. — 28. *αἶρα..... ἀμόργη*, 26, p. 520. — 28-29. *ἄνηϑον..... κέγχρος*, 26, p. 521. — 29-30. *ἀριστολοχία... τέφρα*, 23, p. 513. — 30. *ἀφάκη μ φακῆς*, 23, p. 514.

λιβανωτοῦ φλοιὸς, λύκιον, μαλαβάθρου φύλλα, μασλίχη Χία, ἡ δὲ Αἰγυπλία μᾶλλον· μέλι, κιτρίου ὁ φλοιὸς καὶ τὸ σπέρμα καὶ τοῦ δένδρου τὰ φύλλα, μήου αἱ ῥίζαι, νάρδου σλάχυς, νάρδος Κελτική, οἶνος, ὄροβος, ὀποπάναξ, πίσσα, ῥαφανὶς, σκολύμου ἡ ῥίζα, σμύρνα, σχῖνος, τερμίνθου ὁ φλοιὸς καὶ τὰ φύλλα καὶ ὁ καρπὸς καὶ μάλισλα
5 ξηρανθέντα· φακοί, φῦκος χλωρὸν, ἔτι καὶ ὑγρὸν ἐξαιρούμενον τῆς θαλάσσης· χαλβάνη. — Σφοδρῶς δὲ ξηραίνει ἀβρότονον καὶ μᾶλλον τὸ καυθέν· ἀκακία, ἄκο- 3
ρον, ἁλόη, ἄμμι, ἄνηθον καυθὲν, ἄννησον, ἄρκευθος, ἀσάρου ῥίζα, ἀσφοδέλου ἡ ῥίζα καὶ μᾶλλον καυθείσης ἡ τέφρα· ἀψίνθιον, βράθυ, βαλαύσλιον, τῶν βατίνων ὁ ἄωρος καρπὸς, ξηρανθεὶς δὲ μᾶλλον· ὁμοίως καὶ τὸ ἄνθος· παιωνίας ἡ ῥίζα, δάφνης
10 τὰ φύλλα, καὶ μᾶλλον ὁ καρπὸς, ἧτλον δὲ ὁ φλοιὸς τῆς ῥίζης· δρυὸς ἅπαντα τὰ μόρια καὶ μᾶλλον φηγοῦ καὶ πρίνου· ἐλλέβορος ἑκάτερος, ἐπίθυμον, θῦμα, ἰτέας τοῦ φλοιοῦ ἡ τέφρα, καλαμίνθη, καλάμου φραγμίτου ὁ φλοιὸς καυθεὶς, καρὼ, κασία, κέρδροι ἀμφότεροι, κόνυζα ἡ μείζων καὶ ἡ μικροτέρα· ἡ γὰρ δυσωδεσλέρα καὶ ἐν ὑγροῖς χωρίοις γινομένη ἀσθενεσλέρα· λευκακάνθου ἡ ῥίζα, λιβανωτοῦ αἴθαλος, με-
15 λάνθιον, κιτρίου τὸ ὑπὸ τὸ σπέρμα τὸ ὀξύ· οἶνος ὁ ἱκανῶς παλαιὸς, ὄξος ὅταν ἰσχυρὸν ὑπάρχῃ, νυμφαίας ἡ ῥίζα, ἡ δὲ λευκὴν ἔχουσα ῥίζαν, σφοδρότερον· ὀρίγανοι πᾶσαι, πάπυρος καυθεῖσα, ἧτλον δὲ τῆς τέφρας τοῦ χάρτου· πενταφύλλου ἡ ῥίζα, πετροσέλινον, σμύρνιον, πευκεδάνου ἡ ῥίζα, ὁ δὲ ὀπὸς μᾶλλον· πήγανον ἥμερον, πόλιον τὸ μικρότερον, μελισσόφυλλον, πράσιον, ῥοῦς, σάμψυχον, σλοιβῆς ὁ καρ-
20 πὸς καὶ τὰ φύλλα, τρίφυλλον, οἱ δὲ ἀσφάλτιον· ὕσσωπον, χαμαίδρυς, χαμαιλέοντος ἑκατέρου ἡ ῥίζα, χαμαίπιτυς, ἅλες, [ἀφρο]νίτρα, γύψος, καυθεῖσα δὲ μᾶλλον· καδμεῖαι πᾶσαι καὶ πάντα τὰ μεταλλικὰ καὶ λιθώδη, σκωρία πᾶσα, ἡ δὲ τοῦ σιδήρου μάλισλα· κόπρος πᾶσα, ἡ δὲ τῶν χηνῶν καὶ τῶν ἱεράκων ἄχρησλός ἐσλι διὰ δριμύτητα, καὶ ἡ τῶν ἀετῶν· σάρκες ἐχιδνῶν, σὰρξ κοχλίων, κεφαλαὶ ταριχηρῶν μαινίδων κε-
25 καυμέναι, κέρας ἐλάφου καὶ αἰγὸς κεκαυμένα, κασλόριον, ὀσλᾶ κεκαυμένα· δέρμα παλαιὸν ἀπὸ τῶν κατλυμάτων καυθὲν, ὀσλρέων καὶ πορφύρων τὸ ὀσλρακον καυθὲν, σηπίας ὀσλρακον, ἔρια κεκαυμένα, τρίχες κεκαυμέναι, καρκίνων ἡ τέφρα, γάρος, ἅλμη τῶν ταριχηρῶν ἰχθύων. — Σφοδρότατα δὲ ξηραίνει, κεδρέας τὸ ἔλαιον, κονία· 4
ξηραντικωτάτη καὶ ῥυπλικωτάτη πασῶν ἐσλιν ἥ τε ἐκ τῆς συκίνης τέφρας, καὶ ἡ τῆς
30 τῶν τιθυμάλλων, καὶ σχεδὸν ἤδη τῆς καυσλικῆς δυνάμεως· κράμβης οἱ καυλοὶ καυθέντες ἰσχυρῶς ξηραίνουσαν ποιοῦσι τέφραν ὡς ἤδη τι καὶ καυσλικῆς μετέχειν δυνάμεως· νᾶπυ, πήγανον ἄγριον, σκόροδον.

1-5. λιβανωτοῦ... φακοί, 26, p. 521. — 5-6. φῦκος..... χαλβάνη, 26, p. 522. — 6-7. ἀβρότονον... ῥίζα, 27, p. 522. — 7-8. ἀσφοδέλου..... τέφρα, 23, p. 513. — 8. ἀψίνθιον, βράθυ, 27, p. 522. — 8-11. βαλαύσλιον..... πρίνου, 23, p. 514. — 11. ἐλλέβορος..... θῦμα, 27. p. 522. — 11-12. ἰτλέας..... τέφρα, 23, p. 514. — 12-16. καλαμινθη..... ὑπάρχη, 27, p. 522. — 16. νυμφαίας..... σφοδρότερον, 23, p. 516. — 16-17. ὀρίγανοι πᾶσαι, 27, p. 522. — 17. πάπυρος... χάρτου, 23, p. 516. — 17-21. πενταφύλλου..... χαμαίπιτυς, 27. p. 522-523. — 21-22. ἅλες... λιθώδη, 23, p. 516. — 22-28. σκωρία..... ἰχθύων, 23, p. 517. — 28. κεδρέας τὸ ἔλαιον, 28, p. 523. — 28-32. κονία..... δυνάμεως, 23, p. 514-515. — 32. νᾶπυ..... σκόροδον, 28, p. 523.

Ch. 6. = *Coll. med.* XIV, 24. Cf. *Syn.* II, 12.

Om. *ἐρείκη καὶ διαφορεῖ* et *ἀδήκτως*, p. 518, 4; *θαλίηκτρον..... ἄγριος*, 5-6; *Καγκάνου..... μετρίως*, 10-11; ajoute *κάρυα* avant *καὶ τά*, 12, et donne *παραπλησίας ἐστὶ δυνάμεως*, au lieu de *παραπλήσια..... μεγάλοις*, p. 518, 12-p. 519, 1; om. *κόκκος βαφ.* p. 519, 3; *μετὰ..... βλαστοί*, 6-7; *νευράς*, 7; *πάνυ· παρωνυχία*, 8; *τίτανος πλυθεῖσα*, 10; *φοίνικος..... φιλεταίριος*, 10-11; *λίθος..... πέτρα*, 519, 13-520, 1; *ψωρικὸν..... χαλκίτεως*, p. 520, 6-7.

Ch. 7 (*Ὅσα ὑγραίνει*). = *Coll. med.* XIV, 29-30. Cf. *Syn.* II, 19-20.

Ajoute *Ὑγραίνει δὲ μετρίως* avant *Ἀλσίνη*, p. 523, 9; om. *γλαῦξ ἡ πόα*, 9; *πολύγαλον*, p. 525, 1; *σατύριον, στρατιώτης*, 1-2.

Ch. 7 (suite). = *Coll med.* XIV, 30.

Ch. 8. — *Coll. med.* XIV; 31. Cf. *Syn.* II, 21.

Om. *βήχων..... ὁμοίως*, p. 524, 9; *δορύκνιον... μετρίως*, 8-9; *πολύγονον... σιδηρῖτις*, 11; *σόγχος..... ἔνυδρος*, 12; *ὑπήκοον*, 13.

Ch. 9. = *Coll. med.* XIV, 32. Cf. *Syn.* II, 18.

Ch. 10. = *Coll. med.* XIV, 35. Cf. *Syn.* II, 24.

Ch. 11. *Coll. med.* XIV, 36. Cf. *Syn.* II, 25.

Om. *ὤκιμον ἐπιπλασσόμενον*, p. 532, 9.

Ch. 12. — *Coll. med.* XIV, 37. Cf. *Syn.* II, 26.

Om. *Τὰ... ἐκπυΐσκει*, p. 533, 1-535, 14; donne *Χρησιμώτατόν ἐστιν*, au lieu de *Ἐπιτηδειότατον οὖν ἐστιν*, p. 534, 14; om. *αὐτός* p. 535, 3; *ξηραντικώτερον... ἐστί*, 4-5; donne *καί* au lieu de *ἐπὶ τῶν*, 6, et *θερμαῖς καὶ ζεούσαις*, *ibid.*; om. *χόνδρος... πυρίνου*, 10-13; *τὸ μὲν... Οὕτως οὐκ*, p. 536; 1-4; *ὅσα... ὑγρά*, 5-6; *Ἐκπυΐσκει δέ*, 8; *τό τε..... ῥαφ. καί*, 11. Finit avec le mot *Σικυώνιον*, 12.

Ch. 13 (*Ὅσα μαλάττει*). — *Coll. med.* XIV, 38. Cf. *Syn.* II, 27.

Om. *Τὰ δε... δήπου καί*, p 538, 5-539, 4; commence ainsi : *Τῶν μαλακτικῶν φαρμάκων ἐστὶ τότε αἴγειον στέαρ καὶ τὸ τῆς ἀλεκτ.* 4-5; donne *διαφορητικώτερα δὲ τούτων καὶ μαλακτικώτερα τὸ λεοντ.* 9-10; ajoute *καὶ τὸ τῆς* avant *ὑαίνης*, et om. *τε καὶ χηνός*, 10; *ὃν..... ὀνομάζ.* 12-13; *τὸ γὰρ... συμμετρίας*, p. 540, 1-6; donne *Καλλίω δέ ἐστιν τῶν εἰρημένων ὅσα νέα· παλαιούμενα γὰρ δριμύτερα γίνεται καὶ ξηραντικώτερα*, 6-7; om. *Τοῦτο... στέαρ*, 7-9; *οὔτε τοῦτο* et donne *τὰ μαλακτικά* au lieu de *οὔτε τἆλλα ὅσα μαλάττει*, 10; om. *καὶ τὸ ὑοσκ.* 12; *τῆς... ἀσθενέστερα*, p. 541, 2-3; ajoute *καί* après *θερμινθίνη*, 4 et om. *τῆς σχινίνης*, 5; om. *ὁμοίως ..... μαστίχη*, 6; *σμύρνα..... χυλός*, 8.

Ch. 14 (Ὅσα ἐκφρακτικὰ καὶ καθαρτικὰ τῶν πόρων). — *Coll. med.* XIX, 47. Cf. *Syn.* II, 23.

Om. Ἀναγύρου..... φλοιός, p. 558, 3; ἀμάραντον, 4; ἀμπελόπρασον, 5; ἀκάνθου.... ῥίζα, 5-6; ἐρέβινθος ἄγριος, 8; ἰσόπυρον, 10; κάρδαμον..... κασία, 10-11; κέστρον..... κυκλάμινος, 11-12; μηδίου φλοιός, p. 559, 1-2; περικλυμένου..... φύλλα, 2; καὶ θηλ.. ἀκρέμονες, 3-5; τεύκριον, 5; καθ... εἴρηται, 6. om. ὅτε... νίτρου, 8; καὶ ἅλες..... ἀβρότονον, et ajoute καὶ ἐλαία, 8-9; ὥσπερ τοῖς..... χυμούς, 12-13; après ῥιζῶν, p. 560, 5, ajoute καὶ τῶν τοιούτων et om. σκολοπενδρίον..... πόας, 5-6.

Ch. 15. — *Coll. med.* XIV, 28. Cf. *Syn.* II, 35.

Om. τὸ δὲ... ἄλυσσον, p. 560, 11; τῆς ἀσθεν. 13; om. ἀνδροσαίμου... φύλλα, p. 561, 1-2, et ajoute πᾶσαι après ἀνεμῶναι, 2; om. ἀνθύλλιοι..... ἀργεμ. 2-3; ἄρκτων..... ὅμοιον, 3; δαμασωνίου..... ἔβενος, 6-7; κίκεως..... κρῆθμον, 11-12; λαμψάνη..... μετρίως, 13-14; καὶ ἡ..... ξηρότερα, p. 562, 1; καρκ..... μετρίως, 1-2; πάνακος..... μετρίως, 3-4; λειοῦντες..... συνισταμένης, 6-8; σησαμ..... μετρίως, 9-10; τραγίου..... ἄνθεσιν, p. 562, 13-563, 1; χαμαισύκη... ῥύπει, p. 563, 2-3; ajoute (Cf. *Simpl. med.* IX, 3, 10, et XII, p. 218-219) les mots ἰὸς μετὰ πολλῆς κηρωτῆς ἀδήκτως ῥύπτει après Κρητινή, l. 3; om. λίθος ὁ ἐξ..... κεραμίων, 5-6.

Ch. 16 (Ὅσα οὐρητικά). — *Coll. med.* XIV, 49. Cf. *Syn.* II, 35.

Om. Ἐπειδὰν..... τοιαῦτα, p. 563, 8-10; ἀμπελόπρασον..... ῥίζα, 12-13; βούνιον ψευδοβ. p. 564, 1; δάφνη..... καὶ ἡ, 2-3; καὶ τὸ..... καλ. 3; κάλαμος ἀρωματικός, 4; καρπήσιον, 5; κροκ. τὸ σπέρμα, 6; λιγυστικοῦ... σπέρμα, 7; αἱ ῥίζαι, μῶλυ, 8; ξύρεως... φλοιός, 8-9; καὶ ὁ καρπός, et καὶ..... καὶ ὁ, 10; σίον, 11; στρύχνου..... καρπός, 13; ἡ ῥίζα, 14; Περικλυμένου..... πλῆθος, p. 565, 4-7; Ὀνοβρυχίδος..... κινεῖ, 10-11; Ὑπὸ, jusqu'à la fin du chapitre.

Ch. 17 (Ὅσα ἀνακαθαίρει τὸν θώρακα καὶ τὸν πνεύμονα). — *Coll. med.* XIX, 51. Cf. *Syn.* II, 39.

Om. Ἐπεὶ..... ἐστί, p. 567, 9-568, 4; τε, 4; χρυσοκόμης..... μελικρ. 6.

Ch. 18 (Ὅσα τοὺς νεφροὺς καθαίρει). — *Coll. med.* XIV, 53. Cf. *Syn.* II, 40.

Om. Καὶ... τέ ἐστι, p. 569, 12-570, 1; τε, 2; ξηροῦ, p. 570, 2; donne παιωνίας au lieu de γλυκυσίδης, 4.

Ch. 19 (Ὅσα ἀραιωτικὰ τοῦ δέρματος). — *Coll. med.* XIV, 54. Cf. *Syn.* II, 41.

Om. Τὰ δὲ..... φύσεως, p. 570, 6-571, 8; ὀνοβρυχὶς..... πάντα, 11-12.

Ch. 20 (Ὅσα ἀνασ7ομοῖ τὰ σ7όματα τῶν ἀγγείων).— *Coll. med.* XIV (suite de 54, depuis κυκλάμινος, p. 571, l. 12). Cf. *Syn.* II, 42.

Om. σησαμοειδοῦς... σπέρμα, 13, puis il donne : μύρου ἰρίνου καὶ ἀμαρακίνου ἡ ὑποσ7άθμη ἥτις καὶ τὰς αἱμοῤῥοΐδας ἀνασ7ομοῖ, au lieu de τῶν μύρων..... ἀνασ7ομοῖ, p. 571, 14-p. 572, 2; om. Τὰ δὲ..... διά, p. 572, 2-6.

Ch. 21 (Ὅσα ὑπνωτικά). — *Coll. med.* XIV (suite de 54, depuis ὕδατος, p. 572, l. 6.) Cf. *Syn.* II, 43.

Au lieu de : ὕδατός τε..... τελμάτων, p. 572, 6-8, on lit : Ὕδωρ..... τελμάτων, comme dans *Syn.* II, 43. — Le reste comme dans *Coll. med.* jusqu'au mot νεκρωτικαί, p. 572, 13.

Ch. 22 (Ὅσα ἑλκτικῆς ἐσ7ιν δυνάμεως). — *Coll. med.* XIV, 59. Cf. *Syn.* II, 49.

Om. Ἑλκτικαὶ.....ἐσ7ιν, p. 579, 7-580, 3; ἐρέϐ. ἄγριος, 4; ξύρεως..... ἄνωθεν, 5-6; ϖυκνοκόμου..... φύλλα, 7; τῆς..... διαφορά, 8-9, et donne ἡ δὲ ϖερισ7ερᾶς ἱκανῶς ἐσ7ιν ἑλκτική (l. 9); om. τὸ δὲ..... τοῦτο, p. 580, 9-581, 2; ἑλκτικῆς ἐστι δυνάμ. 581, 2; καὶ εἰ..... τούτοις, 3; τραγίου... φόρμιον, 6-7; κόπρος... θερμότητα, 7-11.

Ch. 23 (Ὅσα διαφορεῖ). — *Coll. med.* XIV, 60. Cf. *Syn.* II, 50.

Om. Πλησίον..... τις, p. 582, 3-8; ἀγήρατον et αἰγίλωψ, 8; ἀκάνθου τὰ φύλλα, 9; ἡ βοταν. ἄλυσσον, 10; ἀναγύρου..... ἀνδρόσακες, 10-12; κυνοκράμϐη... ἀργεμώνη, 582, 12-p. 583, 1; δαῦκος... αὐτῆς, 5-6; κίκινον... κέδριον, p. 583, 8-9; κίκεως..... φύλλα, 10-11; κροκοδειλίου..... κυκλάμινος, 12: λεοντοπετάλου... καρπός, 584, 2; μαλάχη..... ἀναδενδρ. 3-4; ξανθίου..... ἄνωθεν, 7-9; ὀνοϐρυχίς, 9; ϖαρωνυχία..... ὀπός, 11; ϖ7αρμική..... φύλλα, 12-13; καὶ..... ῥαφανίς, p. 585, 2; donne δαδίνη, au lieu de λάριξ, 3, et om. Αἰγ. μασ7ίχη, 3; om. σίον σισύμϐριον, 5-6, et donne λιπαρώτεραι au lieu de δριμύτεραι, 6; om. τραγίου..... δάκρυον, 8-9; κύανος..... χρυσοκόλλα, 12; donne ϖᾶσα au lieu de ϖάνυ, p. 586, 1, et om. καὶ..... βόειον, 5.

ΒΙΒΛΙΟΝ Γ'

[ΠΡΟΟΙΜΙΟΝ.]

Ὁ μὲν οὖν πρῶτος τῆς διδασκαλίας εἴρηται τρόπος, νῦν δὲ ὁ 1
δεύτερος λεχθήσεται τῶν παρὰ φύσιν διαθέσεων τὰς εὐπορίστους
ἰάσεις ἐξηγούμενος, τῶν τε ἐσχάτως ὀξέων, ἐπὶ ὧν ἀναμένειν τὸν
ἰατρὸν οὐκ ἀσφαλὲς, καὶ τῶν εὐμεταχειρίστων καὶ ἄνευ τεχνίτου
5 τὴν ἐπανόρθωσιν δεχομένων.

Ch. 1. = *Syn.* VI, 24.

Om. κοινά τε..... καὶ p. 298, 4-5; τὰ δὲ ..... κράσεως, 299, 12-13.

β'. Ἐφημέρων πυρετῶν ἰάσεις.

Οἱ μὲν πλείους τῶν πυρετοῖς ἁλισκομένων, τῆς τοῦ ἰατροῦ 1
παρουσίας χρήζουσιν· εἰσὶ δὲ οἳ δύνανται καὶ ἄνευ τοῦ ἰατροῦ

LIVRE III.

Préambule.

Maintenant que nous avons fait connaître la première méthode d'en- 1
visager les moyens de traitement faciles à se procurer (livre II, voy. la fin de la *Préface* à Eunape), nous passons à la seconde, c'est-à-dire à l'emploi de ces moyens eu égard aux états contre nature et aux maladies franchement aiguës, pour lesquelles il n'est pas prudent d'attendre l'arrivée du médecin, enfin aux affections dont il est aisé de triompher et qu'on guérit sans le secours d'un homme de l'art.

2. DU TRAITEMENT DES FIÈVRES ÉPHÉMÈRES.

La plus grande partie de ceux qui sont pris de fièvre ont besoin du 1
médecin; cependant il en est qui peuvent guérir sans son secours.

Ch. 2; l. 7. δέ] μέν Codd.

2 βοηθείας τυγχάνειν. Ἐπὶ γοῦν τῶν ἐφημέρων, τοὺς μὲν διὰ κόπον πυρέξαντας, ἐλαίῳ δαψιλῷ μαλακῶς ἀνατρίβειν χρὴ, καὶ λούειν· τοὺς δὲ διὰ ξηρότητα τρίβειν μὲν ἔλαττον, λούειν δὲ πλεονάκις· τοὺς δὲ διὰ λύπας καὶ φροντίδας καὶ ἀγρυπνίας ὀλιγάκις μὲν λούειν, πλέονι δὲ ἐλαίῳ καὶ χλιαρῷ σλύψιν οὐδὲ ἡντινοῦν ἔχοντι μὴ ἐπὶ 5
3 πολὺ τρίβειν. Τοὺς δὲ διὰ ἔγκαυσιν, κατὰ ἀρχὰς μὲν τοῖς ψύχουσιν ἰᾶσθαι, μετὰ τοῦ πλείονα λούειν, μὴ πολλῷ δὲ τῷ ἐλαίῳ, μηδὲ
4 ἐπὶ πολὺ τρίβειν. Ῥόδινον δὲ ἔσλω τὸ ψῦχον, καὶ ὀμφάκινον ἔλαιον χωρὶς ἁλῶν ἐσκευασμένον· ψύχειν δὲ αὐτὰ θέντες ἐν ὕδατι ψυχρῷ ἢ χιόνι περιπλάτλοντας, καὶ διαβρέχειν τὴν κεφαλὴν κατὰ τοῦ 10 βρέγματος, ἐξ ὕψους καταχέοντας διὰ ἐρίου τὸ ψυχθὲν ἔλαιον·
5 ταῦτα δὲ μέχρι παρακμῆς ποιήσαντας, ἐπὶ τὸ λουτρὸν ἄγειν. Καὶ τοὺς διὰ ψύξιν δὲ πυρέξαντας, ἐν ταῖς παρακμαῖς ἐπὶ τὸ λουτρὸν ἄγειν· κατάῤῥου δὲ παρακολουθήσαντος, δεῖ μὲν ψύχειν μὴ λούειν
6 δὲ, πρὶν πέψιν γενέσθαι. Τοὺς δὲ διὰ ἔγκαυσιν κἂν ᾖ κατάῤῥους, 15

2 En conséquence, ceux qui, par suite de lassitude, sont pris d'une fièvre éphémère doivent être doucement frottés d'huile en grande quantité et mis au bain; si la fièvre tient à la sécheresse, on insistera moins sur les frictions, mais plus sur les bains; si cette fièvre provient de soucis, de chagrins et de veilles, on doit employer rarement les bains, mais on fera des frictions peu prolongées avec de l'huile en abondance, tiède, de qua-
3 lité supérieure, et qui n'ait aucune astringence. Quand la fièvre provient de l'insolation, on prescrit, au début, les réfrigérants et en même temps
4 des bains fréquents et des frictions peu prolongées, avec peu d'huile. Comme réfrigérant on fera usage d'huile aux roses froide, ou d'huile d'olives vertes, huiles préparées sans sel; on refroidit ces substances en trempant dans l'eau froide le vase qui les contient, ou en l'entourant de neige; on pratique des affusions sur la tête à la région du sinciput en versant de haut l'huile froide à travers une pièce de laine; on continuera jusqu'à la fin de l'accès,
5 après quoi on mènera le malade au bain. Celui qui est pris de fièvre par suite de froid sera mis au bain vers le déclin de l'accès; si la fièvre est compliquée de fluxion, on doit, à la vérité, refroidir, mais non user
6 des bains avant l'achèvement de la coction. Dans la fièvre par échauffe-

9. ἐσκευασμένον e *Syn.*; ἐσκευασθέντων Codd.

λουστέον. Ἐπὶ δὲ τοῖς λουτροῖς τὴν κεφαλὴν ἑκατέρων ἐπιβρέ- 7
χειν τοῖς αὐτοῖς οἷς καταρχάς· ψύχουσι μὲν ἐπὶ τῶν διὰ θερμό-
τητα παθόντων, θερμαίνουσι δὲ, ἐπὶ τῶν διὰ ψύξιν. Σύμμετρα δὲ 8
ἔστω τὰ θερμαίνοντα, οἷον τό τε ἴρινον καὶ νάρδινον μύρον· χρῆ-
5 σθαι δὲ αὐτοῖς ἐν ταῖς παρακμαῖς μετὰ τὸ λουτρόν. Τοὺς δὲ διὰ 9
στέγνωσιν πυρέξαντας ὠφελεῖ λουτρὸν γλυκέων ὑδάτων, καὶ τρί-
ψεις, καὶ γυμνάσια ἀραιωτικὰ καὶ δίαιτα γλυκύχυμος· τὰ δὲ στύ-
φοντα καὶ ψύχοντα, καὶ τὰ ἐμπλάττοντα τοὺς πόρους καὶ τὸ δέρμα
ὑπερξηραίνοντα βλάπτει σφοδρῶς. Τοὺς δὲ διὰ ἀσιτίαν, τοῦ πρώτου 10
10 παροξυσμοῦ παρακμάσαντος, εἰσάγοντας εἰς τὸ βαλανεῖον, δαψι-
λὲς ἔλαιον χλιαρὸν καταχέειν καὶ ἀνατρίβειν προσηνῶς, ποιεῖν
τε χρονίζειν ἐν τῷ τῆς θερμῆς ἐμβάσεως ὕδατι. Λουσαμένου δὲ 11
ἀναπαύειν ὡς ἀνακτήσασθαι τὴν δύναμιν, καὶ πάλιν εἰσάγειν εἰς
τὸ βαλανεῖον· εἶτα ἐξελθόντος, μετὰ τὸ πίνειν εὐθὺς ὕδατος, χυ-
15 λὸν διδόναι πτισάνης, καί ποτε καὶ θριδακίνης· εἶτα ὕστερον τῶν

ment, lors même qu'une fluxion se produit, on fera baigner. Dans les 7
deux cas, au sortir du bain, on humectera la tête des malades avec les
mêmes ingrédients qu'avant le bain : avec les refroidissants dans les
fièvres causées par le chaud, avec les réchauffants dans celles qui pro-
viennent du froid. On n'emploiera que des substances qui réchauffent 8
modérément, comme l'huile à l'iris ou l'huile au nard; on en fera usage
après le bain, au déclin de l'accès. Chez ceux dont la fièvre est produite 9
par le resserrement de la peau, il convient de prescrire les bains d'eau
douce, les frictions, les exercices qui raréfient, et un régime qui produit de
bons sucs; les astringents, les refroidissants, ce qui colle les pores et des-
sèche la peau, leur sont fort nuisibles. Ceux qui ont la fièvre par suite de 10
privations d'aliments devront être mis au bain dès le déclin du premier
accès; on fera des affusions avec de l'huile tiède en grande quantité, on
pratiquera des frictions douces, et on les laissera longtemps dans la pis-
cine chaude. Après le bain, le malade se reposera afin de réparer ses 11
forces; puis on le remettra au bain; lorsqu'il en sera sorti et qu'il aura
immédiatement après bu de l'eau, on lui donnera de la crème d'orge, quel-

1. ἐπί e Gal.; ἐν Codd. qui habent ἐπί ante ἑκατέρων. — 12. τῷδε Codd.

12 ἀπαλοσάρκων τινὸς ἰχθύων διὰ ζωμοῦ λευκοῦ γεγονότων. Κοινὴ δὲ πᾶσιν ἁρμότΙει τοῖς εἰρημένοις πυρετοῖς, εὔπεπΙος δίαιτα, μηδαμῶς ἐμφράτΙουσα· τοῖς μὲν ἐγκαυθεῖσι καὶ θυμωθεῖσι μετὰ τοῦ ψύχειν καὶ ὑγραίνειν, τοῖς δὲ ψυχθεῖσι μετὰ τοῦ μετρίως θερμαίνειν, τοῖς δὲ λυπηθεῖσι καὶ φροντίσασι καὶ ἀγρυπνήσασι μετὰ 5
13 τοῦ ὑγραίνειν καὶ ὕπνον ἐπάγειν. Καὶ τοῖς μὲν κοπωθεῖσιν, τροφιμώτερον ἕσΙω τὸ εἶδος τῆς διαίτης, τοῖς δὲ ψυχθεῖσι ἀτροφώτερον,
14 τοῖς δὲ ἄλλοις τὸ μέσον. Οἶνον δὲ διδόναι πᾶσι τοῖς εἰρημένοις, εἰ καὶ μὴ κεφαλὴν ἀλγοῖεν, τὸν ὑδατώδη καὶ λεπΙόν· τοῖς δὲ σΙεγνωθεῖσιν, εἰ μὲν μὴ σφοδρῶς τοῦτο πάθοιεν ἄνευ πληθώρας διδό- 10
15 ναι καὶ τούτοις οἶνον· τοὺς δὲ πάνυ σΙεγνωθέντας μετὰ πληθώρας, κωλύειν προσφέρεσθαι. Καὶ τοῖς θυμωθεῖσι δὲ τοῦ πάθους ἐκτὸς παντελῶς γινομένοις διδόναι· μὴ παυσαμένοις δὲ τελέως, οὐκ
16 ἀσφαλὲς προσφέρειν. Τοὺς δὲ ἐπὶ βουβῶσι πυρέξαντας, λούειν, πρότερον τοῦ ἕλκους πρόνοιαν ποιησαμένους, ἐπὶ ᾧ γέγονεν ὁ 15

quefois de la laitue, et enfin certains poissons à chair molle, préparés à la
12 sauce blanche. Au reste, une nourriture qui arrive facilement à coction et n'obstrue en aucune manière les conduits convient dans toutes ces espèces de fièvres, pourvu qu'on ait soin d'employer, dans la fièvre de chaleur ou de colère, les refroidissants et les humectants; dans la fièvre de froid, les réchauffants modérés; dans la fièvre de chagrins, de soucis ou de veilles,
13 les humectants et les substances qui procurent le sommeil. De même on donnera une nourriture plus substantielle à ceux qui sont fatigués, moins substantielle à ceux qui sont refroidis; pour les autres on gardera
14 un juste milieu. On permettra à tous ces fébricitants, excepté à ceux qui ont mal à la tête, du vin aqueux et ténu; de même à ceux qui ont la fièvre par suite du resserrement de la peau, mais sans plénitude, à moins que le mal ne soit violent, tandis qu'on interdira le vin quand
15 la peau est très-dense avec plénitude. Si la fièvre vient de colère, et que les malades soient tout à fait remis de leur trouble, on peut per-
16 mettre du vin; autrement il n'est pas prudent d'en donner. Pour la fièvre qui survient à un bubon, on prescrira le bain, au déclin de l'accès,

6-7. κοπωθεῖσι ἀτροφώτ. et ψυχθεῖσι τροφιμώτ. Codd. Cf. Gal.

βουβῶν, κατὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ· κωλύειν δὲ αὐτοὺς οἴνου προσφέρεσθαι πρὶν τοὺς βουβῶνας λυθῆναι, καὶ λεπτότερον διαιτᾶν. Ὑπὸ δὲ τοῦ ψυχροῦ πόματος οἱ τοὺς δριμεῖς καὶ καπνώ- 17
δεις χυμοὺς ἀθροίζοντες ὀνίνανται πάντες· ὑγιαίνονταί τε καί τινι
5 τῶν ἐφημέρων πυρετῶν ἀῤῥωστήσαντες, ὅταν ἐν συνηθείᾳ τύχωσιν ὄντες· ὡς ἔν γε τούτῳ τῷ καιρῷ κατάρχεσθαι τοῦ τοιούτου πόμα- τος αὐτοῖς οὐκ ἀσφαλές. Καὶ τρέφειν δέ τινας τούτων κατὰ τὸν 18
πρῶτον παροξυσμὸν ἀναγκαῖον· ἐκχολοῦνται γὰρ ἐπὶ τῶν πικρο- χόλων φύσεων, [καὶ] φρίττειν ἄρχονται· διδοὺς εἰς οἶνον κεκρα-
10 μένον ἄρτου τι προσενέγκασθαι, τήν τε φρίκην εὐθὺς παύσεις, καὶ τὸν πυρετὸν διώξεις. Τῆς φρίκης δὲ παυσαμένης, καὶ τοῦ πυ- 19
ρετοῦ γινομένου, κατὰ μὲν τὸν καιρὸν τοῦτον μηκέτι τρέφειν· παρακμάσαντος δὲ τοῦ παροξυσμοῦ, παραχρῆμα θρέψεις, μὴ περιμείνας τὴν ἀπυρεξίαν· ἐν γὰρ τοῖς αὐχμώδεσιν ἕξεσιν, οὐκ ἂν
15 παύσαιτο σαφῶς ὁ παροξυσμὸς, πρὶν λουτροῖς καὶ ὑγραινούσαις τροφαῖς χρήσασθαι. Κατὰ δὲ τὰς πικροχόλους κράσεις, καὶ ἀπε- 20

après avoir toutefois porté un jugement sur la plaie qui a produit le bubon, mais on ne donnera pas de vin avant la résolution de la tumeur et on recommandera un régime plus sévère. Tous ceux chez qui s'accu- 17
mulent des sucs âcres et fumeux sont soulagés par les boissons froides, s'ils sont accoutumés à ces boissons, ils guérissent en les continuant lorsqu'ils sont pris de quelque espèce de fièvre éphémère; mais il n'est pas prudent, quand on est pris de cette fièvre, de commencer pour la première fois l'usage de l'eau froide pendant la fièvre. Il est quelquefois nécessaire 18
de permettre de la nourriture dans le premier accès de ces fièvres, car l'eau se change en bile quand la constitution est bilieuse, et les malades sont pris de frissons; si alors on donne un peu de pain avec du vin trempé, le frisson cessera aussitôt et la fièvre sera éloignée. Lorsque le frisson a 19
cessé, si la fièvre lui succède, on ne doit point permettre de nourriture; mais, au déclin de l'accès, on donnera de suite à manger, sans attendre la complète apyrexie; en effet, quand l'habitude du corps est comme souillée, l'accès ne cessera pas complétement avant l'usage des bains et d'une nourriture humectante. Chez les individus où abonde la bile amère, en 20

4. ὑγιαίνοντας Codd. — 9. [καί] om. Codd. — Ib. ἄρξονται Codd.

ψίαι πυρετοὺς ἐξάπλουσι διαφθειρομένης τῆς τροφῆς ἐπὶ τὸ κνισσῶδες· κενωθέντων μὲν οὖν τῶν διαφθαρέντων μορίων λούειν καὶ τρέφειν προσήκει κατὰ τὴν παρακμὴν τοῦ πυρετοῦ τῆς γαστρὸς
21 προνοουμένους πρότερον. Ἀμέτρου δὲ γενομένης τῆς κενώσεως καὶ καθαιρουμένης τῆς δυνάμεως, τρέφειν ἄνευ τοῦ λούειν προνοησαμέ- 5
22 νους καὶ νῦν τῶν κατὰ γαστέρα. Ἔτι μὲν οὖν διαχωρούσης τῆς γαστρὸς [διαβρέχειν] διὰ ἐλαίου καὶ ἀψινθίου· δήξεως δὲ τινὸς ἢ πόνου παρακολουθήσαντος, πορφύρας πίλημα θερμὸν καὶ ξηρὸν ἢ βεβρεγμένον ἐν ἐλαίῳ καὶ μύρῳ ναρδίνῳ ἐκπεπιεσμένον σφοδρῶς, ἐπιτιθέναι· τοῦ στομάχου δὲ ἀτονοῦντος, μικτέον τῷ νάρδῳ μαστί- 10
χην λεῖαν καὶ δεύσαντες ὡς γλοιῶδες γενέσθαι, εἶτα βρέξαντες ἐν
23 αὐτῷ τὴν πορφύραν ἐπιτιθέναι. Θερμὰ δὲ προσάγειν πάντα τὰ
24 τοιαῦτα· τὸν γὰρ τόνον ἐκλύειν πέφυκε τὰ χλιαρά. Τῆς γαστρὸς δὲ ἔτι διαχωρούσης, μηλίνῳ προσφάτῳ χρηστέον ἀντὶ τοῦ νάρδου.
25 Χρήσαιτο δὲ ἄν τις καὶ κηρωτῇ τοιαύτῃ· κηροῦ καὶ νάρδου ἴσον, 15

raison de leur nature, les fièvres se produisent aussi par le défaut de coction, les aliments se corrompant en prenant une qualité nidoreuse; en conséquence, lorsqu'on aura évacué les parties corrompues, il conviendra, au déclin de la fièvre, de faire baigner et de nourrir, en tenant
21 compte de l'état de l'estomac. S'il survient une trop grande évacuation alvine et que les forces soient amoindries, on se passera du bain et on donnera de la nourriture, toujours en ayant égard à l'état de l'estomac.
22 Le ventre reste-t-il relâché, on fera des embrocations avec de l'huile et de l'absinthe; s'il survient de la mordication (*tranchées*) ou de la douleur, on appliquera un feutrage d'étoffe de pourpre chaud soit sec soit imbibé d'huile à laquelle on mêle de l'onguent de nard; ce feutrage doit être bien exprimé; si toutefois l'orifice de l'estomac est affaibli, on ajoute au nard du mastic broyé, de sorte que le mélange soit gluant, et on placera
23 sur cette région la pourpre trempée dans ce mélange. Tous ces ingrédients doivent être appliqués chauds, car ce qui est tiède a pour effet de dimi-
24 nuer le ton [au lieu de le relever]. Le ventre étant encore relâché, au
25 lieu de nard, on usera d'huile aux coings récemment préparée. On pourra aussi se servir du cérat suivant : cire et nard, parties égales; aloès et mas-

7. [διαβρέχειν] e Gal.; om. Codd. — 11. γλοιῶδες Gal.; λειῶδες Codd.

ἀλόης δὲ καὶ μασλίχης τὸ ὄγδοον. Θερμῆς δὲ οὔσης τῆς γασλρὸς 26
καὶ νῦν ἀντὶ τοῦ νάρδου τῷ μηλίνῳ χρησλέον. Ἔσλι δὲ καὶ διὰ οἰ- 27
νάνθης καὶ ὑποκύσλιδος καὶ βαλαυσλίων καὶ φοινίκων σαρκὸς, ἐπι-
τήδεια φάρμακα. Τροφὴν δὲ διδόναι, ὑπιούσης μὲν ἔτι τῆς γασλρὸς, 28
5 ἄλφιτα διὰ ὕδατος μὲν, ἐνίοτε δὲ θερμοῦ σφοδρῶς, ἐνίοτε δὲ ἤτοι
διὰ χυλοῦ ῥοιῶν ἢ ἀπίων ἢ μήλων. Μηκέτι δὲ ῥεούσης αὐτῆς, χόν- 29
δρος ἐπιτήδειος παραπλησίως ἠρτυμένος πλισάνῃ καὶ ὄξους ἔχων·
καὶ οἱ πετραῖοι δὲ ἰχθύες ἐν λευκῷ ζωμῷ καὶ τῶν ὀπωρῶν τις τῶν
σλυφουσῶν, μόνη ἢ μετὰ ἄρτου. Ταῦτα δὲ καὶ ἐκρινούσης αὐτῆς 30
10 ἐπιτήδεια· καὶ μετὰ ταῦτα αἰονᾶν τά τε ὑποχόνδρια καὶ σύμπασαν
τὴν γασλέρα. Κινεῖσθαι δὲ ἀρχομένης τῆς γασλρὸς, συνεργεῖν διὰ 31
προσθέτων ἢ διὰ ἐνεμάτων βοηθοῦντας καὶ ταῖς ἄλλαις δήξεσι καὶ
ταῖς ἐμπνευματώσεσιν, εἰ παρεῖεν· ταῖς μὲν οὖν σφοδραῖς δήξεσι
βοηθεῖν, ἔλαιον ἐκχέοντας ἐνωθέντος αὐτῷ χηνείου σλέατος ἢ
15 ἀλεκτορίδος ἢ αἰγὸς ἢ ὑὸς καὶ κηροῦ τι βραχύ· ταῖς δὲ ἐμπνευμα-

tic, un huitième. Si l'estomac est chaud, au lieu de nard on emploiera 26
l'huile aux coings. On se trouvera bien aussi des médicaments qui se font 27
avec la fleur de vigne sauvage, l'hypocystis, la fleur de grenadier et la
chair de dattes. Pour nourriture, le ventre étant encore relâché, on 28
donnera de la bouillie d'alphiton, tantôt avec de l'eau très-chaude,
tantôt avec du jus de grenade, de poires ou de pommes. Lorsque le 29
ventre s'est resserré, il conviendra de prescrire de l'alica préparé comme
l'orge, c'est-à-dire aiguisé avec du vinaigre, des poissons saxatiles à
la sauce blanche et quelques-uns des fruits de saison astringents, soit
seuls, soit avec du pain. Toutefois ce régime convient aussi pendant le 30
flux de ventre; après cela on fomentera les hypocondres et tout le
ventre. Dès que le ventre commencera à s'amollir, on devra aider son 31
action par des applications de suppositoires, des clystères, et remédier
soit aux tranchées soit aux flatuosités, s'il en existe; on traitera les tran-
chées violentes par des clystères d'huile dans laquelle on aura mis de
la graisse d'oie, ou de poule, ou de chèvre, ou de porc, en y mê-
lant un peu de cire; et les flatuosités, par de l'huile dans laquelle au-

2. διά om. M. — 14. ἐνεθέντος ἐν αὐτῷ Codd.

τώσεσιν ἔλαιον συνεψήσας πηγάνου τι καὶ σελίνου σπέρμα καὶ
32 κυμίνου καὶ μαράθρου. Κενωθείσης δὲ τῆς γαστρὸς διδόναι τροφὴν εὐθὺς χωρὶς τῶν στυφόντων.

γ'. Τριταίων γνησίων ἰάσεις.

1 Εὐπορήσεις δὲ ἰαμάτων καὶ ἐπὶ τῶν διαλειπόντων πυρετῶν, ὡς
2 δύνασθαι καὶ χωρὶς ἰατροῦ βοηθεῖν τοῖς κάμνουσι. Ἔστι δὲ ὁ μὲν 5
3 τριταῖος ὀξύτατός τε ἅμα καὶ οὐ κακοήθης. Καὶ ὁ μὲν εἴσω τῶν δώδεκα ὡρῶν παυόμενος, ἀκριβὴς καλεῖται τριταῖος· ὁ δὲ ὑπερβαί-
4 νων ταύτας, οὐκ ἀκριβής. Ὠφελήσεις οὖν τὸν ἀκριβῆ τριταῖον οὕτως· ἐπεὶ τὴν γένεσιν ἔχει χολῆς πλεοναζούσης καὶ κινουμένης, ὑγραίνειν καὶ ψύχειν τὸν κάμνοντα προσήκει, καὶ κενοῦν ἐρεθί- 10 ζοντας τὴν χολὴν διὰ γαστρὸς καὶ διὰ ἐμέτων· ἀλλὰ τοῦτο μὲν καὶ αὐτομάτως συμβαίνει τοῖς ἀκριβέσι τριταίοις· σὺ δὲ καὶ διὰ οὔρων καὶ διὰ ἱδρώτων κένου τὸ χολῶδες, σελίνου τε καὶ ἀνήθου διδοὺς ἀφέψημα πίνειν, καὶ λούειν ἐν ὕδατι θερμῷ καὶ γλυκεῖ· τοῦτο

ront bouilli de la rue, de la graine de céleri, du cumin ou du fenouil.
32 Après l'évacution du ventre, on nourrira le malade en supprimant les astringents.

3. DU TRAITEMENT DE LA FIÈVRE TIERCE LÉGITIME.

1 Dans les fièvres intermittentes, les remèdes ne vous manqueront point
2 à l'aide desquels vous pourrez soulager le malade sans médecin. La
3 fièvre tierce est en même temps très-aiguë et sans malignité. Celle qui ne dure que douze heures est la fièvre tierce vraie; celle qui dure plus
4 longtemps est la fièvre tierce non vraie. Vous traiterez ainsi la première : comme elle est produite par la surabondance de la bile en mouvement, il convient d'humecter et de rafraîchir le malade; on provoquera l'évacuation de la bile par les selles et le vomissement chez ceux que la bile met en éréthisme; cela se produit spontanément dans les tierces vraies; mais vous pouvez aussi évacuer la bile par les urines et les sueurs; pour cela vous ferez boire une décoction de céleri et d'aneth et vous prescrirez des bains d'eau chaude et douce; ce traitement, non-seulement dis-

γὰρ οὐ διαφορεῖ μόνον τὴν χολὴν, ἀλλὰ καὶ τῇ ποιότητι μεγάλως ὠφελεῖ, ψῦχον καὶ ὑγραῖνον τῇ δυνάμει. Λοῦε δὲ χωρὶς νίτρου χρή- 5
σεως, ἔλαιον θερμὸν περιχέων, καὶ οὕτως ἐμβιβάζειν, καὶ ἐγχρο-
νίζειν ἐπιτρέπων ταῖς θερμαῖς ἐμβάσεσιν ἐπὶ ὅσον ἂν προθυμῶν-
5 ται· τοὺς δὲ φιλολούτρους κἂν δεύτερον λούσῃς, ὠφελήσεις. Οἶνον 6
δὲ ἐν ἀρχαῖς μὲν, μηδόλως ἐπιδιδόναι, μετὰ ταῦτα δὲ, λευκὸν καὶ
λεπτὸν καὶ ὑδαρῆ, τέως καὶ ὀλίγον, ὕστερον δὲ τῆς λύσεως ἤδη τοῦ
νοσήματος προσδοκωμένης, καὶ πλείονα. Σιτία δὲ τοῖς ἀκριβέσι 7
τριταίοις ἁρμότει τὰ ψύχοντα καὶ ὑγραίνοντα· λαχάνων μὲν οὖν
10 ἐπιτήδεια βλίτον, ἀτράφαξις, μαλάχη, θριδακίνη καὶ κολοκύνθη·
τῶν δὲ ἄλλων κατὰ ἀρχὰς μὲν, χυλὸς πτισάνης καὶ ῥόφημα τὸ ἐκ
χόνδρου· μετὰ δὲ ταῦτα τῶν ἰχθύων οἱ πετραῖοι καὶ τῶν πτηνῶν
τὰ μαλακόσαρκα, καὶ τῶν μὴ τοιούτων τὰ πτερὰ, καὶ τῶν χοίρων
οἱ πόδες καὶ ἐγκέφαλοι· τῶν δὲ νέων καὶ ἡ σὰρξ δίσεφθος·
15 καὶ ὀπωρῶν δὲ τῶν μὴ δυσπέπτων συγχωρεῖν ἐσθίειν· εἴργειν δὲ
παντὸς θερμοῦ καὶ δριμέος. Τοὺς μὲν οὖν πολλοὺς οὕτω διαι- 8

sipe la bile, mais encore soulage beaucoup par sa vertu rafraîchissante et humectante. Faites prendre le bain sans saupoudrer d'abord les ma- 5
lades de nitre; mais, après avoir pratiqué des affusions d'huile, mettez-les dans la piscine et laissez-les séjourner dans l'eau chaude aussi longtemps qu'ils le voudront; vous agirez même dans l'intérêt de ceux qui se plaisent aux bains en leur permettant d'en prendre deux par jour. Au début on 6
proscrira le vin; plus tard on autorisera ceux qui sont blancs, ténus, aqueux, mais encore en petite quantité; plus tard encore, quand la solution de la maladie paraîtra prochaine, on en donnera davantage. Les 7
aliments rafraîchissants et humectants conviennent aux fièvres tierces vraies : parmi les légumes, la blette, l'arroche, la mauve, la laitue et le concombre; parmi les autres aliments, on choisira, au début, la crème d'orge et la bouillie d'alica, ensuite des poissons saxatiles, des volatiles à chair tendre, et les ailes seulement de ceux qui ont la chair dure; des pieds et des cervelles de cochon, de la chair deux fois cuite des cochons de lait; quant aux fruits, on ne tolérera que ceux qui se digèrent facilement; on écartera les aliments chauds et âcres. Tel sera donc le régime 8

3-4. ἐμβιβάζων καὶ χρονίζων M. — 15. συγχωρῶν Codd.

τήσεις, τοὺς δὲ ἄνευ τρυφῆς ζῶντας, χυλὸν πτισάνης διδοὺς μέχρι κρίσεως.

δ'. Τεταρταίου ἰάσεις.

1 Ὁ δὲ τεταρταῖος μακρότατός τέ ἐστι καὶ ἀκινδυνότατος ὅσον ἐπὶ
2 ἑαυτῷ. Δεῖ δὲ τοὺς κάμνοντας αὐτοὺς κατὰ ἀρχὰς μὲν μήτε ἰσχυροῦ δώσει φαρμάκου συγκινεῖν, μήτε κενοῦν σφοδρῶς, διαιτᾷν δὲ τοῖς ἀφύσοις, καὶ τὴν γαστέρα ὑπομαλάττειν τοῖς συνήθεσιν, μήτε δὲ χοιρείων λαμβανέτωσαν κρεῶν, μήτε ὅλως τῶν γλίσχρων καὶ παχυχύμων ἐδεσμάτων· ἀπεχέσθωσαν δὲ καὶ τῶν ψυχόντων καὶ ὑγραινόντων πάντων· οἴνῳ δὲ λευκῷ καὶ λεπτῷ [καὶ] θερμαίνοντι χρησάσθωσαν, καὶ τῶν πτηνῶν τοῖς μὴ ἐν ἕλεσι καὶ λίμναις διαιτωμένων, καὶ τοῖς εὐπέπτοις καὶ μηδὲν ἔχουσι γλίσχρον τῶν ἰχθύων,
3 καὶ ταρίχει δὲ καὶ νάπυϊ. Καὶ πέπερι δὲ αὐτοὺς ὠφελήσει λεπτὸν
4 καὶ χνοῶδες ἐπιπαττόμενον ὕδατι θερμῷ καὶ πινόμενον. Τρίψεων δὲ καὶ περιπάτων, μὴ εἰργέσθωσαν· λουτροῦ δὲ εἰ δύναιντο παν-

du plus grand nombre; ceux qui ne mènent pas une vie plantureuse vous les nourrirez jusqu'à la crise avec la ptisane.

4. DU TRAITEMENT DE LA FIÈVRE QUARTE.

1 La fièvre quarte est très-longue et très-peu dangereuse de sa nature.
2 Au début on ne donnera pas aux malades de médicaments violents et on ne fera pas de fortes évacuations; dans le régime on évitera les aliments venteux, et on amollira le ventre avec les moyens accoutumés; les malades s'abstiendront de chair de porc, surtout des mets visqueux et qui engendrent un suc épais; ils éviteront aussi tout ce qui refroidit et humecte; ils boiront du vin blanc, ténu et chaud; parmi les volatiles ils écarteront ceux qui vivent dans les étangs et les marais; on donnera des poissons qui se digèrent facilement et n'aient rien de visqueux, du pois-
3 son salé et de la moutarde. Le poivre aussi sera d'un bon effet, si on le prend réduit en poudre impalpable, saupoudré comme un duvet sur de
4 l'eau chaude. On ne défendra pas aux malades les frictions et la promenade; mais, si cela est possible, il vaut mieux s'abstenir entièrement du

CH. 4; l. 9. [καὶ] e *Syn.*; om. Codd.

τελῶς ἀπέχεσθαι, κάλλιον. Κατὰ ἀρχὰς μὲν οὖν οὕτως· περὶ τὴν 5
ἀκμὴν δὲ, λεπτότερόν τε διαιτᾶν καὶ ἐᾶν ἡσυχάζειν ἐπὶ πλέον·
αἰονᾶν τε τὰ ὑποχόνδρια, καὶ καταπλάττειν τοῖς μαλάσσουσι καὶ
χαλῶσιν· εἶτα οὕτως τοῖς οὐρητικοῖς κεχρῆσθαι. Καὶ τῆς παρακμῆς 6
ὑποφαινομένης, καθαίρειν σφοδρότερον τῷ τὴν μέλαιναν κενοῦντα
χολὴν, αὕτη γὰρ γεννᾷ τὸ νόσημα πλεονάσασα· καὶ διδόναι τῆς
θηριακῆς ἐφεξῆς, ἤ τι τῶν ἄλλων τῶν πείρᾳ δεδωκότων, οἷόν ἐστι
τόδε τὸ πάνυ δοκιμώτατον, ὁπόῦ κυρηναϊκοῦ, πεπέρεως, σμύρνης,
πηγάνου φύλλων ἀνὰ Λα'. Λειωθέντα καὶ μιχθέντα, ἀναλαμβάνε- 7
ται ἀττικῷ μέλιτι καὶ δίδοται πρὸ ὀλίγου τῆς ἐπισημασίας σὺν
ὀξυμέλιτι πλῆθος ὀβολῶν δύο. Εἴ τις τοῦ τοιούτου φαρμάκου κατὰ 8
ἀρχὰς δοίη, ἁπλοῦν μὲν ὄντα πολλάκις, διπλοῦν κατασκευάσει
τὸν τεταρταῖον ἢ μείζονά τε καὶ χαλεπώτερον πάντως, διπλοῦν δὲ
τυγχάνοντα τριπλοῦν ποιήσει. — Τὰ δὲ κατὰ περίοδον ἰᾶται ῥίγη 9
πάντα ὅσα παχέων καὶ γλίσχρων χυμῶν ἔκγονα τυγχάνει, τό τε
ἀγαρικὸν καὶ ἡ καλαμίνθη διὰ μελικράτου πινομένη καὶ ἐνεψη-

bain. Tel sera le traitement au début; quand la fièvre atteint son plus 5
haut point, on nourrira moins, et le malade se reposera longuement;
on fera des fomentations et on appliquera des cataplasmes relâchants et
émollients sur les hypocondres; ensuite on donnera des diurétiques.
Lorsqu'on approchera du déclin, on purgera assez fortement avec un mé- 6
dicament qui entraîne la bile noire; c'est en effet de sa prédominance
dans le corps que naît le mal; puis on administrera la thériaque ou un
autre des médicaments que l'expérience a consacrés; par exemple, et
celui-là est le plus célèbre, le médicament ainsi composé : suc de cyrène,
poivre, myrrhe, feuille de rue; de chacun une drachme. Le tout étant 7
broyé, mêlé et incorporé dans du miel attique, on en donnera deux
oboles avec de l'oxymel, un peu avant le moment de l'accès. Si on pres- 8
crivait ce médicament au début de la maladie, on risquerait souvent de
changer soit une quarte simple en quarte double, ou du moins en une
fièvre plus forte et plus maligne, soit une quarte double en une triple.
— L'agaric et la *calaminthe*, bus avec du mélicrat, ou la calaminthe cuite 9
dans de l'huile dont on frictionnera fortement tout le corps, dissipent

2. δέ om. M.

θεῖσα ἐλαίῳ τοῦ σώματος ὅλου γενναίως ἀνατριβομένου· καὶ ὁ κόσ-
τος ὁμοίως, καὶ πύρεθρον· τοῦτο δὲ καὶ τοὺς ναρκώδεις καὶ τοὺς
10 παρειμένους ὠφελεῖ. Παύει δὲ ῥῖγος καὶ ἄγνου σπέρμα ὁμοίως·
ἐλαίῳ ἑψηθέν· καὶ δαφνίδες, καὶ κόκκος κνίδιος μετὰ ἐλαίου καὶ
νίτρου. 5

ε'. Ἀμφημερινῶν ἰάσεις.

1 Ἀμφημερινὸς δὲ καὶ μακρότατος ἐστὶ καὶ οὐκ ἀκίνδυνος ὑπὸ
2 φλέγματος πλεονεξίας γεννώμενος. Δεῖ δὲ αὐτὸν ἰᾶσθαι ὀξυμέλιτί
τε χρώμενον μετὰ τὰς πρώτας ἡμέρας, καὶ τοῖς οὖρα κινοῦσι δα-
3 ψιλῶς, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τμητικοῖς. Μετὰ δὲ ταῦτα προ-
νοοῦντες τῆς γαστρὸς, ἔπειτα ἐμούντων ἀπὸ ῥαφανίδων καὶ τοῖς 10
4 φλέγμα κενοῦσι χρώμενοι καθαρτηρίοις. Τὰ δὲ ἄλλα τῆς διαίτης
5 εὔδηλα· θερμαίνειν γὰρ ὠφελεῖ καὶ τέμνειν. Ἐπεὶ δὲ ἀκμῆς καὶ
παρακμῆς ἐμνημονεύσαμεν, εἰδέναι χρὴ τὸν μὲν τεχνίτην πάντας
τοὺς καιροὺς τῶν νοσημάτων διαγινώσκειν ἔκ τε τῶν οὔρων, μά-
λιστα καὶ τῶν σφυγμῶν· σοὶ γὰρ ἀρκέσει γνωρίζειν ἐπὶ τῶν κατὰ 15

les frissons périodiques qui sont produits par des humeurs épaisses et visqueuses; on obtient le même effet du costus et du pyrèthre, qui sou-
10 lagent aussi dans l'engourdissement et l'affaiblissement. On emploie encore contre les frissons la semence de gattilier cuite de même dans l'huile, les baies de laurier et les baies de Cnide avec de l'huile et du nitre.

5. DU TRAITEMENT DE LA FIÈVRE QUOTIDIENNE.

1 La fièvre quotidienne est très-longue et n'est pas sans danger; elle
2 provient de la surabondance du flegme. Dans les premiers jours on aura recours à l'oxymel, puis aux diurétiques et à toutes les substances qui
3 ont une vertu incisive. On s'occupe ensuite de l'état de l'estomac; on fera vomir avec des raiforts, et on emploiera les médicaments qui évacuent le
4 flegme. Le reste du régime est clairement indiqué; il ne s'agit, en
5 effet, que de réchauffer et d'inciser. En ce qui regarde les périodes d'état et du déclin auxquelles nous avons fait allusion, sachez qu'un médecin habile doit connaître les divers temps des maladies d'après les urines, et surtout d'après le pouls; mais il vous suffit, dans les maladies

περίοδον νοσούντων τὴν μὲν ἀκμὴν ἐκ τοῦ τοὺς παροξυσμοὺς μένειν ἐπὶ τῶν αὐτῶν χρόνων τε καὶ συμπτωμάτων, τὰς δὲ παρακμὰς ἐκ τοῦ καὶ τὸν χρόνον ἐλαττοῦσθαι τῶν παροξυσμῶν καὶ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν συμπτωμάτων μειοῦσθαι.

ς'. Περὶ τῶν συντηκτικῶν πυρετῶν.

5 Ἐπειδὰν χυμὸς παραπλήσιος τῇ ξανθῇ χολῇ διὰ γαστρὸς ἐκ- 1
κρίνηται πυρρότερος τῇ χρόᾳ καὶ δυσώδης καὶ γλοιώδης τὴν σύστασιν, καὶ ἐλαιώδης ὀφθῆναι, γινώσκειν χρὴ πιμελῆ καὶ νεοπαγῆ σάρκα τήκεσθαι πρὸς τοῦ πυρετοῦ διακαεστάτου καὶ σφοδροτάτου τυγχάνοντος· χρονίσαντος δὲ αὐτοῦ, ὡς καὶ τῶν στερεῶν αὐτῶν
10 γίνεσθαι σύντηξιν· διὸ καὶ χαλεπώτατος ἐστὶν ἁπάντων πυρετῶν ὁ τοιοῦτος. Εὔδηλον οὖν ὡς σβεστηρίοις ἰάμασι χρησόμεθα, 2
ψυχρόν τε ἄγαν προσφέροντες ὕδωρ πίνειν, καὶ καταπλάσματα ψύχοντα κατὰ τὰ τοῦ θώρακος καὶ τῶν ὑποχονδρίων καὶ ἐπιθέματα τοιαῦτα, καὶ τροφὰς ψυχούσας.

périodiques, de savoir que la fièvre est [dans son ensemble] à sa période d'état quand les accès durent le même temps, avec les mêmes symptômes, et que le déclin approche, lorsque les accès sont plus courts et que la gravité et le nombre des symptômes diminuent.

6. DES FIÈVRES COLLIQUATIVES.

S'il s'échappe par en bas une humeur semblable à de la bile jaune, 1
plus foncée cependant et d'une odeur plus fétide, ayant la consistance de la crasse des baignoires, et d'une apparence huileuse, on saura qu'une chair grasse et nouvellement coagulée est mise en dissolution par une fièvre très-brûlante et très-intense; si le mal s'aggrave, la colliquation s'étendra même à quelqu'une des parties solides; ce qui fait que cette fièvre est de toutes la plus maligne. Il s'ensuit clairement qu'on doit 2
avoir recours aux remèdes qui éteignent ce feu; on donnera donc à boire de l'eau très-froide, on appliquera des cataplasmes refroidissants et des épithèmes de même nature sur la région du thorax et des hypocondres; on prendra aussi des aliments froids.

13. κατά] καί M; καὶ τά V.

ζ'. Περὶ λειποθυμίας.

1 Αὐτὸ μὲν τὸ πρᾶγμα τῆς λειποθυμίας ἕν ἐστιν· αἰτίαι δὲ αὐτοῦ πλείους, καὶ θεραπεῖαι κατὰ ἑκάστην αὐτῶν ἴδιαι· τοσοῦτον οὖν ὑπὲρ αὐτῶν νῦν ἐροῦμεν, [εἰς] ὅσον ἄν τις μαθὼν ἱκανὸς εἴη τοῖς
2 ἐξαίφνης προσπίπτουσιν ἐνίστασθαι παροξυσμοῖς. Τοῖς μὲν οὖν ἐπὶ χολέραις καὶ κοιλίας ῥύσεσι καὶ ταῖς ἄλλαις κενώσεσι ταῖς 5 ἀμέτροις λειποθυμοῦσιν ὕδωρ τε προσραίνειν ψυχρὸν καὶ ἀνατρίβειν τήν τε ῥῖνα καὶ τὸ στόμα τῆς γαστρὸς, καὶ σπαράττειν δακτύλων ἢ πτερῶν καθέσει καὶ ἀναγκάζειν ἐμεῖν· χεῖρας, σκέλη τε καὶ πόδας διαδεῖν πλείοσι καὶ σφοδροτέροις δεσμοῖς· τὰ ἄνω μὲν ἐν
3 ταῖς κάτωθεν κενώσεσι, τὰ δὲ κάτω ἐν ταῖς ἄνωθεν. Βοηθεῖ δὲ ταῖς 10
4 τοιαύταις ἐκλύσεσι καὶ οἶνος ψυχρῷ κεκραμένος. — Λουτρὸν δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν ἐπιτηδειότατον, τοῖς δὲ διὰ αἱμορρα-

7. DES DÉFAILLANCES.

1 La défaillance est une en elle-même, mais elle a plusieurs causes, dont chacune a son traitement propre; ici nous n'en dirons que ce qui est nécessaire pour mettre chacun en état de connaître quels secours
2 il faut administrer dans les cas qui se présentent à l'improviste. Ceux donc chez qui la défaillance se produit par suite d'un débordement de bile, de flux de ventre ou d'autres déplétions immodérées, on les aspergera d'eau, on fera des frictions sous le nez et sur la région de l'orifice de l'estomac (*épigastre*); en introduisant le doigt ou une plume dans la bouche, on les fera vomir; les bras et les jambes seront liés avec des bandes nombreuses et fortement serrées : les membres supérieurs dans les évacuations qui se font par le bas, et les membres inférieurs lorsque
3 la déplétion s'opère par le haut. Le vin trempé d'eau froide est aussi
4 d'un bon effet. — Le bain est très-utile contre les flux qui se font vers l'estomac, mais très-contraire quand on est pris de défaillance par

CH. 7; l. 1. πρᾶγμα] πάθος F. — Ib. αὐτοῦ] αὐτῆς M. — 2. αὐτῶν om. F. — 3. [εἰς] Gal.; om. Codd. — 8-9. χεῖρας, σκέλη τε καὶ πόδας e Gal.; σκέλη τε καὶ χεῖρας MV; χ. τε καὶ πόδας F. — 10. κάτωθεν] κάτω FM.

γίαν ἢ ἱδρώτων ἀμετρίαν λειποθυμοῦσι πολεμιώτατον· ψύξεως γὰρ οὗτοι καὶ σλύψεως, οὐ χαλασμοῦ δέονται· ψυχρῷ δὲ ὕδατι κεκραμένος οἶνος αὐτοῖς ἐπιτήδειος. Οὔτε δὲ διαδεῖσθαι συμφέρει τούτους, οὔτε ἐμεῖν οὔτε ὅλως κινεῖσθαι· ψύχεσθαι δὲ ἁρμότλει καὶ πυκνοῦσθαι· διὸ πνεύματά τε ψύχοντα κατασκευάσομεν εἰσρεῖν, καὶ τὸν ἀέρα τοῦ οἴκου τρέψομεν εἰς ψυχρὰν καὶ σλύφουσαν ποιότητα διὰ μυρσίνων καὶ ῥόδων καὶ ἑλικῶν ἀμπέλων εἰς κομιδήν. Τούτους μὲν βοηθεῖν οὕτως, ἔν γε τῷ παραχρῆμα. Τῶν δὲ διὰ πλῆθος λειποθυμούντων, ἀνατρίβειν ἐπιπλεῖσλον καὶ θερμαίνειν καὶ διαδεῖν τὰ κῶλα· τροφῆς δὲ αὐτοὺς καὶ οἴνου καὶ λουτροῦ εἴργειν εἰ πυρέτλοιεν, διδόναι δὲ μόνον μελίκρατον ἢ ὀρίγανον ἢ ὕσσωπον ἢ γλήχωνα ἢ θύμον συνεψημένον ἔχον· διδόναι δὲ καὶ ὀξυμέλιτος. — Ὁμοίως δὲ καὶ τὰς ἐπὶ ὑσλέραις ἐκλυομένας θεραπεύομεν χωρὶς τοῦ διδόναι τοῦ ὀξυμέλιτος. Διαδεῖν δὲ καὶ τρίβειν αὐτῶν τὰ σκέλη καὶ πυρίας προσάγειν, αἷς μὲν ἐκκρίσεις πολλαὶ γίνονται κατὰ

suite d'une hémorragie ou de sueurs excessives; dans ce cas, il faut en effet des réfrigérants et des astringents et non des relâchants; aussi le vin trempé d'eau froide produit alors un bon effet. On ne doit point leur appliquer de bandes, ni les faire vomir, ni leur permettre aucun mouvement; ils exigent, au contraire, des remèdes refroidissants et condensants; en conséquence nous leur ménagerons l'arrivée de vents froids et nous entretiendrons avec soin les qualités froides et resserrantes de l'air de leur maison, en répandant avec soin sur le sol des rameaux de myrte, des roses et des vrilles de vignes. Tel est le traitement qui convient à ces malades pour le premier moment. — Quand la défaillance provient de plénitude, il faut frictionner autant que possible, réchauffer et lier les membres; on ne permet aucune nourriture, ni vin, ni bain, s'il y a de la fièvre, mais soit du mélicrat seul, soit du mélicrat dans lequel on aura fait cuire de l'origan, de l'hyssope, du pouliot ou du thym; on peut aussi donner de l'oxymel. — Nous traitons de la même manière les femmes qui tombent en défaillance par suite d'affections hystériques; seulement nous supprimons l'oxymel. On doit aussi, chez ces femmes, lier et frictionner les jambes, ou faire aussi des fomentations aux mamelles,

1. σλύφεως M. — 5. ψύχοντα post εἰσρεῖν MV. — 7. διὰ... ῥόδων om. MV.

τῶν μασϛῶν· αἷς δὲ ἀνέσπασϛαι μήτρα καὶ ϖαρέσπασϛαι, κατὰ βου-
βῶνων καὶ μηρῶν· καὶ ὀσφραντὰ, ταῖς μὲν ῥισὶ δυσωδέσϛατα, ταῖς
δὲ μήτραις, τὰ εὐώδη καὶ τὰ θερμαίνοντα καὶ τὰ χαλῶντα ϖροσά-
10 ξομεν. — Διὰ ἀτονίαν δὲ τοῦ ϛομάχου λειποθυμίας γενομένης, ἐπι-
πλάσμασι χρησόμεθα κατὰ τοῦ μορίου τονοῦσι διὰ φοινίκων καὶ 5
οἴνου καὶ ἀλφίτων καὶ κρόκου καὶ ἀλόης καὶ μασϛίχης, ἐμβροχαῖς
δὲ ταῖς διὰ ἀψινθίου καὶ μασϛιχίνου καὶ μηλίνου καὶ ναρδίνου καὶ
11 οἴνου. Θέρμης δὲ οὔσης καὶ ἐγκαύσεως, τούτοις μιγνύναι τι τῶν
ψυχόντων, ἢ τῆς κολοκύνθης, ἢ τῆς θρίδακος τὸν χυλὸν καὶ τοῦ
12 ϛρύχνου καὶ τοῦ ὄμφακος. Ὠφελεῖ δὲ αὐτοὺς γενναίως καὶ ἡ τῶν 10
13 ἄκρων ἀνάτριψις. [Εἰ δὲ] ἐπὶ τούτοις βέλτιον [μὴ] διατεθῶσι, τοὺς
μὲν ἐγκαιομένους εὐθὺς ἐπὶ τὸ λουτρὸν ἄγειν, τοῖς δὲ διὰ ψύξεώς
τινος αἴσθησιν ἔχουσι τὸ διὰ τριῶν ϖεπέρεων, ἢ καὶ κατὰ ἑαυτὸ τὸ
14 ϖέπερι δώσεις, καὶ ἀψινθίου ϖίνειν. — Εἰ δὲ διὰ χυμοὺς μοχθηροὺς

s'il se produit une trop grande excrétion [par la vulve?] aux aines et aux cuisses, si la matrice est tirée en haut ou sur les côtés; on emploiera encore des substances odorantes, mettant les odeurs repoussantes sous les narines, et dans le vagin les odeurs agréables; enfin on use de réchauf-
10 fants et de relâchants. — La défaillance vient-elle de la faiblesse de l'orifice de l'estomac, on prescrira les topiques qui peuvent lui donner du ton, par exemple ceux que l'on prépare avec du vin, des dattes, de l'alphiton, du safran, de l'aloès, du mastic; on pratique également des embrocations avec l'huile à l'absinthe, au mastic, aux pommes, au nard et au vin.
11 S'il y a de la chaleur et un sentiment de brûlure, on ajoute des réfrigérants, comme sont le suc de courge, de laitue, de morelle ou de verjus.
12-13 On obtiendra aussi un bon effet des frictions faites aux extrémités. S'il ne se produit pas quelque amélioration, mettez au bain les malades brûlants; à ceux, au contraire, qui éprouvent une sensation de froid, prescrivez en boisson le *médicament aux trois espèces de poivre*, ou le poivre
14 ordinaire seul, et l'absinthe. — Quand ce sont des humeurs viciées ou

2. ὀσφραντικά MV. — Ib. δυσωδέϛερα MV. — 3. τά ante χαλῶντα om. MV. — 11. [Εἰ δέ] Gal.; om. Codd. — Ib. [μή] Gal.; om. Codd. — Ib. τούτοις ἂν βέλτιον Codd. — 13. ἢ κατὰ αὑτό M. — Ib. τό om. F. — 14-p. 653, l. 1. Εἰ δὲ διὰ χυμοὺς μοχθηροὺς... θερμὸν ὕδωρ repet. F.

καὶ δάκνοντας ἕκλυσις παρακολουθείη, πίνειν διδοὺς θερμὸν ὕδωρ ἢ ὑδρέλαιον, ἐμεῖν ποίει. Δυσεμὴς δὲ εἴ τις εἴη, θερμαίνειν πρό- 15 τερον τὰ περὶ τὸν στόμαχον καὶ χεῖρας καὶ πόδας· εἰ δὲ μηδὲ οὕτως ἐμοίη, δακτύλους ἢ πτερὰ καθιέτωσαν· μηδὲ οὕτως δὲ δυνα-
5 μένων, ἔλαιον θερμὸν πινέτωσαν· τοῦτο δὲ πολλάκις οὐκ ἔμετον κινεῖ, τὴν γαστέρα δὲ ἐρεθίζει· καὶ χρησιμώτατόν ἐστι· διὸ κἂν μὴ γένοιτο, συνεργεῖν ἡμᾶς ἄμεινον προσθέτοις χρωμένους. Βέλ- 16 τιον δὲ ἐπὶ τούτοις διατεθέντι, κόμην ἀψινθίου διδόναι πίνειν ἐν μελικράτῳ συνεψηθεῖσαν, καὶ παντοίως ῥωννύναι τὰ μόρια διά τε
10 τῶν ἔξωθεν ἐπιτιθεμένων καὶ διὰ τῶν ἔσωθεν λαμβανομένων. Οὐ 17 μὴν κατὰ ἀρχὰς οὕτω ποιεῖν προσήκει, ἀλλὰ μετὰ τὴν κένωσιν τῶν μοχθηρῶν χυμῶν. — Εἰ δὲ φλέγματος ἀθροισθέντος ἐν στομάχῳ 18 πολλοῦ καὶ ψυχροῦ τὰς ἐκλύσεις συμβαίνει γίνεσθαι, καταιονήσεις τὸ μόριον ἐπιπλεῖστον ἐλαίῳ ἀψινθάτῳ· καὶ δώσεις μελίκρα-
15 τον, ὕσσωπον ἤ τι τοιοῦτον ἐνεψήσας, ἢ ὀξυμέλιτος καὶ πεπέρεως·

mordantes [à l'orifice de l'estomac] qui causent la défaillance, faites boire de l'eau chaude ou de l'*hydrelæon* (mélange d'huile et d'eau) et provo- quez le vomissement. Si l'individu a de la difficulté à vomir, réchauffez 15 d'abord la région de l'orifice de l'estomac, puis les mains et les pieds; si, même après cela, il ne peut vomir, on introduit les doigts ou une plume dans sa bouche; si ce moyen reste de nouveau sans effet, qu'il boive de l'huile chaude; souvent ce remède ne provoque pas le vomissement, mais les selles, et il est alors très-utile; si cependant l'évacuation alvine n'a pas lieu, ce qu'il y a de mieux, c'est de la déterminer par des suppositoires. Lorsque le malade se trouvera en meilleur état, on lui fera boire une in- 16 fusion de sommités d'absinthe cuites dans le mélicrat, et on fortifiera les parties de toutes les façons possibles avec les remèdes qui s'appliquent extérieurement ou qui se prennent à l'intérieur. Cela ne doit pas se faire 17 au début, mais seulement lorsque les humeurs corrompues auront été expulsées. — Si la défaillance est le résultat d'un flux abondant de pituite 18 froide accumulée vers l'orifice de l'estomac, faites de larges affusions sur cette région avec de l'huile à l'absinthe, puis donnez du mélicrat dans lequel on aura fait bouillir de l'hysope ou quelque chose d'équivalent,

1. ἕλκυσις MV. — 10. ἔσω G. — 11. προσῆκεν MV.

τμητικώτερον γὰρ εἶναι χρὴ τὸν σύμπαντα τρόπον τῆς βοηθείας. —
19 Ὅταν δὲ ἐπὶ ψύξεσιν ἰσχυραῖς λειποψυχήσῃ τις, βοηθήσεις πᾶσι
τρόποις ἐκθερμαίνων, οἶνόν τε διδοὺς κεκραμένον θερμῷ καὶ τροφὰς
20 θερμαινούσας, καὶ ἀνατρίβων παρὰ πυρί. — Τἀναντία δὲ ποιή-
σεις ἐπὶ τῶν διὰ πλείονα θερμασίαν λειποψυχούντων, ἐν ἀέρι πνι- 5
γώδει διατριψάντων καὶ ἐν λουτρῷ χρονισάντων· τονώσεις οὖν
αὐτοὺς ἐν τῷ παραχρῆμα ψυχρὸν ὕδωρ ἐπιδιδοὺς πίνειν καὶ ῥιπί-
ζων καὶ καταπνεῖσθαι ποιῶν, καὶ ἀνατρίβων τὸν στόμαχον· μετὰ
21 δὲ ταῦτα καὶ οἶνον καὶ τροφὰς διδούς. — Εἰ δὲ διὰ φλεγμονῆς
ὑπερβολὴν ἢ κακοήθειαν πυρετῶν λειποθυμοίη τις ἐν ταῖς εἰσβολαῖς 10
μετὰ τοῦ καταψύχεσθαι πόδας, θερμαίνων καὶ ἀνατρίβων σφοδρό-
τερον καὶ διασφίγγων τὰ ἄκρα, κατακοιμᾶσθαί τε κωλύων, καὶ πά-
22 σης εἴργων προσφορᾶς σιτίου καὶ πόματος ἀναῤῥώσεις. — Τοῖς δὲ
συγκοπῆναι διὰ ξηρότητα κινδυνεύουσιν, ἄρτου τι σὺν οἴνῳ δώσεις

ou de l'oxymel et du poivre ; dans ces cas, en effet, tout l'ensemble du
19 traitement doit avoir une grande vertu incisive. — Si, à la suite d'un re-
froidissement violent, quelqu'un tombe en défaillance, on lui portera
secours en le réchauffant de toutes les manières possibles : avec du vin
trempé d'eau chaude, des aliments réchauffants et des frictions faites
20 près du feu. — Pour ceux qui sont pris de défaillance par suite d'une
trop grande chaleur, qui ont respiré un air méphitique, ou sont restés
trop longtemps dans le bain, le traitement sera l'opposé ; on doit les ra-
nimer sans retard en leur faisant boire de l'eau glacée, en les éventant,
en soufflant sur eux, et en leur pratiquant des frictions sur la région
de l'orifice de l'estomac, après quoi on leur donnera du vin et des ali-
21 ments. — Si la défaillance vient d'un excès d'inflammation ou de la mali-
gnité de la fièvre, au milieu de l'accès et lorsque le froid envahit les pieds
du malade, on devra faire tous ses efforts pour le réchauffer en friction-
nant énergiquement et en liant les extrémités ; on empêchera le som-
meil et on achèvera de ranimer le malade en éloignant de lui toute nour
22 riture et toute boisson. — A ceux qui sont en danger de tomber en
défaillance par suite de sécheresse, on donnera un morceau de pain

1. τμητικωτέρους MV. — 3. θερμαίνων V. — 7. πίνειν] ποιεῖν M ; πιεῖν FV. — 11-12. ἀνατρίβων θερμὸν σφοδρ. MV. — 14. τι om. M. — 16 σὺν τῷ οἴνῳ M.

ἢ χόνδρου παντάπασιν ὀλίγου· πλείονος γὰρ εἰ ἐπιδοίης ἢ δυσπέπλου σιτίου, συγκοπήσονται ταχέως. — Εἰ δὲ διὰ ἔμφραξιν καιρίου 23
τινὸς μορίου λειποψυχία παρείη, τό τε ὀξύμελι δίδου καὶ μελίκρατον ἐναφεψηθέντος αὐτῷ γλήχωνος ἢ ὀριγάνου ἢ ὑσσώπου, καὶ τὰς
5 τμητικωτέρας τῶν τροφῶν· ἀνατριβέσθω δὲ καὶ διαδείσθω καὶ τούτων τὰ κῶλα, καὶ τοῖς διουρητικοῖς δὲ χρησάσθωσαν. Ῥᾷον δὲ 24
ἐπὶ τούτοις διατεθέντες, καὶ οἴνου λευκοῦ καὶ λεπτοῦ μὴ πάνυ παλαιοῦ πινέτωσαν. — Εἰ δὲ διὰ ἀθρόαν πύου κένωσιν, ἀρκέσει τούτους 25
τοῖς ὀσφραντοῖς ἀνακτησαμένους, ῥοφήμασιν εὐπέπτοις διατρέφειν.
10 — Εἰ δὲ διὰ ἡδονῆς ὑπερβολὴν ἢ λύπης ἢ θυμοῦ ἢ φόβου ἢ ἐκπλή- 26
ξεως λειποψυχία συσταίη, τοῖς τε ὀσφραντοῖς, καὶ ταῖς τῶν ῥινῶν καταλήψεσιν ἀνακτησαμένους, ἐμεῖν ἀναγκάζειν. — Οἱ δὲ διὰ 27
κωλικὴν διάθεσιν ἢ τινὸς ἄλλου μορίου μεγίστην ὀδύνην λειποθυμοῦντες, διά τε τῶν πυριαμάτων καὶ τῶν ἀνατρίψεων κατασταθήσονται.

avec du vin, ou de l'alica, mais en petite quantité; car, si on donnait trop de nourriture ou une nourriture indigeste, la défaillance reviendrait bien vite. — Si la défaillance provient de l'obstruction de quelque par- 23
tie noble, on donnera de l'oxymel ou du mélicrat dans lequel on aura fait bouillir du pouliot ou de l'origan, ou de l'hysope, et les aliments les plus incisifs; on fera des frictions, on liera les membres, et on emploiera les diurétiques. S'il y a un peu d'amélioration, le malade 24
boira du vin blanc, ténu et pas trop vieux. — Si la défaillance est pro- 25
duite par une évacuation soudaine et abondante de pus, il suffira, après qu'on aura ranimé le malade en lui faisant respirer des parfums, de donner des bouillies de facile digestion. — Quand la lipopsychie est 26
causée par un excès de joie ou de chagrin, ou de colère, ou de crainte, ou de frayeur, faites respirer des parfums, serrez les narines, et, une fois la connaissance revenue, vous provoquerez le vomissement. — Ceux 27
qui tombent en défaillance à la suite d'une colique ou de toute espèce de très-grande douleur dans une autre partie, on les ranime par l'usage des fomentations et des frictions.

1. εἰ om. MV. — 4. ἐναψηθέντα MV. — 9. εὐπότοις F.

η'. Πρὸς διαφορουμένους διὰ ἱδρώτων.

1 Τῶν δὲ διαφορουμένων τοὺς ἱδρῶτας ἵσ|ησι καταπασσομένα γῆ Σαμία, λιθάργυρος, γύψος, κηκὶς, σχισ|ὴ, μυῤῥίνη, ἔλαιον οἰνάνθινον, ῥόδινον, μήλινον, σχίνινον· καταχριόμενα δὲ μάννα καὶ ἄμυλον σὺν ὠοῦ τῷ λευκῷ.

θ'. Πρὸς καρδιακούς.

1 Καρδιακοὺς δὲ ὠφελεῖ καταπλασσόμενα κατὰ τοῦ σ|ομάχου βά- 5
του φύλλα μετὰ κηρωτῆς ὀλίγης ἢ ἄρτου, ἢ μυῤῥίνης φύλλα ἢ
ἕλικες ἀμπέλου ἢ ἀρνόγλωσσον σὺν ἄρτῳ ἢ κηρωτῇ ὀλίγῃ, ἢ μῆλα
2 κυδώνια ἢ φοίνικες. Καὶ ἐνέματα δὲ παραλαμβάνεται ὠφελίμως
π|ισάνης χυλὸς καθηψημένων ἀκροκωλίων. Καταχρίεται δὲ αὐτῶν
καὶ τὰ ἄκρα ὠφελίμως κηρωτῇ ὑγρᾷ μετὰ νάπυος λείου. 10

ι'. Περὶ βουλίμου.

1 Ὁ βούλιμος διὰ κατάψυξιν τοῦ σ|ομάχου συνίσ|ται καὶ διὰ ἔν-

8. DU TRAITEMENT DE CEUX QUI SE RÉPANDENT EN SUEURS.

1 La terre de Samos, la litharge, le gypse, la noix de galle, l'alun de plume, le myrte, l'huile à œnanthe, aux roses, aux pommes, aux lentisques, dont on enduit le corps, arrêtent les sueurs profuses; il en est de même des onctions avec la manne, ou l'amidon, délayés dans un blanc d'œuf.

9. TRAITEMENT DES CARDIAQUES.

1 Dans la cardialgie, les feuilles de ronces avec une petite partie de cérat ou de pain, les feuilles de myrte ou les vrilles de vigne, ou le plantain, soit avec du pain, soit avec un peu de cérat, les coings, les dattes, sont employés avec succès, si on les met en cataplasmes sur l'orifice de l'es-
2 tomac. On donnera aussi avec avantage, comme lavement, de la crème d'orge dans laquelle auront cuit des abatis. Il sera bon aussi d'oindre les extrémités avec du cérat liquide et de la moutarde pulvérisée.

10. DE LA FAIM IMMODÉRÉE.

1 La faim immodérée est produite par le refroidissement de l'orifice de

Ch. 8; l. 1. δέ om. MV. — 4. τὸ λευκόν MV.

δειαν καὶ ἀτονίαν τῆς δυνάμεως ὑπὸ τῆς ἔξωθεν ψύξεως καταπιπλούσης· συνεδρεύει δὲ αὐτῷ πείνη κατὰ ἀρχάς, μὴ παραμένουσα μέχρι παντός. Τοῖς μὲν οὖν ἐν ὁδοιπορίαις ἢ καὶ ἄλλως πως βουλιμιῶσι διὰ τῶν ὀσφραντῶν βοηθήσομεν, μάλιστα δὲ κρέα [ὕεια] προσ- 2
5 άγοντες ὀπτὰ ταῖς ῥισὶν, ἢ ἐρίφεια καὶ τὰ ἄλλα τὰ κνισσώδη, καὶ διακρατοῦντες τὰ ἄκρα, τάς τε τρίχας ἀνασπῶντες, καὶ τὰς σιαγόνας διαμοχλεύοντες. Ἀναῤῥωθεῖσι δὲ αὐτοῖς, ἄρτον ἐν οἴνῳ κε- 3
κραμένῳ δώσομεν ἤ τι ἄλλο τῶν ταχέως ἀναλαμβανόντων τὴν δύναμιν.

ια'. Περὶ χολέρας.

10 Τὴν δὲ χολέραν δύναιτο ἄν τις κωλύειν, ἐμῶν ὁσάκις ἂν ὑπερ- 1
πληρούμενος τυγχάνῃ πρὸ τῆς προσφορᾶς τῶν σιτίων· καὶ ἤδη δὲ τρεπομένων αὐτῶν, κωλύσειεν ἄν τις τὴν χολέραν εἰ μελικράτου λαβὼν ἢ χλιαροῦ ὕδατος, ἐμοίη, εἶτα πυριάσας ἐλαίῳ τὴν γαστέρα καὶ σκεπάσας ἐρίοις, κατακοιμηθείη χρόνον πλείονα τοῦ εἰωθότος.

l'estomac, par le besoin, ou par l'affaiblissement qui résulte de l'action du froid extérieur; le besoin [réel?] de manger qui existe au début, mais qui ne dure pas toujours, s'y associe. En conséquence, on viendra en 2
aide à ceux qui, en voyage ou dans d'autres circonstances, sont pris d'une faim extraordinaire, soit en leur faisant respirer des substances odorantes, surtout en approchant de leurs narines de la chair de porc cuite, de bouc ou d'autres animaux à odeur forte, soit en liant leurs extrémités, en leur tirant les cheveux, en remuant leurs mâchoires. Quand le soulagement 3
est opéré, on donnera du pain avec du vin trempé ou quelque autre mets qui puisse réparer promptement les forces.

11. DU CHOLÉRA [*NOSTRAS*].

On pourra empêcher le choléra, si, chaque fois qu'on sent de la réplé- 1
tion, on s'excite au vomissement avant de prendre d'autres aliments; quand déjà on est sur la pente du choléra, on arrêtera le mal en prenant du mélicrat ou de l'eau chaude; puis on vomira; ensuite on fera des fomentations d'huile sur le ventre; on l'entourera d'étoffes de laine, et on

4. [ὕεια] e Gal.; om. Codd. — 7. ἀναμοχλεύοντες M. — CH. 11, l. 10. δέ om. V.

2 Συσϑῆναι δὲ αὐτῆς φθασάσης, καὶ κενουμένων ἄνω καὶ κάτω μετὰ συντονίας, οὐ μόνον τῶν φθαρέντων, ἀλλὰ καὶ ἑτέρας ὕλης τοῦ σώματος συνεφελκομένης, εἰ μὲν δήξεις σφοδραὶ παρακολουθοῖεν, μελίκρατον πίνοντα κατακεραννύειν· εἰ δὲ εἶεν ἐπιεικεῖς, ἀμβλύνειν αὐτὰς ὕδατι, καὶ μὴ κωλύειν τὴν ἔκκρισιν, τήν γε μὴ ἄμετρον. 5
3 Ὑπερκενώσεως δὲ γενομένης, καὶ σπασθῆναι κινδυνεύοντος τοῦ πάσχοντος καὶ ἀσφύκτου ὄντος, καὶ τὰ ἄκρα καταψυχομένου, καὶ ψυχρὸν ἱδροῦντος, τοῦ τεχνίτου χρεία· μόλις γὰρ ἂν ὁ οὕτω διακεί-
4 μενος, καὶ ὑπόντος ἰατροῦ, σωθείη. Μὴ παρόντος δὲ, πάντα ποιεῖν τὰ ἐνδεχόμενα καὶ ταινίαις μὲν ἢ ἐρίοις τὰ ἄκρα διαδεῖν, ἀνατρί- 10 βειν δὲ τὰ κατεψυγμένα μιγνύντα ἐλαίῳ κηροῦ τι καὶ πεπέρεως καὶ νίτρου ἢ ἰρίνῳ μύρῳ μετά τινος τούτων ἢ σικυονίῳ μετὰ κασϑο-
5 ρείου· ταῦτα γὰρ ἐν τοῖς σπαραγμοῖς βοηθεῖ. Διδόναι δὲ ἐφεξῆς τροφήν· κἂν ἐμέσῃ, πάλιν διδόναι, ἄχρις ἂν κατάσχῃ· καὶ τῇ

2 restera au lit plus longtemps qu'à l'ordinaire. Si le choléra est confirmé et qu'une violente évacuation ait eu lieu par le haut et par le bas, non-seulement d'humeurs corrompues, mais même d'une autre matière sortie en même temps du corps, alors, s'il existe aussi de fortes tranchées, on les calmera en buvant du mélicrat; sont-elles légères, l'eau suffira pour les dissiper, et on laissera l'évacuation suivre son cours, pourvu qu'elle
3 ne soit pas trop abondante. Quand les déjections deviennent excessives, que le malade est en danger d'avoir des spasmes (*crampes*), qu'il est sans pouls, que ses extrémités se refroidissent, qu'il est pris d'une sueur froide, alors il faut un médecin habile; il est même douteux que le mé-
4 decin, si on en a un sous la main, puisse sauver le malade. Si on n'en trouve pas, on aura recours à tous les expédients dont on peut disposer; par exemple, entourer les extrémités avec des bandes ou de la laine, frictionner les parties refroidies avec un mélange, soit d'huile, de cire, de poivre, ou de nitre, soit d'huile à l'iris et de quelqu'un des mêmes ingrédients, soit d'huile de Sicyone et de castoréum; tout cela, en effet,
5 calme les spasmes. Ensuite on donnera des aliments au malade; s'il les rejette, on lui en donnera de nouveau jusqu'à ce qu'il les tolère; après

5. γε μὴν M. — 6. κινδυνεύοντα Codd.

τροφῇ προσεπιδιδόναι τι τῶν ῥωννύντων τὸν στόμαχον ὀπωρῶν, μήλου, ἀπίου ἢ βότρυος ἤ τινος τοιούτου. Μάλιστα δὲ οἶνος τοὺς 6
χολεροὺς ὀνίνησιν· ὕπνον γὰρ ἐπάγων πολλάκις ἐλπίδας παρέχει τῆς σωτηρίας. Θερμότητος δὲ πλείονος περὶ τὰ στέρνα καὶ ὑπο- 7
χόνδρια συνούσης, ἐπιψύχειν ῥοδίνῳ ἐμβρεχομένοις ὀθονίοις, καὶ ἅλφιτα ἐπιῤῥιπτοῦντας λειότατα μετὰ ῥοδίνου καὶ γλυκέος· διδόναι δὲ αὐτοῖς καὶ τὸν οἶνον ψυχρόν.

ιβ' Περὶ ὀδύνης.

Ὅταν ἐν ὀδύνῃ τινὶ τυγχάνῃ μόριον, πολυπραγμόνει τὴν πρό- 1
φασιν, εἰ διά τι τῶν ἔξωθεν γέγονεν· πολλοὶ γὰρ κατὰ τὸ λεληθὸς ἐν τῷ καθεύδειν ἐβλάβησαν οὐκ ὀλιγάκις ἔν τε ἀθρόαις ἐπιστροφαῖς καὶ οὐ καλῶς ἐπεσχηματισμένον τὸ μόριον ἔχοντες. Καὶ 2
ψυχόμενα δὲ μέρη, τίλμασι καὶ σπάσμασι περιπίπτοντα σφοδροτάταις ὀδύναις ἁλίσκονται. Γίνεται δὲ καὶ ὑπὸ ῥευμάτων ἐπώδυνα 3

le repas on fera manger un des fruits qui fortifient l'orifice de l'estomac : pomme, poire, grappe de raisin, ou quelque chose de même nature. Le 6
vin est particulièrement utile dans cette affection ; car, en amenant le sommeil, il offre souvent une chance de salut. Si un trop grand feu a envahi 7
la poitrine et les hypocondres, on rafraîchira ces parties avec des linges imbibés d'huile aux roses, ou en les aspergeant de farine d'orge bien écrasée, et mélangée avec de l'huile aux roses ou du vin d'un goût sucré ; on peut aussi donner du vin froid.

12. DE LA DOULEUR.

Quand une partie du corps est prise de quelque douleur, le méde- 1
cin en cherche avec soin la cause pour savoir si elle est produite par un accident extérieur ; fréquemment, en effet, on se blesse pendant le sommeil et on ne s'en souvient pas, par exemple, dans des mouvements brusques, et si quelque membre se trouve avoir porté à faux. En outre, 2
les membres refroidis sont pris de contractions et de spasmes, d'où résultent de violentes douleurs. Enfin la douleur vient très-souvent d'une 3

Ch. 12 ; l. 11. τι μόριον MV. — Ib. ἔχοντες om. F.

4 μόρια συνεχῶς. Ἐὰν οὖν τῶν προειρημένων μηδὲν αἴτιον ᾖ τῆς ὀδύνης, τὴν προηγησαμένην ἐπίσκεψαι δίαιταν τοῦ πάσχοντος, εἰ ἀργοτέρα τοῦ συνήθους, καὶ εἰ ἐνεπίπλατο σιτίων οὐκ εἰωθὼς, ἢ τοῖς πολυτρόφοις ἐχρήσατο, καὶ εἰ κένωσίς τις εἰωθυῖα γίνεσθαι πρότερον νῦν μὴ γίγνοιτο· τούτων γὰρ ἢ πάντων ἢ τινῶν συμβεβη- 5 κότων, πλῆθος αἴτιον εἶναι τῆς ὀδύνης ὑπολητέον· καὶ χρὴ κενῶσαι διὰ φλεβοτομίας ἢ διὰ καθάρσεως, εἰ κακοχυμία φαίνοιτο πλεονά-
5 ζουσα. Μὴ παρόντος δὲ τοῦ ταῦτα δρῶντος, παροχετεύσει χρῆσθαι, τὴν ὕλην ἀπάγοντας διὰ τῶν πλησίον, οἷον ἐν κεφαλῇ μὲν τῆς ὕλης οὔσης διὰ ῥινῶν ἢ ὑπερώας, ἢ ἀντισπάσει μετάγοντας εἰς 10 τοὺς ἐναντίους τόπους τὸ πλῆθος, ἀνατρίβοντας δριμέσι φαρμάκοις
6 τὰ κῶλα καὶ διαδοῦντας. Ὠφελείας δὲ ἐπὶ τούτοις μὴ γενομένης, πρόδηλον μὲν ὡς σφήνωσίς ἐστι τοῦ λυποῦντος, καὶ διαφορεῖν αὐτὸ
7 προσήκει φαρμάκοις. Διὰ πνεύματος δὲ ἔνστασιν τῆς ὀδύνης συμ-

4 fluxion qui envahit les membres. Si on ne peut rapporter la douleur à aucune de ces causes, on devra examiner le régime que suivait auparavant le malade : s'il s'est abandonné à un repos inaccoutumé, si, contre son habitude, il s'est surchargé de nourriture, s'il a usé d'aliments très-substantiels, si une évacuation à laquelle on était accoutumé a été supprimée; si, dis-je, tout cela ensemble, ou un de ces cas seulement est observé, on soupçonnera que la cause de la douleur est la pléthore; aussi faut-il évacuer, soit en ouvrant la veine, soit en purgeant, si l'on croit que la
5 cause du mal est dans la surabondance des humeurs malignes. Quand il n'y a pas lieu d'agir ainsi, on aura recours soit à la dérivation afin d'éloigner la matière par le lieu le plus proche du siége de la douleur : par les narines ou le palais, si elle est dans la tête; soit à la révulsion qui chasse la surabondance des humeurs dans le lieu opposé, résultat qu'on obtiendra au moyen de frictions avec des médicaments âcres et
6 en liant les membres. S'il ne s'ensuit aucun bien, il est clair que le mal s'est fixé comme un coin dans la partie affectée; on devra donc em-
7 ployer les médicaments qui dissipent. La douleur provient-elle de la résis-

2. πρ. δὲ ἐπισκέψασθαι M V. — 7. διὰ ὕλης] ὀδύνης F. — 11. ἀνατρίβων Codd. om. M V. — 8-9. χρηστέον Codd. — 10. — 12. καὶ om. M V. — Ib. διαδέων Codd.

βαινούσης προσκαρτερεῖν χρὴ τοῖς λεπτύνουσιν ἐδέσμασί τε καὶ πόμασι καὶ ἐνέμασιν ἀραιοῦντας τὸ πάσχον σῶμα, διά τε πυρίων καὶ καταιονήσεων καὶ καταπλασμάτων. Αἰτίου δὲ ὄντος ὄγκου παρὰ 8
φύσιν, ἰάσῃ δηλονότι τοῦτον. Δακνώδους δὲ ὑγροῦ ποιοῦντος τὴν 9
5 ὀδύνην πολεμιώτατα τὰ λεπτύνοντα καὶ θερμαίνοντα· κατάλληλα δὲ, εἰ μὲν ἰᾶσθαι μέλλοι, τὰ κενοῦντα τὸν λυποῦντα χυμὸν διὰ τῶν ἀδήκτως ῥυπτόντων. Εἰ δὲ τοῦτο μὴ εἴη δυνατὸν, τὰ κατακεράσαι 10
δυνάμενα· καὶ τούτου δὲ ὄντος ἀδυνάτου, τὰ ναρκωτικὰ φάρμακα· τὰ μὲν γὰρ ὄντως ἀνώδυνα φάρμακα λεπτομερῆ τε εἶναι χρὴ καὶ
10 μετρίως θερμὰ, μηδὲ ἡσυχινοσοῦν μετέχοντα σύψεως, οἷόν ἐστι τὸ ἀνήθινον ἔλαιον ὑπὲρ τοῦ κενῶσαι καὶ συμπέψαι καὶ ὁμαλῦναι πᾶν ὅσον ἐν τοῖς ὀδυνωμένοις ἐστὶ μορίοις. Τὰ δὲ λεγόμενα μόνον 11
ἀνώδυνα, ψύχει πᾶν τὸ σῶμα, καὶ ναρκοῖ τὴν αἴσθησιν, καταφοράν τε ἐργάζεται, καὶ χρὴ γινώσκειν ὡς ὅμοιόν τι νεκρώσει πάσχοντα
15 τὰ μόρια καὶ τῶν ὀδυνώντων αἰτίων ἀναίσθητα γίνεται. Καὶ πολ- 12

tance du pneuma intérieur, on insistera pour raréfier le corps malade par les aliments, les boissons et les lavements atténuants et aussi par les fomentations, les affusions et les cataplasmes. La douleur est-elle causée par 8
une tumeur contre nature, il faut remédier à cette tumeur. Lorsqu'une 9
humeur mordicante produit la douleur, les remèdes atténuants et échauffants sont tout à fait nuisibles: au contraire, ceux-là conviennent, si vous voulez guérir, qui expulsent l'humeur malfaisante, en nettoyant sans produire de tranchées. Si cela ne peut se faire, ayez recours aux 10
médicaments capables de tempérer la douleur; si cela est encore impossible, employez les narcotiques; en effet, les véritables anodins doivent être ténus, modérement chauds, et n'avoir aucune astringence : telle est l'huile à l'aneth, dont l'effet est d'évacuer, ou de cuire, ou de rendre uni tout ce qui existe de mal dans la partie affectée. Mais les médica- 11
ments qu'on appelle simplement *anodins* refroidissent tout le corps, engourdissent les sens, procurent un sommeil profond; il faut même savoir que les membres malades paraissent comme ceux des morts et qu'ils deviennent insensibles à ce qui cause la douleur. Beaucoup, par l'usage 12

2. καὶ ἐν αἵμασιν F; om. MV. — 9. πᾶσαν νόσον Codd. — 13. ναρκῶν M οὕτως M 1ª m. — 12. πᾶν ὅσον Gal.; 1ª m.; ναρκᾶν 2ª m. — 14. τε] δὲ MV.

λοὶ τῶν συνεχῶς τὰ τοιαῦτα λαμβανόντων εἰς ἀνίατον ψύξιν ἤγαγον τὰ μόρια· καὶ εἰ βραχεῖ δὲ πλείω ποθείη θάνατον ἐπιφέρει.

prolongé de ces médicaments, ont refroidi leurs membres d'une manière irremédiable, et, s'ils en avaient bu plus longtemps, ils se seraient donné la mort.

Ch. 13. = *Syn.* VII, 1.

Donne *καυθέν* au lieu de *κατὰ ἕν*, p. 225, l. 3-4; *κατά* au lieu de *ἐπί*, 225, 6; om. *μηλέας*, 326, 7; *κἂν..... σωμάτων*, 227, 4-6; donne *πλασσόμενα*, 327, 11. 5

Ch. 14. (*Πρὸς τραύματα περιωδυνοῦντα καὶ φλεγμαίνοντα.*) = *Syn.* VII, 1 (suite, depuis *Πρὸς δὲ τά*, p. 328, 4).

Ch. 15. = *Syn.* VII, 2.

Donne *σαρκωτόν* au lieu de *σαρκωτικὸν φάρμακον*, p. 329, 1; donne le texte des Codd. (om. *καί*) qui figure dans les variantes, 329, note 8-9; om. *μετρίας*, 329, 13. 10

Ch. 16. = *Syn.* VII, 3.

Ch. 17. = *Syn.* VII, 4.

Donne *λεπὶς καταπλασσομένη* au lieu de *λεπίδα κατάπασσε*, p. 331, 11. 15

Ch. 18. = *Syn.* VII, 5.

Ajoute *ποιησάντων* entre *οὕτω* et *πολλάκις*, p. 332, 7.

Ch. 19. (*Πρὸς τὰ ἐξ ὑποδημάτων παρατρίμματα*). = *Syn.* VII, 5 (suite, depuis *Πρὸς δὲ τά*, p. 332, 12).

Ajoute *παλαιόν* après *δέρμα*, p. 333, 1. 20

Ch. 20. = *Syn.* VII, 6.

Donne *κατάχριε* au lieu de *κατάπλασσε*, p. 334, 1; om. *ἄλευρον... κατάπλασσε*, p. 334, 1-2; *ἐμπλάσσων..... ὀθόνην*, 334, 5-7; donne *φλοιὸς καταπλασσόμενος ἐπουλοῖ πίτυος φλοιὸς λείας, ἢ ἀδιάντου*, 334, 9; om. *ἢ ὡς Ἀδαμάντιος. .. κατάχριε*, 335, 2-3. 25

2. *πλείω ἢ* F; *πλεῖον* MV.

Ch. 21. = *Syn.* VII, 7.

Donne *εἰ μή* au lieu de *καὶ μή*, p. 335, 6; *φρύξας* au lieu de *φώξας*. 336, 5; om. *ἢ* avant *σεῦτλον*, 336, 6.

Ch. 22. = *Syn.* VII, 8.

Ch. 23. = *Syn.* VII, 9.

Om. le second *πάλιν*, p. 337, 12.

Ch. 24. = *Syn.* VII, 10.

Donne *ἰσχυρῶς* au lieu de *ἰχῶρος*, p. 338, 11; *τάχιστα*, au lieu de *ἐν τάχει*, 339, 7.

Ch. 25. = *Syn.* VII, 11.

Om. *ἑλκύδρια*... *Κολοκύνθης*, p. 340, 12-13, et donne *τῆς* avant *ξηρᾶς*, 13; ajoute *τῶν ὀνομαζομένων ἰδίων ὀστρέων κεκαυμένοις* entre *Ὀστράκοις* et *χρώμεθα*, 341, 7; donne *ἢ* au lieu de *Πρὸς τὰ θηριώδη*, 342, 8.

Ch. 26. (*Πρὸς τοὺς ἐν τοῖς ἕλκεσι σκώληκας.*) = *Syn.* II (suite, depuis *Τοὺς δὲ σκώληκας*, p. 343, 2).

Ch. 27. = *Syn.* VII, 12.

Om. *καθαροῦ, μήτε*, p. 344, 8.

Ch. 28. = *Syn.* VII, 13.

Donne *προσλαμβανούσης* au lieu de *λαμβανούσης*, p. 346, 3; *οὕτω*, au lieu de *ἐν τῷ*, 346, 9.

Ch. 29 (*Περὶ ἐγχυμωμάτων*). = *Syn.* VII, 14.

Om. *ποιεῖ*..... *δέρματος*, p. 347, 3-4; donne *Εἴδη* au lieu de *Εἶδος*, p. 347, 10; ajoute *δέ* après *Δέρμα*, 348, 1.

Ch. 30. = *Syn.* VII, 15.

Donne *Τὰ δὲ ῥήγμ.* p. 348, 6.

Ch. 31. = *Syn.* VII, 16.

Ch. 32. = *Syn.* VII, 17.

Donne *ἀριστολοχία στρογγύλη ἀμμ. δὲ σὺν μ. καὶ ὑοσκ.* p. 350, 9.

Ch. 33. (Πρὸς τὰ περὶ τοὺς ὄνυχας πάθη.) = *Syn.* VII, 18.

Ch. 34. (Πρὸς τὰ ἐν τοῖς δακτύλοις πτερύγια.) = *Syn.* VII, 18 (suite, depuis Πρὸς δὲ τά, p. 352, 10).

Ch. 35. = *Syn.* VII, 19.

Ch. 36. = *Syn.* VII, 20. 5

Place αἱμορραγία... φαρμάκων, p. 355, 13-356, 1 après συμπιπτ. 356, 3; donne ὑπίωσι au lieu de ὑπολειφθῶσι, 358, 7; om. ἐν οἴνῳ... λεάνας, 358, 14-359, 1.

Ch. 37. (Πρὸς οὐλὰς καὶ σπίμματα καὶ μώλωπας.) = *Syn.* VII, 21.

Ch. 38. = *Syn.* VII, 22.

Donne λεπτυνόντων au lieu de λεπτομερῶν, p. 361, 1-2; om. Τήν, 362, 8; ψυ- 10 χρόν, 362, 11; donne δεῖ τοίνυν au lieu de δεῖ τι, 363, 4; om. ἐὰν μὲν... ἀλεύριον, 363, 14-364, 1.

Ch. 39. = *Syn.* VII, 22. (Suite, depuis Τηκτὸν φάρμακον, p. 364, 6).

Ch. 40. (Πρὸς ἕλκη κεφαλ.) = *Syn.* VII, 23.

Ch. 41. = *Syn.* VII, 24. 15

Om. Ἐκ τῶν Γαληνοῦ, titre, et ainsi toujours; om. ἐν δὲ ταῖς..... διαφορητικοῖς, p. 366, 5-6; θερμὰς... πρὸς τάς, 366, 14, 367, 1.

Ch. 42. = *Syn.* VII, 25.

Donne προσφάτῳ au lieu de προφάσει, p. 369, 2; ἔχοντι, au lieu de πάσχοντι, 369, 7. 20

Ch. 43. = *Syn.* VII, 28.

Ch. 44. = *Syn.* VII, 29.

Om. φύματα, p. 375, 1; donne τερεβινθίνῃ au lieu de τερμινθίνῃ, 375, 6.

Ch. 45. = *Syn.* VII, 30.

Ch. 46. = *Syn.* VII, 31. 25

Donne εἰργασμένων au lieu de ἠργμένον, p. 377, 7.

Ch. 47. = *Syn.* VII, 32.

Donne ποτέ au lieu de ὅτε, p. 378, 11; Πήγνυται au lieu de Μίγνυται, 379, 6.

Ch. 48. (ψύχουσα κηρωτή.) = *Syn.* VII, 32. (Suite, depuis Ψύχουσα κηρωτή, p. 379, 7-8).

Donne πελιανόν au lieu de πελιδνόν, p. 380, 6; om. γενέσθαι..... πελιδνόν, 380, 7-8.

Ch. 49. = *Syn.* VII, 33.

Om. μήτε ἀνδρ. ἢ ἀείζ., et donne ὡς au lieu de ἤ τι τῶν οὕτω, p. 381, 14; donne χυλῷ au lieu de χυλόν, 382, 13, et om. οἴνῳ, 383, 1; donne τρύγνου (sic) au lieu de τεύτλου.

Ch 50. = *Syn.* 34.

Om. οἷόν..... σκίῤῥων, p. 384, 6-11.

Ch. 51. = *Syn.* VII, 35.

Donne ἐκπιέσεις au lieu de πιέσεις, p. 385, 1; Καὶ χρονικόν au lieu de Κεχρονικός, 385, 9.

νϑ' Πρὸς σκίδας (?).

Βδελλίῳ μάλισϑα χρῶνταί τινες ἐπί τε βρογχοκηλικῶν καὶ ὑδροκηλικῶν ἀσίτου πϑυάλου δεύοντες [ὡς] ἐμπλασϑώδη σύσϑασιν σχεῖν. Κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλασϑοὶ καὶ τὰ σφαιρία τὰ νέα καὶ ἁπαλὰ τοὺς ἐντεροκηλικοὺς ὠφελεῖ· καὶ γὰρ ξηραίνει καὶ τόνον ἐντίθησι τοῖς ὑγροτέροις χαλαροῖς σώμασι.

Ch. 53. = *Syn.* VII, 41.

Donne καὶ καταμίξας au lieu de κατάπλασσε..... μίξας, p. 388, 8-9.

Ch. 54. = *Syn.* VII, 42.

Om. φύλλα..... ἑαυτὸν καί, p. 388, 11-389, 2.

Ch. 55. = *Syn.* VII, 43.

Om. τε μυρμ. καί, p. 389, 7; ἐξαίρει... μυρμηκίας, 389, 10-11; ajoute λεπὶς μολίϑδου λεπτὴ καλῆς ἐπιτεθεῖσα κατὰ γαγγλίον τελέως ἀφανίζει après ἐκϑάλλουσιν, 390, 3. (Voy. *Syn.* VII, 44.)

Ch. 56. = *Syn.* VII, 45.

Om. Ἡ σῦκα..... κατάπλασσε, p. 391, 5-6.

Ch. 57. = *Syn.* VII, 46.

Ch. 58. = *Syn.* VII, 48.

Donne *μέλιτος* au lieu de *ὀξυμέλιτος*[1], p. 394, 5.

Ch. 59. = *Syn.* VII, 49.

Ch. 60 (*Τροχ. πρὸς λειχ.*). = *Syn.* VII, 49. (Suite, depuis *Τροχίσκος πρὸς λειχ.* p. 396, 10).

Ch. 61. = *Syn.* VII, 50.

Om. *καὶ κατὰ..... διαφοροῦντα*, p. 397, 8-9; donne *παρηγορητικόν* et *διαφορητικόν*, au lieu de *παρηγορητικά* et *διαφορητικά*, p. 397, 9-10 et 11; *φαρμάκοις* au lieu de *ἐμπλάστροις*, 398, 3.

Ch. 62. = *Syn.* VII, 51.

Donne *φλεβοτομοῦμεν* au lieu de *προφλεβοτομοῦμεν*, p. 399, 13.

ξγ'. Περὶ τῶν δηλητηρίων καὶ τῶν ἰοβόλων.

Περὶ τῶν δηλητηρίων οὔτε ἀδιορίστως γράφειν ἀσφαλὲς, οὔτε ἑκάστου λέγοντος τὰς ἐπαγομένας βλάβας γράφειν, οὔτε τὰς θεραπείας· παράσχοι γὰρ ἂν ἡ τοιαύτη διδασκαλία τοῖς μοχθηροῖς ἀφορμὴν κακουργίας· ὅσα δὲ κοινῶς βοηθεῖν πεπίστευται τοῖς θανάσιμον εἰληφόσι φάρμακον, ταῦτα γράψαι καλῶς ἂν ἔχοι. Κελεύειν

63. DES POISONS ET DES ANIMAUX VENIMEUX.

1 Il n'est pas prudent d'écrire sur les poisons sans y mettre de la réserve, ni de faire connaître soit les propriétés nuisibles que chacun leur attribue, soit les divers modes de traitement; celui en effet qui entrerait dans ces détails donnerait occasion aux méchants de faire beaucoup de mal; je crois, du moins, qu'il convient de parler des remèdes approuvés
2 par l'expérience commune dans le cas d'empoisonnement. Ainsi on fait

Ch. 63, l. 14. *οὔτε* om. F; — 15 *οὔτε*] *οὕτω* F.

δὲ χρὴ τοὺς εἰληφότας εὐθὺς, ἀνυπερθέτως προλαμβάνοντας συνεχῶς [ὡς] πλεῖστον ὑδρέλαιον, καὶ πάλιν παντοδαπὰ σιτία λαβόντας εἰς κόρον, αὖθις ἐμεῖν· ἢ γὰρ συνεκκενωθήσεται τὸ φάρμακον, ἢ ἐπικραθὲν ἀμβλυτέραν ἕξει δύναμιν. Εἰ δὲ ἐγκαίοιντο τὴν γαστέρα μετὰ 3
5 τὸν ἐμετὸν, ὑδροροδίνῳ ποτίσας αὖθις ἐμεῖν κέλευε. Δίδου δὲ καὶ 4
τῆς θηριακῆς μετὰ οἴνου δυναμένης καὶ μόνης ἀντιβαίνειν τοῖς δηλητηρίοις· μὴ παρούσης δὲ αὐτῆς, ἀρκευθίδας ἐννέα καὶ πηγάνου εἴκοσι φύλλα λειώσας πότιζε, ἢ χαμαιπίτυος βοτάνης μετὰ οἴνου, καὶ ὕπνου μὲν παντελῶς εἴργων, ψηλαφίᾳ δὲ τῶν ἄκρων χρώμενος·
10 κἂν ὑποβιβασθῆναι τὸ δηλητήριον προσδοκηθῇ, διὰ τοῦ δάκνεσθαι καὶ ἐρεθίζεσθαι τὴν κάτω γαστέρα, κλυστῆρσι δὴ δριμέσι χρῆσθαι, μέλι δαψιλὲς καὶ ἀφρόλιτρον ἢ ἕτερόν τι τῶν ὑπακτικωτέρων μιγνύς.

boire aussitôt, sans aucun retard, et d'un seul trait, de l'huile battue avec de l'eau en aussi grande quantité que possible, puis on les gorge d'aliments de toute espèce et aussitôt on excite le vomissement: de cette manière le poison sera rejeté avec les aliments, ou sa malignité sera tempérée par le mélange. Si, après le vomissement, le ventre est pris d'une 3
chaleur brûlante, on prescrira un mélange d'eau et d'huile aux roses, et on fera vomir de nouveau. Donnez aussi la thériaque dans du vin; elle 4
peut par elle-même neutraliser le poison; si vous n'avez pas de thériaque à votre disposition, broyez et faites prendre soit neuf baies de genévrier et vingt feuillets de rue, soit l'ivette avec du vin; le malade doit être privé entièrement de sommeil; pour le tenir éveillé, on chatouillera les extrémités; le poison semble-t-il descendu attendu qu'il cause des tranchées dans le ventre inférieur, on administrera des lavements âcres dans lesquels on mettra du miel en abondance et de l'écume de soude, ou quelque autre des spécifiques qui relâchent davantage le ventre.

2. [ὡς] om. Codd. — Ib. λαβόντας] διδόντας MV. — 6. καί om. MV. — 9. ὕπνου] οἴνου MV. — Ib. ψηλάφα F. — 11. δέ Codd.; om. F.

ξδ'. Κοινὰ πρὸς πάντα θανάσιμα φάρμακα.

1 Χαλβάνης ∠δ', σμύρνης ∠α' · ταῦτα τρίψας καὶ διεὶς οἴνῳ γλυ-
2 κεῖ πότιζε. — Ἄλλο. Πηγάνου φύλλα κ', κάρυα βασιλικὰ β', ἁλός
χόνδρον α', ἰσχάδας β' · ταῦτα ἐσθίειν δίδου, καὶ ὑπὸ οὐδενὸς βλα-
3 βήσεται θανασίμου φαρμάκου. Ποιεῖ δὲ καὶ ὀριγάνου, ὄρνιθος κα-
θηψημένης καὶ συντακείσης ζωμὸς, [καὶ] ὀποβάλσαμον σὺν γά- 5
λακτι γυναικείῳ ἢ ὕδατι.

ξε'. Πρὸς τοὺς ὑπὸ μυκήτων πνιγομένους.

1 Τοὺς δὲ ὑπὸ μυκήτων πνιγομένους [κουφίζει] ὀξύμελι μετὰ νίτρου
πινόμενον, καὶ ὀρνίθων τῶν κατοικιδίων ἄφοδος μετὰ ὀξυμέλιτος ·
2 δίδου δὲ τρίψας μετὰ ὕδατος. Δίδου δὲ καὶ ῥαφανίδας ὅτι πλείστας
ὀπτὰς ἐσθίειν, ἢ τρύγα οἴνου καύσας καὶ τρίψας μετὰ ὕδατος δίδου 10
πίνειν.

64. REMÈDE COMMUN CONTRE TOUS LES BREUVAGES EMPOISONNÉS.

1 Prenez galbanum, quatre drachmes, myrrhe, une drachme; pilez et
2 délayez dans du vin d'un goût sucré et donnez à boire. — *Autre.* Vingt
feuillets de rue, deux de noyer royal (*noyer ordinaire*), un grumeau de
sel, deux figues sèches; faites manger; quiconque usera de ce remède ne
3 craindra aucun poison. — On attribue les mêmes propriétés au bouillon
de poule cuite avec l'origan, jusqu'à ce que la chair soit réduite en
bouillie, et aussi à l'opobalsamum pris avec du lait de femme ou avec de
l'eau.

65. TRAITEMENT DE CEUX QUI SONT ÉTOUFFÉS PAR LES CHAMPIGNONS.

1 L'oxymel bu avec du nitre, la fiente de poules domestiques délayée
dans de l'oxymel, soulagent ceux qui sont étouffés par les champignons;
2 donnez avec de l'eau, après avoir broyé. Donnez aussi à manger des rai-
forts aussi cuits que possible, ou encore calcinez de la lie de vin, broyez
et faites boire la poudre avec de l'eau.

Ch. 64; l. 5. [καί] om. Codd. — Ch. 65; l. 7. [κουφίζει] Gal.; om. Codd.

ξς'. Πρὸς γάλα τυρωθέν.

Ὄξος πότιζε, ἢ γλυκὺ πότιζε, ἢ πυτίαν ὡς πλείστην μετὰ ὕδα- 1
τος κρηναίου δίδου, ἢ σίλφιον καὶ θεῖον ἴσα· τρίψας διὰ ὀξυκρά-
του πότιζε.

ξζ'. Πρὸς βδέλλας.

Ὄξει ὡς δριμυτάτῳ πότιζε, ἢ ὀξάλμῃ. Χρηστέον δὲ καὶ τοῖς τὴν 1-2
5 κοιλίαν λύουσι· συνεκτρέχειν γὰρ εἰώθασι τοῖς διαχωρήμασι. Ποιεῖ 3
δὲ καὶ χυλὸς ἀναγαλλίδος πινόμενος, καὶ θῦμος λεῖος σὺν ὄξει δρι-
μεῖ πινόμενος. Ἡμεῖς δὲ διὰ σκορόδων βρῶσιν ἐκβάλλοντες αὐτὰς, 4
οὐδενὸς τῶν εἰρημένων χρήζομεν.

ξη'. Πρὸς τὰς τῶν σφηκῶν καὶ μελισσῶν πληγάς.

Μαλάχης φύλλα τρίψας ἐπιτίθει, ἢ σησάμου φύλλα, καὶ αὐτὸ 1
10 τὸ σήσαμον κατάπλασσε.

66. CONTRE LE LAIT CAILLÉ DANS L'ESTOMAC.

Faites boire du vinaigre, ou du vin d'un goût sucré, ou de la présure 1
en abondance avec de l'eau de fontaine, ou du *silphium* et du soufre à
doses égales; broyez et donnez à boire avec de l'oxycrat.

67. CONTRE LES SANGSUES AVALÉES.

A ceux qui auront avalé des sangsues on fera boire du vinaigre très- 1
fort ou de la saumure. On usera aussi des médicaments qui relâchent le 2
ventre, car les sangsues sortent le plus souvent avec les excréments. On 3
pourra boire également le suc de mouron ou du *thym* pilé dans du vi-
naigre très-fort. Mais, pour nous, qui chassons les sangsues en faisant 4
manger de l'ail, nous ne nous servons d'aucune des recettes précédentes.

68. CONTRE LES PIQÛRES DES GUÊPES ET DES ABEILLES.

Pilez des feuilles de mauve et appliquez-les sur les piqûres, ou em- 1
ployez en cataplasme soit les feuilles de sésame, soit le sésame tout en-
tier.

ξθ'. Πρὸς σκολόπενδραν.

1 Ὀξάλμῃ δριμείᾳ θερμῇ κατάντλει, καὶ τέφραν μετὰ ὄξους κατάπλασσε.

ο'. Πρὸς μυγαλᾶς.

1 Σκόροδα συντρίψας σὺν τοῖς λεπίσμασι, καὶ κύμινον ἴσον ὄγκῳ, διεὶς ἐλαίῳ κατάπλασσε τὸ δῆγμα καὶ συνάλειφε τοὺς κύκλῳ τό-
2 πους. Ἂν δὲ ἐκραγῇ καὶ ἕλκος γένηται, ὀξάλμῃ κατάντλει καὶ 5
κριθὴν κατακαύσας κατάπλασσε ἐπὶ τὰ ἕλκη· οὐκ ἐκραγήσεται δὲ εἰ μὴ κύουσα δάκνῃ μυγαλῆ.

οα'. Πρὸς κυνοδήκτους καὶ ἀνθρωποδήκτους καὶ πιθηκοδήκτους.

1 Σπόγγον ὄξει δεύσας ἐπιτίθει· ἢ μαράθρου ῥίζαν κόψας μετὰ μέλιτος ἐπιτίθει, ἢ ἶριν ἰλλυρικὴν λείαν μετὰ μέλιτος, ἢ σῦκον ἢ ἀμύγδαλα πικρὰ τρίψας ἐπιτίθει· ἢ λιθάργυρον καὶ ἅλας λεάνας 10

69. CONTRE LA SCOLOPENDRE.

1 Lavez avec de la saumure très-forte et chaude l'endroit qui a été piqué par une scolopendre; on peut aussi appliquer de la cendre délayée dans du vinaigre.

70. CONTRE LA MUSARAIGNE.

1 Pilez de l'ail avec ses enveloppes et du cumin en quantité égale; délayez dans l'huile; mettez un cataplasme sur la morsure, et avec le jus
2 oignez les parties voisines. S'il y a une rupture et une plaie, on l'arrosera de saumure et on y appliquera de l'orge grillée; mais il n'y aura pas de rupture, si la morsure est faite par une musaraigne qui n'est pas pleine.

71. CONTRE LES MORSURES DE CHIEN, D'HOMME OU DE SINGE.

1 Appliquez, soit une éponge imbibée de vinaigre, soit de la semence de fenouil broyée avec du miel, soit de l'iris d'Illyrie avec du miel, soit des figues, soit des amandes amères pilées, soit de la litharge et du sel

CH. 70; l. 5. ἐκ ῥαγῶν M; ἐκ ῥαγῇ V. 7 εἰ] ἢ Codd. Ib. δαῇ Codd.

ἐπιτίθει. Πρὸς δὲ τὰ ἤδη πεπυωμένα, ὄροβον λεῖον μετὰ μέλιτος 2
ἐπιτίθει. Πρὸς δὲ τὰ θερμαίνοντα λιθαργύρῳ λείῳ μετὰ ὕδατος 3
κατάχριε.

οϛ'. Πρὸς λυσσοδήκτους.

Καρκίνους ζῶντας ἐπὶ λοπάδος θεὶς ἐξ ἐρυθροῦ χαλκοῦ καίειν 1
5 δεῖ ἄχρις οὗ τεφρωθῶσιν ὡς εὐκόλως λειοῦσθαι· καίειν δεῖ μετὰ
Κυνὸς ἐπιτολὴν, ὄντος ἡλίου μὲν [ἐν] Λέοντι, τῆς δὲ σελήνης ὀκτω-
καιδεκαταίας, καὶ ποιεῖν φάρμακον· οἷς (τῆς?) μὲν τῶν καρκίνων
τέφρας ἐμβάλλοντα μοίρας δέκα, γεντιανῆς δὲ μοίρας ε' καὶ λιβανω-
τοῦ μοῖραν μίαν, καὶ δίδου πίνειν ἐξ αὐτοῦ τοῖς λυσσοδήκτοις κατὰ
10 ἑκάστην ἡμέραν ἄχρι τῆς μ', ἐπιπάσσων ὕδατι κοχλιάριον ἓν εὐμέ-
γεθες· εἰ δὲ μετὰ ἡμέρας τινὰς τοῦ δηχθῆναι προνοῇ τοῦ δεδηγμέ-
νου, δύο κοχλιάρια δίδου. Κατὰ δὲ τοῦ τραύματος, χρῶ φαρμάκῳ 2
λαμβάνοντι (?) μίαν μὲν λίτραν τῆς Βρυτίας πίτ[η]ς, δριμυτάτου δὲ
ὄξους ξέστ[η]ν Ἰταλικὸν καὶ ὀποπάνακος οὐγγίας τρεῖς. Τούτοις εἴ 3

broyé. Si la suppuration est déjà établie, on emploiera la poudre d'ers 2
avec du miel. Les plaies enflammées, enduisez-les avec de la litharge pilée 3
et délayée dans de l'eau.

72. CONTRE LA MORSURE DES CHIENS ENRAGÉS.

Mettez des crabes vivants dans un plat de cuivre rouge et laissez-les 1
brûler jusqu'à ce qu'ils soient réduits en une cendre parfaitement uniforme; mais cette opération doit se faire après le lever du Chien, lors du passage du soleil dans le Lion, et au dix-huitième jour de la lune; préparez le médicament de la manière suivante : pour dix parties de crabes, mettez cinq parties de gentiane et une d'encens; jetez-en une grande cuillerée dans de l'eau, et faites boire chaque jour, pendant quarante jours, à ceux qui ont été mordus par un chien enragé; mais, s'il s'est écoulé quelques jours depuis la morsure quand vous entreprenez le traitement, donnez deux cuillerées. Appliquez sur la blessure elle-même 2
le médicament où il entre une livre de poix de Brutium, un setier italien de vinaigre très-fort, et trois onces d'opopanax. En usant de ce médi- 3

2. ἐπιτίθει om. MV. — CH. 72; l. 4. Καὶ εἰ δεῖ Codd. — 6 [ἐν] om. Codd.

4 τις χρῷτο, σώσει τοὺς λυσσοδήκτους ἀεί. Ἡ ξηρὰ δὲ καλαμίνθη
πρὸς τὰ τῶν ἰοβόλων δήγματα ποιεῖ, ῥᾳδίως ἐκ τοῦ βάθους ἐπι-
5 σπωμένη πρὸς ἑαυτὴν πᾶσαν τὴν περικειμένην ὑγρότητα. Καὶ τὸ
κέστρον δὲ ἐπιπαττόμενον τοῖς ἕλκεσι βοηθεῖ πᾶσι τοῖς τῶν θη-
6 ρίων δήγμασι, καὶ τὸ εἰς ὀθόνιον ὁμοίως. Πινόμενα δὲ πηγάνου
ἀγρίου σπέρμα, πυτία νεαροῦ λαγωοῦ, σεύτλου ῥίζης χυλὸς, ταῦτα
σὺν οἴνῳ λαμβανόμενα.

ογ'. Πρὸς τὸ λαμβάνειν ἐχίδνας ἀλύπως.

1 Δρακοντίου τῆς ῥίζης χυλῷ ἐάν τις συγχρίσῃ τὰς χεῖρας, λαμβά-
2 νοι ἂν ὁ τοιοῦτος ἐχίδνας ἀλύπως. Ἀλλὰ τί ταῦτα γράφομεν πρὸς
σὲ πεπειραμένον τῆς διὰ ἐχιδνῶν θηριακῆς, καὶ γινώσκοντα σαφῶς
ὡς ἐναργῆ καὶ διὰ ταχέων βοηθεῖ τοῖς ὑπὸ τῶν ἰοβόλων δηχθεῖσι,
καὶ τοῖς προσενεγκαμένοις τι δηλητήριον, ἥγε ἄριστα κατα-
σκευασθεῖσα, δηλονότι μετὰ ἐπιμελείας τῆς πολλῆς καὶ ἐμπειρίας

cament, on guérira toujours ceux qui auront été mordus d'un chien en-
4 ragé. La *calaminthe* sèche est bonne aussi contre la morsure des animaux venimeux, car cette plante attire facilement à elle toute l'hu-
5 midité répandue dans les diverses parties du corps. Le *cestrum*, si on en saupoudre les plaies, ou si on l'étend sur un linge, guérit également
6 les morsures des animaux venimeux. La graine de rue sauvage, la présure de levraut, le suc de la racine de bette, sont aussi employés avec du vin.

73. COMMENT ON PEUT PRENDRE LES VIPÈRES SANS DANGER ET COMMENT ON PRÉPARE LA THÉRIAQUE.

1 Si on enduit ses mains avec le suc de la racine de serpentaire, on
2 pourra prendre les vipères sans courir de danger. Mais pourquoi vous écrire ces choses à vous, Eunape, qui avez une grande habitude de la thériaque aux vipères, à vous qui n'ignorez pas que c'est un spécifique infaillible et prompt pour ceux qui ont été mordus par des animaux venimeux, ou qui ont pris quelque poison, pourvu toutefois que la thériaque soit excellemment préparée, c'est-à-dire avec le plus grand soin,

12. ἄγε Codd.

ἀκριβεστάτης, καὶ τῶν ἐμβαλλομένων τὴν οἰκείαν τε ἀρετὴν ἐχόντων καὶ μήτε διὰ χρόνων μήτε διὰ γένους ἀσθενῶν ὑπαρχόντων· ὡς ἥ γε ὑπὸ τῶν πολλῶν διὰ ἐμπειρίαν κατασκευαζομένη τε καὶ πιπρασκομένη χρυσίου μόνον ὄνομα κέκτηται πόρρω τῆς εἰρημέ-
5 νης ἐνεργείας οὖσα, τῷ, τὰ μὲν διὰ τὸ ἀγνοεῖσθαι, τὰ δὲ διὰ τὸ τίμια τυγχάνειν πολλὰ τῶν ἁπλῶν μὲν βάλλεσθαι φαρμάκων. Ἀλλὰ αὐτός γε οὐκ ἀπορήσεις τῆς καλλίστης θηριακῆς, οὐδὲ οἱ 3
παραπλησίως σοι φιλιατροῦντες· λήψεσθε δὲ ἀεὶ παρὰ ἡμῶν τε καὶ τῶν ὁμοίως ἡμῖν σκευαζόντων· διόπερ οὐδὲ τὴν γραφὴν αὐτὴν
10 ἐγράψαμεν, δυσχερεστάτην αὐτῆς εἰδότες τὴν ἀρίστην κατασκευήν, ὥστε οὐδὲ τοὺς ἰατροὺς πάντας ταύτης εὐτυχηκέναι τῆς ἐμπειρίας.

par un homme qui en ait une expérience parfaite, et en employant des ingrédients qui aient conservé toute leur vertu et à qui ni le temps ni l'espèce n'aient rien enlevé de leur force ; tandis que celle qu'on fabrique ordinairement d'après des recettes empiriques et qu'on débite aux malades, n'ayant de l'or que le nom, est loin de posséder les qualités que j'ai décrites, ce qui tient en partie à ce que les marchands ne connaissent pas les médicaments simples qui sont requis, en partie à ce que beaucoup de ces médicaments, étant trop chers, n'entrent pas dans sa composition. Quant à toi, tu n'ignoreras pas, et ceux aussi le sauront qui, 3
comme toi, méritent le titre de *philiatres*, quelle est la meilleure thériaque; tu en recevras toujours de nous et de ceux qui la font d'après notre méthode; c'est pour cela que je n'ai pas cru devoir en donner ici la formule, convaincu que la bonne manière de la préparer est très-difficile à enseigner, si bien que les médecins eux-mêmes ne parviennent pas très-facilement à ce degré d'expérience.

10. αὐτοῦ Codd.

ΒΙΒΛΙΟΝ Δ'.

[ΠΡΟΟΙΜΙΟΝ.]

Συμπληρουμένου καὶ τοῦ περὶ τῶν διαθέσεων λόγου, καιρὸς ἤδη τῶν πεπονθότων τόπων τὰς ἰάσεις διελθεῖν, ἀπὸ τῶν περὶ τῶν κεφαλὴν συνιστάμενων παθῶν ἀρξάμενον.

α'. Περὶ κεφαλαλγιῶν καὶ σειρίων.

1 Τὰ μὲν ἐπὶ ταῖς ἐγκαύσεσι κεφαλῆς ἰᾶσθαι προσήκει ἀνάλῳ ῥοδίνῳ πᾶν καταβρέχοντα τὸ βρέγμα, φειδόμενον τοῦ ὄπισθεν τῆς 5 κεφαλῆς μέρους τοῦ κατὰ τὸ ἰνίον· οὔτε γὰρ ἐγκαίεται ῥᾳδίως· καὶ, ἐνταῦθα οὔσης τῆς ἀρχῆς τοῦ νωτιαίου, παρακολουθήσῃ τις 2 βλάβη. Μὴ παρόντος δὲ τοῦ ῥοδίνου, τῷ ὀμφακίνῳ ἐλαίῳ χρήσῃ.

LIVRE IV.

PRÉAMBULE.

Après avoir achevé le livre où il est parlé des diathèses (*états pathologiques généraux*), il est temps d'arriver au traitement des lieux affectés (*maladies spéciales*), et c'est par les affections de la tête que je commence.

1. DES DOULEURS ET DE L'INFLAMMATION DE LA TÊTE PAR INSOLATION.

1 On guérit les douleurs de tête qui viennent de l'extrême chaleur en oignant le sinciput d'huile aux roses non salée, en s'abstenant de toucher la partie postérieure de la tête qui est proche de la nuque, car la tête en cet endroit n'est pas facilement atteinte par l'excès de la chaleur; puis, comme la moelle épinière y prend son origine, il pourrait s'ensuivre quelque dommage [par suite du refroidissement que cause 2 l'huile aux roses]. Si vous n'avez pas d'huile aux roses sous la main,

Παραλήψῃ δὲ τὸ χαμαιμήλινον ἐπί τε τῶν παίδων καὶ τῶν γυναικῶν 3
καὶ τῶν ἀπαλοσάρκων, ἐπὶ ὧν δεῖ μὲν ἐμψύξεως, οὐ μὴν [δὲ] σφο-
δροτέρας. Ψύχειν δὲ δεῖ ταῦτα καὶ οὕτω προσφέρειν ἱσλῶντας ἐν 4
ὕδατι ψυχρῷ, καὶ, εἰ παρείη, χιόνι περιπλάτλοντας τὸ ἀγγεῖον·
5 ἀπορίας δὲ οὔσης τούτων συμπλέκειν ὄξους [μέρος ἓν] τοῦ ῥοδίνου
μέρεσι τέτλαρσι. Σφοδρῶς δὲ ἐγκεκαυμένης τῆς κεφαλῆς, χυλὸν 5
ἀειζώου ἢ ἀνδράχνης ἢ θριδακίνης ἢ ψυλλίου, ἢ ὀμφάκιον σλαφυ-
λῶν ἀώρων, μιγνύς ποτε καὶ χύλισμα τῶν ξεσμάτων τῆς κολοκύν-
θης. — Τὰς δὲ ἐπὶ ταῖς ψύξεσιν ἰάσεις καταιονῶν τὸ βρέγμα, πηγα- 6
10 νίνῳ ἢ δαφνίνῳ ἐλαίῳ. Σφοδροτέρας δὲ εἴ ποτε θερμασίας δεηθεὶς, 7
εὐφορβίου ἐπεμβαλεῖς τῷ ἐλαίῳ βραχὺ, καὶ ἀλείψεις δὲ ναρδίνῳ
μύρῳ καὶ ἀμαρακίνῳ τὸ μέτωπον, χρίσεις τινὶ τῶν θερμαινόντων
καὶ τῶν ῥινῶν καὶ τῶν ὤτων τοὺς πόρους. Τινὲς δὲ καὶ τὰ τῶν 8
ποδῶν ἴχνη καὶ τὴν ἕδραν χρίουσι. — Χρονιζούσης δὲ τῆς κεφαλαλ- 9
15 γίας διὰ θερμὴν ἢ ψυχρὰν δυσκρασίαν, ξυρᾶν δεῖ τὴν κεφαλὴν καὶ

vous pourrez vous servir d'huile au verjus. L'huile à la camomille convient 3
pour les enfants, les femmes et les personnes dont la chair est molle,
qui réclament, il est vrai, une réfrigération, mais qui ne la souffrent
pas très-forte. On refroidit préalablement tous ces médicaments en les 4
plaçant dans un vase rempli d'eau très-froide, ou en entourant le vase
de neige, si on peut s'en procurer; à défaut d'eau ou de neige, on ajou-
tera à quatre parties d'huile aux roses un quart de vinaigre. Si la tête est 5
en proie à une chaleur extrême, on emploiera le suc de joubarbe ou de
pourpier, de laitue, de pulicaire, ou de jus exprimé de raisins verts,
en y mêlant quelquefois du suc de raclures de la courge. — Quant aux 6
douleurs qui sont produites par le froid, on les traitera en arrosant le
sinciput avec de l'huile à la rue ou aux baies de laurier. Si on a besoin 7
d'une chaleur plus forte, on ajoutera à l'huile un peu d'euphorbe, on
enduira le front avec l'onguent de nard et de l'origanum maru, puis
on oindra les ouvertures des narines et des oreilles avec quelque subs-
tance réchauffante. Certains médecins oignent aussi la plante des pieds 8
et l'anus. — Lorsque la douleur de tête, provenant d'une intempérie 9
chaude ou froide, s'est invétérée, on rasera la tête et on emploiera les

2. [δέ] om. Codd. — 5. [μέσος ἕν] Gal.; om. Codd. Vers. antiq.

χρῆσθαι τούτοις ἐμπλάστοις τε καὶ κηρωτοειδέσι φαρμάκοις, ψύχοντας μὲν τὰς θερμὰς δυσκρασίας διὰ τῶν ἰωμένων τὰ ἐρυσιπέλατα, θερμαίνοντας δὲ τὰς ψυχρὰς διὰ τῶν θερμαινόντων, ὁποῖόν ἐστι καὶ τὸ ἁπλοῦν διὰ εὐφορβίου, μίαν μὲν ἔχων οὐγγίαν τοῦ εὐ-
10 φορβίου, τρεῖς δὲ κηροῦ, καὶ ἐλαίου λίτραν α'. — Ἐπὶ δὲ τῶν διὰ 5
δριμὺν χυμὸν κεφαλαλγούντων κατὰ τὸ στόμα τῆς γαστρὸς ἀθροιζόμενον καὶ ἀτμοὺς εἰς τὴν κεφαλὴν ἀναπέμποντα, μάλιστα μὲν διὰ
11 ἐμετῶν κενοῦν προσήκει τὸν λυποῦντα χυμόν. Εἰ δὲ ὁ πάσχων ἐμεῖν μὴ δύναται, τρέφειν αὐτὸν τάχιστα χρὴ εὐπέμπτῳ καὶ εὐστομάχῳ τροφῇ καὶ συμμέτρῳ τῇ ποσότητι· τῇ δὲ ὑστεραίᾳ διδόναι 10
πιεῖν ἀψίνθιον καὶ τοῦ λοιποῦ διαιτᾷν αὐτὸν οὕτως, ὡς πέτλοντας ἀκριβῶς· περὶ δὲ τρίτην ὥραν ἢ τετάρτην ἄρτου τι προσφέρεσθαι, τοσοῦτον ὡς αὔταρκες διάστημα σχεῖν ἄχρι τῆς ὥρας τοῦ
12 λουτροῦ. Εἰ δὲ μή τις δύναιτο καὶ αὐτὸν ἐσθίειν ἄρτον, ἐλαιῶν ἢ σταφυλῶν ἢ φοινίκων ἢ τινὸς τοιούτου προσφερέσθω, τὸ κάλλιον 15
13 ἐκ τῆς πείρας αἱρούμενος. Κακίστη δὲ διάθεσις ἐπὶ μοχθηροῖς συνί-

substances déjà indiquées, puis les emplâtres et les cérats, de façon à refroidir les intempéries chaudes avec les choses qui conviennent pour le traitement de l'érésipèle, et à réchauffer les froides avec les médicaments qui réchauffent, comme est le médicament simple à l'euphorbe, dans lequel il entre une once d'euphorbe, trois onces de cire et une livre
10 d'huile. — On traitera par les évacuations, surtout au moyen des vomissements, afin d'expulser l'humeur nuisible, la douleur de tête produite par l'humeur âcre amassée à l'orifice de l'estomac et qui envoie des
11 vapeurs à la tête. Si le malade ne peut vomir, on lui donnera sans retard, mais en quantité modérée, des aliments de facile digestion et qui conviennent à l'estomac; le jour suivant on lui fera boire de l'absinthe et on réglera le reste du régime de façon à favoriser la digestion; on ne lui accordera du pain que vers la troisième ou quatrième heure, et seulement en quantité suffisante pour le mener jusqu'au moment du bain.
12 Dans le cas où le malade ne peut manger de pain, on lui donnera des olives, des raisins, des dattes ou quelque chose de semblable, en choi-
13 sissant ce que l'expérience indiquera comme préférable. L'affection cau-

5-6. διαδρομήν V. — 11. αὐτούς Gal. (qui supra plur. habet) Codd. Vers. antiq.

σται χυμοῖς, ἐπειδὰν ἀναποθῶσιν οἱ χυμοὶ εἰς τοὺς χιτῶνας τῆς γαστρὸς, οὓς κενοῦν χρὴ τῇ διὰ τῆς ἀλόης πικρᾷ. — Εἰ δὲ θερμότης 14
ἅμα φυσωδεῖ πνεύματι τὴν κεφαλαλγίαν ἐργάζοιτο, καταρχὰς μὲν διὰ τῶν ψυχόντων τῇ ἀποκρουστικῇ θεραπείᾳ χρησόμεθα μόνῃ·
5 μετὰ δὲ ταῦτα προσπλέξομέν τι τοῖς ἀποκρουστικοῖς τῶν παρηγορεῖν καὶ συμπέτλειν δυναμένων· εἶτα προσθήσομέν τι καὶ τῶν διαφορητικῶν, ἐλαττοῦντες καὶ ὀλίγον τὴν ἀποκρουστικὴν δύναμιν ὡς πλεῖστον μὲν γενέσθαι τὸ λεπτυνοῦν καὶ διαφοροῦν, ἔλαττον δὲ τὸ συμπέτλον καὶ παρηγοροῦν, βραχύτατον δὲ τὸ ἀποκρουστικόν·
10 πολλάκις γὰρ σφήνωσις γίνεται κατὰ τοὺς πόρους ἀτμώδους πνεύματος ἢ καὶ χυμῶν παχέων καὶ γλίσχρων οὕτως, ὡς μόλις ἐν πλείονι χρόνῳ λύεσθαι τὴν γεγονυῖαν ἔντασιν. — Εἰ δὲ διὰ ὑπερ- 15
βολὴν πυρετῶν συστάσει κεφαλαλγία, μὴ δηλοῦσα κρίσιν, ψύχων τῇ τε ποιότητι καὶ τῇ δυνάμει τῶν προσαγομένων ἰάσῃ διὰ [ὑδρ]ελαίου
15 καὶ ὀξυροδίνου καὶ κωδυῶν ἐνεψηθεισῶν ἐλαίῳ. — Καὶ τὴν διὰ οἴνου 16

sée par les humeurs peccantes est très-grave lorsque ces humeurs sont logées dans les tuniques du ventricule; il est urgent de les évacuer avec la *picra* à l'aloès. — La chaleur jointe aux flatuosités est-elle la cause 14
de la douleur de tête, nous n'emploierons d'abord que le traitement répercussif à l'aide des réfrigérants; puis à ces médicaments nous joindrons ceux qui adoucissent et ont la faculté de cuire; ensuite nous ajouterons quelque remède diaphorétique, diminuant peu à peu la force des répercussifs de façon que ce qui atténue et digère soit supérieur en force, ce qui adoucit et cuit soit plus faible, et que soient beaucoup plus faibles enfin les répercussifs; il arrive souvent, en effet, qu'il se produit dans les méats un enclavement du pneuma flatulent ou de sucs épais et glutineux; cet enclavement est quelquefois si grand, que l'obstacle n'est écarté qu'après un long intervalle de temps. — Si la violence de la fièvre cause 15
le mal de tête et n'annonce pas la crise, recourant aux substances douées de qualité et de puissance réfrigérantes, employez un mélange d'eau et d'huile, d'huile et de vinaigre, et de l'huile où l'on a cuit des têtes de pavot. — On traitera aussi par les réfrigérants les douleurs de 16

14. [ὑδρ]ελαίου Gal.; ἐλαίου Codd.; *oleo* Vers. antiq.

πόσιν ἄμετρον κεφαλαλγίαν τοῖς ψύχουσι θεραπεύσεις· θερμοὶ γὰρ εἰσὶν οἱ τὴν κεφαλὴν ἀνιῶντες ἀτμοί· ῥόδινον δὲ ἀρκεῖ μὴ πάνυ
17 ψυχρὸν προσαγόμενον. Συμφέρει δὲ καὶ ἡσυχία καὶ ὕπνος, τῇ τε ἑσπέρᾳ λουσάμενον τροφαῖς εὐχύμοις χρῆσθαι μὴ θερμαινούσαις, οἷαί εἰσι πτισάνης χυλὸς καὶ ῥόφημα χόνδρου καὶ ὠὰ ῥοφητὰ γάρου χωρὶς, καὶ θριδακίνη ψύχουσά τε καὶ εὐχυμωτάτη τυγχάνουσα, καὶ κράμβη· ξηραίνει γὰρ τοὺς ἀτμούς· ὁμοίως δὲ καὶ φακή· πινέτω
18 δὲ πάντως μὲν ὕδωρ. Εἰ δὲ ἀνατρέποιτο ὁ στόμαχος, ῥοιᾶς ἐπι-
19 λαμβανέτω, καὶ μήλου ἑφθοῦ ἢ ἀπίου. Ὕπνου δὲ ἐπὶ τούτοις γενομένου, τῇ ἑξῆς λούειν αὐτὸν, θερμὸν ὕδωρ καταχέοντας πολλάκις· μετὰ τοῦτο δὲ πάλιν ὑπνώσαντα ἢ ἡσυχάσαντα, λούειν δεύτερον
20 καὶ τρέφειν ὁμοίως. Εἰ δὲ ἄμεινον διατεθείη καὶ μὴ φέρῃ τὴν ὑδροποσίαν, οἶνον ὑδατώδη πίνειν ἐπιτρέπειν ὑδαρέστερον· τρεφέσθωσαν δὲ ἰχθύων πετραίων καὶ τῶν ἁπαλοσάρκων, καὶ περιστερῶν νεοττῶν ἑψημένων χωρὶς γάρου καὶ οἴνου, κατὰ τοὺς ἁπαλοὺς ζωμοὺς ἐξ ὕδατος μόνου καὶ ἀνήθου καὶ πράσου βραχέος σκευαζομέ-

tête causées par l'excès du vin; car les vapeurs qui rendent la tête douloureuse étant chaudes, il suffit d'appliquer en topique l'huile aux roses
17 attiédie. On se trouvera bien aussi du repos et du sommeil; les malades se baigneront le soir et feront usage de mets d'un bon suc et non échauffants, tels que la ptisane d'orge, la crème de froment, les œufs à la coque sans garum, la laitue, qui rafraîchit et donne un excellent suc; le chou, car il dessèche les vapeurs; les lentilles agissent de même; l'eau sera l'unique
18 boisson. Si l'estomac se soulève, on mangera soit de la grenade, soit une
19 pomme, soit une poire cuites. Après le sommeil qui survient ordinairement, le malade prendra un bain d'eau chaude avec de fréquentes affusions; après quoi il dormira ou se reposera et de nouveau entrera
20 au bain; la nourriture sera la même. Quand l'état commence à devenir meilleur, et si le patient ne peut supporter l'eau, donnez-lui pour boisson du vin aqueux bien trempé, et pour nourriture des poissons saxatiles dont la chair est tendre, des pigeonneaux cuits sans garum et sans vin, dans des jus simples faits seulement avec de l'eau, de l'anet et un

4. μή] καί M.

νου, καὶ ἁλῶν συμμέτρων ἐπεμβαλλομένων μετὰ τὴν ἕψησιν τὴν αὐτάρκη. Ἀπομείναντος δέ τινος λειψάνου τῶν ἀτμῶν ἢ χυμῶν, 21
παραμενούσης δὲ τῆς σφηνώσεως καὶ ὀδύνης, τὸ μὲν ῥόδινον μηκέτι προσφέρειν, χαμαιμηλίνῳ δὲ χρῆσθαι θερμῷ μετρίως καὶ
5 ὕστερον ἰρίνῳ· κατὰ τοῦτο μὲν ταῦτα μιγνύειν, ποτὲ μὲν ἀμαρακίνου, ποτὲ δὲ νάρδου. — Τὴν δὲ ἐπὶ πληγῆς κεφαλαλγίαν ἢ κατα- 22
πλώσεως γινώσκειν μὲν μηδὲ φλεγμονῆς διαφέρειν· εἰ δὲ εἴσω τοῦ κρανίου διαδοθείη τὰ τῆς φλεγμονῆς οὐκ ἀκίνδυνον τὴν τοιαύτην κεφαλαλγίαν νομιστέον. Χρὴ οὖν ἀπὸ φλεβοτομίας καὶ κλυστήρων 23
10 ἐπὶ τούτων τὴν ἀρχὴν τῆς θεραπείας ποιεῖσθαι, καὶ πυριᾷν διὰ σπόγγων, καὶ πίλημα ἐκ μαλακῶν ἐρίων ἐλαίῳ θερμῷ δεδευμένον ἐπιτιθέναι, καὶ ἄλλα ποιεῖν, ὅσα ἐπὶ ταῖς φλεγμοναῖς. — Ἐπὶ δὲ 24
τῶν σειριώντων παίδων ὠφελίμως κατὰ τοῦ βρέγματος ἐπιτίθεται κολοκύνθης ξέσματα, ἢ σικύου τοῦ πέπωνος τὸ παρακείμενον τῇ

peu de poireaux, jus dans lequel, après une coction suffisante, on met une quantité modérée de sel. Si les vapeurs ou les humeurs laissent 21
quelques reliquats, que l'enclavement et la douleur persistent, on ne se servira plus d'huile aux roses, mais d'huile à la camomille tiède, et ensuite de l'huile à l'iris; on peut même y mêler tantôt l'huile à l'origanum maru, tantôt l'huile au nard. — Quant à ceux qui souffrent de 22
la tête par suite d'une blessure ou d'une chute, on saura que ce cas ne diffère en rien d'une inflammation; si l'inflammation pénètre jusque dans l'intérieur du crâne, la douleur de tête ne sera pas sans danger. En conséquence, on commencera le traitement par la saignée et les 23
lavements; on fera des fomentations avec des éponges, et on appliquera des gâteaux de charpie de laine douce trempée dans l'huile chaude; enfin on fera tout ce qui convient contre les inflammations. — Pour l'affec- 24
tion dite *siriasis* (*insolation*) qui se produit chez les enfants, on place utilement sur le sinciput des raclures de courge, ou la pellicule qui,

7. γιγώσκειν μὲν..... διαφέρειν] *cognoscendum est si multa est inflammatio et tumor in testa capitis* Verss. antiq. — Ib. φλεγμονήν Codd. — 12-p. 691, l. 2. Ἐπὶ δὲ τῶν σειριώντων παίδων ὠφελίμος κατὰ τοῦ βρέγματος..... μετὰ ῥοδίνου om. Verss. antiq. Cf. *Synopsis*, VIII, 22; Paul. I, 13.

σαρκὶ δέρμα, ἢ σΙρύχνου τοῦ κηπαίου τῶν φύλλων ὁ χυλὸς μετὰ ῥοδίνου.

β'. Περὶ κεφαλαίας.

1 Τὴν χρονίαν καὶ δύσλυτον κεφαλαλγίαν, καὶ παροξυνομένην σφοδρῶς ἐπὶ μικραῖς αἰτίαις οὕτως ὡς μήτε ψόφον μήτε μείζονα
2 φωνὴν φέρειν μήτε αὐτὴν σφοδροτέραν, κεφαλαίαν καλοῦσιν. Καὶ δεῖ σκοπεῖσθαι πότερον πλῆθός ἐσΙι τὸ ποιοῦν αὐτὴν, ἢ ἔμφραξις ἢ φλεγμονή τις· εὑρήσεις γὰρ τὰς μὲν μετὰ βάρους ὀδύνας διὰ πλῆθος γινομένας, τὰς δὲ μετὰ δήξεως ἢ διὰ ἀτμῶν ἢ χυμῶν δριμύτητα, τὰς δὲ μετὰ σφυγμοῦ διὰ φλεγμονὴν ὑμενώδους σώματος,
3 μετὰ δὲ βάρους διὰ πλῆθος εἴσω τῶν ὑμένων κατεχομένων. Ἐὰν μὲν οὖν πλῆθος αἴτιον εὕρῃς χυμῶν ἢ ἀτμῶν, εἰ μὲν διὰ τὴν τοῦ παντὸς σώματος πλησμονὴν, τὸ πᾶν σῶμα κενώσας, ἰάσῃ τὴν κε-

dans la pastèque, adhère à la chair, ou le suc des feuilles de morelle potagère avec de l'huile aux roses.

2. DE LA CÉPHALÉE.

1 On appelle *céphalée* la douleur de tête invétérée dont la guérison est difficile et qui s'exaspère grandement par les plus petites causes, de telle sorte que le malade ne peut supporter ni le bruit, ni les éclats de
2 la voix, ni une lumière éclatante. On devra examiner si le mal vient de plénitude, d'obstruction, ou bien d'inflammation; en effet, les douleurs gravatives, vous le reconnaîtrez aisément, dénotent la surabondance des humeurs; les douleurs rongeantes, l'acrimonie des vapeurs ou des humeurs; les douleurs pulsatives, l'inflammation d'un corps membraneux (*méninges*); tandis que la pesanteur indique une grande quantité d'hu-
3 meurs répandue dans les membranes. Si donc la douleur est produite par une surabondance des vapeurs ou des humeurs, et si cette surabondance envahit tout le corps, vous traiterez la céphalée par une évacuation générale; si, au contraire, le mal tient à la faiblesse de la tête, on

1. μετά] κατά M. — CH. 2; l. 8. γινομένας] δηλούσας M V. — 12. κενώσας] *evacuandus est corpus fleuotomo et catartico* Verss. antiq.

φαλαγίαν· εἰ δὲ διὰ τὴν ἀσθένειαν, παρηγορουμένης (?) ἀντισπᾷν τὴν ὕλην εἰς ὅλον τὸ σῶμα, καὶ οὕτως ἰάσῃ τὸ μόριον· κλύσμασι μὲν οὖν ἀντισπάσεις καὶ διαδέσεσι καὶ τρίψεσι τῶν κάτω μερῶν πολλάκις, καί ποτε διὰ αἵματος κενῶν. Θεραπεύσεις δὲ τὸ μόριον, 4
5 ἡνίκα μὲν κέχρηται τοῖς ἀντισπασ|τικοῖς, διὰ τῶν ἀποκρουσ|τικῶν αἰονήσεων, μετὰ δὲ ταῦτα διὰ τῶν κενούντων, εἶτα διὰ τῶν ῥωννύντων· ἀποκρούεται μὲν οὖν τὸ ὀμφάκινον ἔλαιον καὶ ῥόδινον καὶ ὀξυρόδινον καὶ τὸ διὰ κωδυῶν καὶ θαλλῶν ἁπαλῶν ἐλαίας καὶ κισσοῦ κορύμβων ἡδυόσμου τε χλωροῦ σκευαζόμενον. Προσάγειν δὲ 5
10 ταῦτα χλιαρὰ μέν, ψυχροτέρου καὶ ὠμοτέρου τοῦ πλήθους ὄντος, ψυχρὰ δὲ θερμοτέρου καὶ χολωδεσ|τέρου. Διαφορεῖ δὲ τὸ θερμὸν 6
ἔλαιον, καὶ μᾶλλον τὸ παλαιὸν, καὶ τὸ ἀνήθινον καὶ τὸ σικυώνιον. Εἰ δὲ παχύτερον εἴη τὸ πλῆθος σφονδύλιον ἢ ἔρπυλλον ἐνέψων τῷ 7
ἐλαίῳ ἢ γλήχωνος κόμην ἢ καλαμίνθην ἢ ἡδύοσμον κενώσεις αὐτό.
15 Ταῦτα δὲ καὶ τόνον ἐντίθησι τῷ μορίῳ, διὸ καὶ μέχρι παντελοῦς 8

adoucira cette partie et on révulsera la matière dans tout le corps, ce qui soulagera la partie affectée; or c'est au moyen des lavements, de bandes, et de frictions répétées sur les parties inférieures, que l'on produit cette révulsion; quelquefois aussi on évacuera par la saignée. Après 4
l'usage des révulsifs, vous traiterez utilement la partie elle-même en employant des affusions douées d'une force répercussive, puis les évacuants, enfin les remèdes confortatifs : ce sont l'huile au verjus, aux roses, le mélange d'huile aux roses et de vinaigre, les médicaments préparés avec les têtes de pavots, les rejetons tendres de l'olivier, les sommités de lierre et la menthe odoriférante verte. Lorsque la matière accumulée 5
est froide et crue, ces substances doivent être employées tièdes; si elle est chaude et bilieuse, on les emploiera froides. L'huile chaude, sur- 6
tout celle qui est vieille, les huiles à l'anet et aux concombres sauvages, ont une force discussive. Si la matière épaisse domine, vous l'é- 7
vacuerez avec la berce, le serpolet, le chevelu du pouillot, la *calaminthe* ou la menthe odoriférante cuits dans de l'huile. Ces substances, outre 8
qu'elles évacuent le trop plein, donnent aussi de la force à la partie; il

1. παρηγορουμένης?] *si... capitis accessiones fiunt* Verss. antiq.; εἰ δὲ ὡς ἀσθενὴς ὑπάρχουσα ἡ κεφαλὴ δέχεται τὰ ἀναφερόμενα Gal.; Aët. II, II, 48.

9 ἰάσεως χρῆσθαι αὐτοῖς προσήκει. Καὶ χρείας γενομένης καὶ καθαίρειν διά τε ῥινῶν καὶ πλαρμοῖς, καὶ ἐν τοῖς λουτροῖς δὲ ἀνατρίβειν δεῖ τὴν κεφαλὴν ξηραῖς σινδόσι, καὶ διαπάτλειν ἁλσί τε καὶ νίτρῳ καὶ νάπυϊ χωρὶς ἐλαίου.

γ'. Περὶ ἡμικραίρας.

1 Καὶ τὸ ἥμισυ δὲ τῆς κεφαλῆς ὀδυνῶνταί τινες διὰ ἐπιῤῥοὴν ἀτμῶν ἢ χυμῶν ἢ ἀμφοτέρων· καθαίρειν οὖν αὐτοὺς ἢ φλεβοτομεῖν δεῖ πρότερον καὶ οὕτω τοῖς τοπικοῖς χρῆσθαι βοηθήμασι, ἀνατρίβοντας διά τε σινδόνων καὶ διὰ δακτύλων τῆς χειρὸς τὸ ἥμισυ μέρος τοῦ μετώπου, καὶ μάλιστα τὸ κατὰ τὸν κροταφίτην μῦν πρὸ τῶν παροξυντικῶν ὡρῶν· μετὰ δὲ τὸν παροξυσμὸν τοῖς ἡμικρανικοῖς. 5 10
2 Θερμασίας μὲν οὔσης αἰσθήσεως ἐν ταῖς ὀδύναις, τοῖς ἔχουσί τι ψυκτικόν· μὴ παρούσης δὲ ταύτης τοῖς θερμαίνουσιν ἱκανῶς· με-
3 μίχθω δὲ ἑκατέροις τῶν τονούντων τι διὰ τοῦ στύφειν. Κάλλιστον

9 convient donc de s'en servir jusqu'à parfaite guérison. Si le besoin s'en fait sentir, on pourra aussi purger par les narines au moyen des sternutatoires; il sera également utile de frotter la tête dans le bain avec des linges rudes et de faire une aspersion de sel, de *natron* et de moutarde, sans huile.

3. DE L'HÉMICRANIE (*MIGRAINE*).

1 Chez quelques-uns la douleur occupe la moitié de la tête; cette affection est produite par l'afflux soit des vapeurs, soit des humeurs, soit des unes et des autres; on doit donc d'abord ou purger ou saigner; puis on en vient à la médication topique : elle consiste à frotter avec des linges ou avec les doigts la moitié malade du front, surtout à l'endroit du muscle temporal, et cela avant l'heure de l'accès; après l'accès, on emploiera
2 les médicaments dits *hémicraniques*. Si un sentiment de chaleur se joint à la douleur, on usera des médicaments qui ont quelque vertu styptique, sinon de ceux qui réchauffent fortement; dans l'un et l'autre cas, on mêlera quelque substance qui donne de la force par sa faculté astrin-
3 gente. La meilleure onction réchauffante est la suivante : euphorbe,

2. δέ om. MV. — CH. 3; l. 7-8. ἀνατρίβοντα Codd. — 8. διά omr. MV.

δὲ ἐστὶ χρίσμα θερμαῖνον τὸ διὰ εὐφορβίου μὲν ἔχον ϛ α′, κηροῦ δὲ γ′, ἐλαίου δὲ λίτραν τινὸς τῶν λεπτομερῶν· χρίειν δὲ τούτῳ τὸ ἥμισυ μέρος τοῦ μετώπου μετὰ τοῦ κροταφίτου μυός. Χρησιμώ- 4
τατον δὲ ἐστὶ πρὸς τὰς ψυχρὰς διαθέσεις, ὡς πολλάκις ἅπαξ χρι-
5 σθὲν πρὸ τοῦ βαλανείου τῆς ὅλης ὀδύνης ἀπαλάτειν. Ὠφελεῖ δὲ 5
τοὺς οὕτω πάσχοντας καὶ εἰς τὸ οὖς ἐγχεόμενον χλιαρὸν ἔλαιον, εὐφορβίου βραχέος ἐμβεβλημμένου, ὡς ἀρκεῖν εἰς λίτραν μίαν τοῦ ἐλαίου οὐγγίαν ἥμισυ τοῦ εὐφορβίου.

δ′. Περὶ σεισοκεφάλου.

Στοιχάδα διὰ ὕδατος ἢ ὑδρομέλιτος δίδου πίνειν, καὶ ἀπαλάσ- 1
10 σονται.

ε′. Περὶ ἀλωπεκίας καὶ ὀφιάσεως.

Ἀλωπεκία καὶ ὀφίασις κοινὴν τὴν αἰτίαν τῆς γενέσεως ἔχουσαι, 1
κοινῆς καὶ τῆς ἰάσεως δέονται. Κέκληται δὲ ὀφίασις μὲν, διὰ τὸ 2

une once; eire, trois onces; huile à parties ténues, une livre; on en oindra la moitié du front et le muscle temporal. Ce remède est si 4 expédient dans les affections froides, que des onctions faites une fois seulement dans le bain ont pu enlever toute douleur. Cette affection est 5 aussi soulagée par l'instillation dans les oreilles d'huile tiède à laquelle on a mêlé une petite quantité d'euphorbe; il suffira d'une demi-once d'euphorbe pour une livre d'huile.

4. DE CEUX QUI ONT LA TÊTE TREMBLANTE.

Ceux qui ont la tête tremblante se guériront en buvant la lavande à 1 toupet avec de l'eau ou de l'hydromel.

5. DE L'ALOPÉCIE ET DE L'OPHIASIS.

L'alopécie et l'ophiasis ayant la même origine, leur traitement est 1 aussi le même. L'*ophiasis* est ainsi appelée parce que la peau présente 2

CH. 4; l. 9-10. ἀπαλάσσονται] *cataplasmare* Verss. antiq.

ὄφει τὸ σχῆμα παραπλησίον ἔχειν, ἀλωπεκία δὲ, διὰ τὸ τὴν ἀλώ-
3 πεκα τοιαύτῃ διαθέσει συνεχῶς ἁλίσκεσθαι. Διὰ τὸ μοχθηρίαν δὲ
ὑγρῶν συνίσταται, καὶ τὸ εἶδος τῆς μοχθηρίας ἡ χροία τοῦ δέρμα-
τος τῆς κεφαλῆς καταμηνύει σοι· λευκοτέρα μὲν γὰρ οὖσα, φλεγμα-
τικωτέραν αὐτὴν δηλώσει, μελαντέρα δὲ μελαγχολικωτέρα, ὠχρο- 5
4 τέρα δὲ πικρόχολος. Καὶ κενοῦν χρὴ τὴν κακοχυμίαν ἢ τοῖς διὰ
ἀλόης καὶ κολοκυνθίδος καταποτίοις, ἢ τῇ ἱερᾷ τῇ ἀναγραφησο-
μένῃ, εἰ μὲν ὁ μελαγχολικὸς πλεονάζοι χυμὸς, μέλανα ἐλλέβορον
αὐτῇ μιγνύντας, εἰ δὲ πικρόχολος, σκαμμωνίαν· εἰ δὲ τὸ φλέγμα,
μηδὲν μιγνύντας, καθαίροντας δὲ ἅπαν τὸ σῶμα καὶ τὴν κεφαλὴν κε- 10
νοῦντας τοῖς ἀποφλεγματισμοῖς, οὕτω προσφέρειν τὰ τοπικὰ βοηθή-
ματα τὰ διαφορητικὰ τῆς κακοχυμίας ὄντα καὶ λεπτομεροῦς οὐσίας.
5 Εἰ δὲ πρὸς τῷ διαφορεῖν καὶ ἐπισπᾶσθαι τὸ αἷμα δέοιτο,
6 καθάπερ ἡ θαψία, κάλλιστον ἂν εἴη τὸ τοιοῦτον. Ξυρῶντας δὲ τὴν

l'apparence de celle du serpent (ὄφις); l'*alopécie* a reçu ce nom parce que
3 le renard (ἀλώπηξ) est sujet à cette affection. Le plus souvent l'alopécie
naît d'humeurs viciées renfermées dans la tête; la couleur même de la
peau indique l'espèce de l'humeur : blanche, elle annonce l'humeur pi-
4 tuiteuse; noire, l'humeur mélancolique; pâle, la bile jaune. On évacuera
les humeurs malignes avec les pilules d'aloès, de coloquinte ou par la
hiera composée suivant la formule; si l'humeur mélancolique domine,
vous ajouterez de l'ellébore noir; si c'est la bile amère, de la scammo-
née; si c'est la pituite, n'ajoutez rien, mais purgez tout le corps, puis
vous désemplirez la tête avec des apophlegmatismes, et vous aurez re-
cours, pour dissiper les humeurs malignes, aux topiques diaphorétiques
5 d'une substance ténue. S'il y a besoin non-seulement de dissiper, mais
aussi d'extraire le sang, comme le fait la thapsie, il n'y a pas de
6 meilleur remède. Il est bon encore de raser la tête et de la frictionner;

7. καταπ., ἢ..... ἀναγραφ.] « *catapu-* « *tiis qui recepit aloe epatite* ℒ*iii coloquin-* « *tida* ℒ*iiii scamonia* ℒ*viii. absentii sucus* « ℒ*iiii. cum suco brassicæ facis catapatias* « *et das secundum virtutem vel ætatem aut* « *certe. yera.* Verss. ant. — 9-10. εἰ δὲ πικρόχ..... μιγνύντας om. M.; εἰ δὲ τὸ φλ..... μιγνύντας om. Verss. ant. — 13. δέοιτο] ἐπιτήδειον εἴη Gal.; δύναιτο Codd.; *possunt* Verss. ant.

κεφαλὴν καὶ ἀνατρίβοντας σκοπεῖν· εἰ γὰρ μετὰ ὀλίγην τρίψιν ἐρυθραίνοιτο τὸ μέρος, εὐίατον ὑπολαμβάνειν τὴν διάθεσιν· εἰ δὲ μετὰ τὴν προσφορὰν τοῦ φαρμάκου μή ποτε διὰ σφοδρότητα περαιτέρω τοῦ προσήκοντος ἐξεθέρμηνε τὸ δέρμα· δῆλον δὲ ἐστὶ
5 τοῦτο ξανθότερον τὴν χρόαν ὀφθέν· ἐπικαυθῆναι γὰρ κίνδυνος τὸ δέρμα πολλάκις τῷ αὐτῷ χρησαμένων ἡμῶν· ἀλλὰ, ἢ μεταβαίνειν ἐπί τι χρὴ τῶν μαλακωτέρων, ἢ τῷ αὐτῷ χρωμένους, ἐκλύειν χρὴ τὴν δύναμιν αὐτοῦ κηρωτῆς ἢ στέατος μίξει. Προσαγέσθω δὲ ἐν 7
ἀέρι θερμῷ πάντως τὰ τοιαῦτα βοηθήματα, χωρὶς αὔρας ἐν ἡλίῳ·
10 χειμῶνος δὲ ὄντος ἐν λουτρῷ. Τῶν δὲ ἁρμοττόντων φαρμάκων ταῖς 8
τοιαύταις διαθέσεσι, θερμότατόν ἐστι τὸ εὐφόρβιον, καὶ μετὰ αὐτὸ θαψία καὶ νᾶπυ καὶ κάρδαμον· κατὰ ἕτερον δὲ τρόπον οὐδενὸς ἔλαττον ἢ λιμνῆστις ἡ καὶ τὸ ἀδάρκιον καὶ τὸ βερενίκειον, ἀμφότεροί τε οἱ ἐλλέβοροι, καὶ τὸ τοῦ εὐζώμου σπέρμα καὶ τὸ δάφνινον ἔλαιον,
15 ἀλκυόνιά τε ἀμφότερα κεκαυμένα, καὶ αἱ ῥίζαι τοῦ καλάμου καὶ ὁ

après quoi, observez la peau avec attention : si, après une courte friction, la partie devient rouge, sachez que l'affection se guérira facilement; mais, si cette rougeur ne se produit qu'après l'usage d'un médicament, voyez si ce n'est pas quelquefois la trop grande véhémence de ce médicament qui a augmenté la chaleur de la peau; ce qui nous est indiqué clairement par l'apparence de la peau, qui paraît plus jaune; il y a danger, en effet, que l'usage réitéré de ce médicament ne brûle la peau; il faut donc ou le remplacer par un autre plus doux, ou, si l'on se sert du même, en affaiblir la force par un mélange de cérat ou de graisse. Tous ces remèdes 7
doivent être employés au soleil, quand l'air est chaud et calme; pendant l'hiver, dans le bain. Des divers remèdes appropriés à ces affections, le 8
plus chaud est l'euphorbe, puis la thapsie, la graine de moutarde et le cresson d'Alep; sous un autre rapport, l'*adarcé* ne le cède à aucun médicament; ensuite vient la soude brute de Bérénice, l'un et l'autre ellébores, la semence de la roquette, l'huile aux baies de laurier, l'un et l'autre alcyonium réduits en cendres, la racine et l'écorce de roseau

13. ἢ καὶ] εἶτα Codd.; *aut* LL. — 16. βερνικόν Codd.; *bernicarion* LL.

φλοιὸς καυθέντα, καὶ πίτυα δὲ καὶ κεδρία, ἥ τε τῶν μυῶν κόπρος, καὶ χήνειον στέαρ, τά τε πικρὰ τῶν ἀμυγδάλων ὅλα καυθέντα.
9 Τούτων τοῖς μὲν ἰσχυροῖς, ὑγρὰν κηρωτὴν μιγνύειν, τὰ δὲ ἀσθενέστερα δεύειν ἐλαίῳ δαφνίνῳ ἢ ὑγρᾷ πίσσᾳ· καὶ τὰς μὲν χρονίας καὶ δυσιάτους τοῖς ἰσχυροῖς θεραπεύειν, τὰς δὲ ἀρχομένας καὶ εὐϊάτους, τοῖς ἀσθενεστέροις.

ς'. Περὶ ῥεουσῶν τριχῶν.

1 Ῥύσις γίνεται τριχῶν, ἀραιωθέντος τε τοῦ δέρματος καὶ τῆς τρε-
2 φούσης αὐτὰς αἰτίας οὐκ ἐπιῤῥεούσης. Σκοπὸς οὖν ἐστὶ τῆς ἰάσεως ἐπισπάσασθαι μὲν αἷμα, πυκνοῦν δὲ ἠρέμα καὶ σφίγγειν τὸ κεχαυνωμένον δέρμα διά τινων φαρμάκων· τοιαῦτα δὲ ἐστὶ τό τε λάδανον καὶ τὸ σχίνινον ἔλαιον αὐτοφυῶς· ἑλκτικῆς γάρ ἐστιν ἄμφω καὶ συνακτικῆς δυνάμεως, ὥστε ἐπινοῆσαι δυνατὸν [οὐκ] ἐστὶν ἄμεινον φάρμακον πρὸς ῥεούσας τρίχας τοῦ μιχθέντος ἔκ τε τοῦ λαδάνου

odorant brûlées, la poix, la résine de cèdre, les crottes de rat, la graisse
9 d'oie et les amandes amères brûlées entièrement. Mêlez aux substances les plus fortes du cérat liquide, aux plus faibles de l'huile aux baies de laurier ou de la poix liquide; traitez par les remèdes puissants les affections invétérées et d'une guérison difficile, par les remèdes plus faibles celles qui commencent et sont facilement guérissables.

6. DE LA CHUTE DES CHEVEUX.

1 Les cheveux tombent quand la peau est raréfiée et que le suc nourricier
2 ne parvient pas jusqu'à eux. Le but du traitement doit, en conséquence, consister à dériver le sang, à resserrer peu à peu la peau relâchée et à la raffermir par certains médicaments, tels que le *ladanum* et l'huile qui coule naturellement du lentisque, lesquels suffisent par eux-mêmes; l'un et l'autre médicaments, en effet, ont une vertu attractive et resserrante telle, qu'il ne paraît pas que l'on puisse imaginer des remèdes plus puissants contre la chute des cheveux que celui qui se compose de *ladanum*

CH. 6; l. 12. [*οὐκ*] om. Codd.; *ἀνεπιτήδειον* Gal.; *utilis* Verss. antiq.

καὶ τοῦ σχινίνου ἐλαίου. Δῆλον δὲ ὅτι ξυραμένοις μὲν, παχύτερον 3
χρὴ προσφέρειν τὸ φάρμακον, ἐν χρῷ δὲ κειραμένοις, ὑγρότερον.
Πολλῆς δὲ οὔσης τῆς ῥύσεως καὶ ἀραιότητος ὑποπτευομένης μείζο- 4
νος χρησίμως μιχθείη ἂν ἀντὶ τοῦ σχινίνου τῷ λαδάνῳ τὸ μύρσινον
5 ἔλαιον· μιχθείη δὲ ἂν δεόντως ποτὲ καὶ τὸ νάρδινον μύρον ἐπὶ ψυ-
χρᾶς ἡλικίας καὶ ὥρας χειμερινῆς. Πρὸ δὲ τῆς τοῦ φαρμάκου χρή- 5
σεως, ἀνάτριψις παραλαμβανέσθω τῆς κεφαλῆς. Συμβαίνει δὲ ἡ 6
ῥύσις τῶν τριχῶν, πλεονάκις μὲν τοῖς νοσοῦσι· καὶ χρεία διαίτης
τούτοις ἀναληπτικοῖς, ὡς χωρὶς φαρμάκων τοὺς πολλοὺς ὑγιάζεσθαι
10 τελείως. Ἔστι δὲ ὅτε καὶ χωρὶς νόσου ῥυΐσκονται, ἐπὶ ὧν τοῖς εἰρη- 7
μένοις χρησόμεθα· [ἢ] ἀκτὴν καύσας μετὰ κηρωτῆς μίξον καὶ χρῶ·
τοῦτο αὔξει καὶ πυκνὴν ποιεῖ τὴν τρίχα, ὥστε μὴ ῥεῖν· [ἢ] μελαν-
θίον καύσας καὶ μετὰ ὕδατος τρίψας, κατάπλαττε· ἔνθα δὲ ἂν
βουληθῇ μάλιστα ἀναφυῆναι τρίχας, μάλιστα δὲ ἐπὶ ὀφρύων. Ἐκ 8

et d'huile de lentisque. Il est évident que, si les cheveux sont rasés, il 3
faut appliquer un médicament plus épais que s'ils sont simplement tondus près de la peau. Quand la chute des cheveux est considérable et 4
qu'on soupçonne une grande raréfaction de la peau, on substituera utilement au lentisque l'huile de myrte associée au ladanum; on ajoutera aussi quelquefois avec profit, par exemple dans un âge où le tempérament est froid et en temps d'hiver, l'onguent de nard. On prendra la 5
précaution de frictionner la tête avant d'employer le médicament. Souvent les cheveux tombent pendant le cours d'une maladie; on doit alors 6
suivre un régime réconfortant, ce qui a suffi pour guérir plusieurs malades sans l'usage des topiques. Il arrive également que les cheveux 7
tombent en l'absence de toute maladie; dans ce cas nous faisons usage des médicaments déjà indiqués; ou bien, brûlez du sureau, mêlez-le avec du cérat et faites-en usage; ce remède augmente et épaissit la chevelure, de façon qu'elle ne tombe plus désormais; ou encore brûlez de la nielle, broyez-la avec de l'eau et oignez-en l'endroit où vous voudrez faire naître des poils, principalement aux sourcils et aux paupières. Si 8

8. *νοσοῦσι*] *ex egritudine et ex usodetis* Verss. antiq. — 11. [ἢ] *aut* Verss. antiq.; om. Codd. — 12. [ἢ] om. Codd. et Verss. antiq.

πυρικαύτου τρίχας ἀναφυῆναι συκῆς φύλλα λειοτριβηθέντα καὶ καταπλασθέντα ποιεῖ.

ζ'. Περὶ τῶν φθειρόντων τὰς τρίχας [καὶ τῶν ποιούντων] καλλίτριχας.

1 Τρεῖς εἰσι τῶν φθειρόντων τὰς τρίχας διαφοραὶ, τὰ ψίλωθρα, τὰ λεπτύνοντα, τὰ παντελῶς ἀφανίζοντα· ἀλλὰ ταῦτα μὲν ἐπισφαλερὰν τὴν χρῆσιν ἔχει· πολλάκις γὰρ οὐ μόνον τὰ χρισθέντα μόρια ψιλοῖ καὶ ἄτριχα τοῦ λοιποῦ ποιεῖ, σὺν αὐτοῖς δὲ καὶ πᾶν τὸ σῶμα ψιλοῦται καὶ διαμένει τοιοῦτον· τἄλλα δὲ ἀμφότερα τὴν 2 χρῆσιν παρέχει ἀσφαλῶς. Τῶν μὲν οὖν ψιλούντων ἀσφαλῶς ἥ τε κονία σλακτὴ χρήσιμος· καὶ ἀρσενικὸν καὶ σανδαράκη καὶ τίτανος ἄσβεσλος, τῶν σφοδρῶν δηλονότι θραυομένων τῇ τῶν ἀσθενεσλέ- 3 ρων μίξει. Τὰ δὲ λεπτύνοντα τὰς τρίχας ῥυπλικὰ κατὰ δύναμιν ἐσλὶν, ὧν μετρία μὲν καὶ κυάμων καὶ ὀρόβων ἄλευρον, ἀφρόλιτρόν

les cheveux tombent par suite de brûlures, les feuilles de figuier broyées et appliquées en cataplasme seront d'un grand secours pour leur reproduction.

7. DES CHOSES QUI ALTÈRENT LES CHEVEUX OU QUI LES RENDENT BEAUX.

1 Il y a trois choses qui altèrent les cheveux : les épilatoires, les atténuants, et enfin ce qui les fait entièrement disparaître; l'usage du premier de ces moyens est très-dangereux, parce que souvent il en résulte que non-seulement les parties ointes sont dépouillées et restent glabres pour toujours, mais aussi que le corps entier est dénudé de poils et demeure dans cet état; l'usage des deux autres moyens est exempt d'in- 2 convénients. Parmi les substances qui rendent sans danger les parties glabres, on recommande la lessive qui filtre à travers les cendres, l'orpiment, la sandaraque et la chaux vive; on mêle à ce qui agit le 3 plus fortement quelque substance plus faible. Les médicaments qui atténuent les poils ont une vertu abstergente : l'orge, les fèves, la farine d'ers, l'écume de soude, la soude brute, n'ont qu'une vertu moyenne;

CH. 7; l. 9. κονία σλακτή] *lisciva* (*lexiva* La) *a saponariis* Verss. antiq.

τε καὶ λίτρον· ἰσχυρὰ δὲ τὰς μεγάλας καὶ σκληρὰς τρίχας λεπτύνοντα, κεκαυμένον τὸ λίτρον καὶ τῶν κεραμίδων καὶ τοῦ κριθάνου τὰ ὄστρακα, καὶ κίσσηρις ἄκαυστος καὶ κεκαυμένη, κηρύκων τε καὶ πορφύρων καὶ τῶν ἄλλων ὀστρέων κεκαυμένα τὰ ὄστρακα·
5 τὸ δὲ τῆς σηπίας, καὶ ἄκαυστον· ἀλκυόνιά τε καὶ ἐλλέβοροι, καὶ ἡ τῆς βρυονίας ῥίζα. Βουλόμενος δὲ αὐτὰ ποιεῖν εὐώδη, 4
μίξεις κυπέρου καὶ μελιλώτου καὶ ῥόδων ξηρῶν καὶ ἀμώμου καὶ σχοίνου ἄνθους. — Κνίδης ἀγρίας τὸν καρπὸν τρίψας, ἐλαίῳ ἀνά- 5
τριβε, καὶ ἀπορρυήσονται αἱ τρίχες. — Μέλιτι ἀπέφθῳ δρωπάκιζε 6
10 ὃν ἂν βούλῃ τόπον, καὶ οὐκέτι φυήσονται.—Ψίλωθρον· Λειοποιήσας 7
ἀσβέστου μέρη β', ἀρσενικοῦ μέρος α'· ταῦτα βαλὼν εἰς θυΐαν μολυβδίνην καὶ ὕδωρ ἐπιχέας [ἢ] πτισάνης χυλὸν, τρίβε· καὶ ὅταν μέλαν γένηται, θερμήνας κατάχριε. — Ὄρυζαν, κυάμους, βρεχθέντας, 8
πτισάνην ἕψε ἐν ὕδατι καὶ τούτῳ χρησάμενος ἀντὶ ὕδατος· καὶ
15 μίξας ἀρσενικὸν καὶ ἄσβεστον, ἕψε τὸ ψίλωθρον κατὰ συνήθειαν·

les substances énergiques qui atténuent les poils longs et durs sont la soude brute calcinée, les têts des vases de terre et des fourneaux, la pierre ponce non brûlée ou brûlée, les têts brûlés des buccins, des pourpres et autres coquillages, la sèche non brûlée, l'alcyon, les deux ellébores, enfin la racine de bryone. Si l'on veut rendre ces substances 4
odorantes, on ajoutera du souchet, du mélilot, des roses sèches, de l'*amome* et des fleurs du jonc odorant. — Pilez la graine de l'ortie sau- 5
vage, ajoutez de l'huile, frictionnez, et les poils tomberont. — Oignez 6
fortement avec du miel cru quelque partie que vous voudrez, et les poils ne repousseront plus. — *Épilatoire :* Pulvérisez deux parties de chaux 7
vive, une partie d'orpiment; jetez dans un mortier en plomb et pilez après y avoir versé de l'eau ou de la crème d'orge; lorsque le mélange aura noirci, faites chauffer et oignez. — *Autre :* Faites cuire dans l'eau du 8
riz ou des fèves détrempées, ou de l'orge, et usez de cette décoction au lieu d'eau; puis mêlez-y de l'orpiment, de la chaux vive, et faites cuire l'épilatoire de la manière accoutumée; ensuite ajoutez une

2-3. κριθάνου ex emend.; κλιβάνου Gal.; *clibano* Verss. antiq.; κρινίου Codd. — 8. Κνίδους Codd. — 12. [ἢ] Gal. Verss. antiq.; om. Codd.

καὶ μετὰ ταῦτα μιγνύεις σμύρνης γο' μίαν, μαστίχης γο' μίαν, κισσήρεως ὠμῆς γο' ἥμισυ.

η'. Ὥστε πολιὰς μὴ γενέσθαι.

1 Λαβὼν κολοκύνθην ἀγρίαν, τρύπησον καὶ κάθαρον τὰ ἔσω [εὖ]-μάλα, εἶτα πληρώσας αὐτὴν ἐλαίου δαφνίνου καὶ πρόβαλλε ὑοσκύα-μον [καὶ] ἀρσενικὸν, μὴ τρίψας, ἄφες ἡμέραν μίαν, καὶ ἄλειφε χρη- 5
2 σίμως ἅπαξ τοῦ ἐνιαυτοῦ. — Ἐπὶ παιδίων ποιεῖ καλὰς καὶ πυκνὰς τὰς τρίχας, καρύου λέπυρον καὲν καὶ τριβὲν οἴνῳ καταχριόμενον. —
3 Λωτοῦ τοῦ δένδρου τὰ φύλλα, ἀπόπατος καμήλου καεὶς, [καὶ καλῶς]
4 σὺν ἐλαίῳ χρησθείς. — Ξανθὰς ποιεῖ τὰς τρίχας θέρμων λέπη ἀποβραχέντα σὺν νίτρῳ ἡμέρας ι' καὶ μετὰ ταῦτα σμώμενα· λωτοῦ 10
5 τοῦ δένδρου πρισμάτων ἀφέψημα. — Μελαίνας δὲ ποιεῖ, σμώμενα κηκίδος ἀπόβρεγμα, καὶ χαλκάνθου καὶ σιδίων· λάδανον μετὰ μυρ-

once de myrrhe, une once de mastix, une demi-once de pierre ponce crue.

8. CONTRE LA CANITIE.

1 Pour empêcher le développement de la canitie, prenez une courge sauvage; après l'avoir percée et en avoir soigneusement vidé l'intérieur, remplissez-la d'huile aux baies de laurier, en ajoutant de la jusquiame et de l'orpiment sans les piler; laissez reposer pendant un jour; oignez une
2 fois l'an; cela réussira. — Pour rendre, chez les enfants, les cheveux beaux et épais, pratiquez des onctions avec l'écorce du noyer brûlée et
3 pilée dans du vin. — *Autres :* Feuilles de l'arbre appelé *lotus;* excréments de chameau brûlés, délayés dans l'huile et appliqués convenablement
4 en onctions. — Pour rendre les cheveux couleur d'or, faites macérer pendant dix jours des écorces de lupins avec du *natron* et frottez-en les cheveux; la décoction de raclures de l'arbre appelé *lotus* a une vertu
5 semblable. — Pour rendre les cheveux noirs, frottez soit avec une macération de noix de galle, de vitriol bleu ou d'écorce de grenadier; soit

CH. 8; l. 3. [εὖ]μαλα Gal.; μάλα Codd. — 5. ἀρσεν. om. Gal. Aët. II, II, 58; habent Verss. antiq.; καί addidi ex emend. — 8. καμήλου κακόν..... χρησθεὶς V; καμ. κακόσι..... χρησθείς M; καμ. καεῖσα σὺν ἐλαίῳ καὶ καταπλασθεῖσα καλῶς Diosc.; *camili stercus hustum et cum oleo inlitus* Verss. antiq. — 10. σὺν νίτρῳ ἡμέρας ι'] *in oleo, diebus octo aut (et* Li) *decem* Verss. antiq.

σινίνου ἀλείμματος. — Βράδιον ϖολιοῖ, ἔλαιον τὸ ἐξ ἀγρίας 6
ἐλαίας κατὰ ἡμέραν ἀλειφόμενον, μᾶλλον δὲ εἰ μυρσίνην τις αὐτῷ
ἐναποβρέξει. — Βράδιον δὲ αὔξεσθαι ϖοιεῖ τὰς ἐπὶ τῶν ἀνή- 7
θων τρίχας καταχριόμενον, ἀμπέλου δάκρυον σὺν ἐλαίῳ, καὶ τὸ
5 ἀπὸ τοῦ χλωροῦ κλήματος καιομένου ἱδρούμενον ὑγρὸν, κυάμινον
ἄλευρον καταπλασσόμενον.

θ'. Περὶ ϖιτυριάσεως.

Ἡ ϖιτυρίασις ὑπὸ μοχθηρῶν χυμῶν συνίσταται· σκοπὸς οὖν 1
ἐστὶν ἐνδαπανῆσαι τούτους διὰ τῶν ῥυπτόντων καὶ διαφορούντων
φαρμάκων, ϖροκαθαίροντας τὸ σῶμα εἰ μεστὸν εἴη κακοχύμου.
10 Βουλόμενοι δὲ τινὲς ῥωννύναι τὴν κεφαλὴν ἔμιξαν τοῖς εἰρημένοις 2
τῶν στυφόντων τι.

ι'. Πρὸς ϖίτυρα.

Πιτύρων χοίνικος ἥμισυ βρέξας ἐν ὕδατος κοτύλαις β', καὶ μετὰ 1

avec du *ladanum* uni à l'huile aux baies de myrte. — Les onctions faites 6
chaque jour avec l'huile d'olives sauvages rendent la canitie plus tardive;
surtout lorsqu'on y fait macérer du myrte. — La séve de la vigne em- 7
ployée en onction avec de l'huile retarde, chez les impubères, la nais-
sance des poils aux endroits accoutumés; il en est de même de la liqueur
que laissent suinter en brûlant les sarments verts; la farine de fèves em-
ployée en liniment a le même effet.

9. DU PITYRIASIS.

Le pityriasis est produit par des humeurs corrompues; notre but doit 1
donc être de les dissiper au moyen de médicaments abstergents et dis-
sipants, après avoir cependant purgé le corps, si les mauvais sucs y do-
minent. Certains médecins, pour fortifier la tête, ont mêlé quelque 2
chose d'astringent à ces médicaments.

10. CONTRE LE PITYRIASIS.

Faites macérer une demi-chénice de son dans deux cotyles d'eau; après 1

1. ϖολιῷ Diosc.; ϖοιεῖ Codd. — 3-4. ἀνήθων Diosc.; ἐννόμων Codd.

ταῦτα ἐπιτρίψας καὶ διηθήσας τὸν χυλὸν, ἕψησον μετὰ ὄξους ἡμι-
κοτυλίου μέχρις οὗ παχος λάβῃ γλοιοῦ· καὶ τούτῳ τὴν κεφαλὴν
ἀπόσμα, εἶτα κλύζε ἐν ὕδατι σεύτλου ἐνεψομένου ἢ τήλεως ἢ
θέρμων· χρίσματι δὲ ἰρίνου μύρου χρῶ· τούτῳ χρησίμον ὡς ἐπι-
2 τηδειοτέρῳ καὶ δρασικῷ φαρμάκῳ. — Γῆς κιμωλίας, θείου ἀπύ- 5
ρου τὸ ἴσον τρίψας μετὰ ὄξους ἐν βαλανείῳ ἀπόσμα, καὶ θερμῷ
ὕδατι ἀπόπλυνε· τούτῳ καὶ καταχρίειν δεῖ μὴ μόνον ἐν βαλανείῳ
3 χρῆσθαι· πάσας γὰρ ἔχει τὰς δυνάμεις ὧν δεῖται τὸ πάθος. — Λιθαρ-
γύρου, πηγάνου, ἐλαίου, ὄξους κοτύλης τέταρτον τρίψας, τὴν κεφα-
4 λὴν κατάχριε. Δέδωκεν ἡμῖν τοῦτο πεῖραν ἱκανῶς. 10

ια'. Περὶ φθειριάσεως.

1 Τίκτεται πολλάκις ἐν τῇ κεφαλῇ φθειρῶν πλῆθος ἀθρόως, ἐν τῷ
βάθει τοῦ δέρματος περιτίων ὑγρῶν καὶ μετρίως θερμῶν συσίάν-
των· δεῖ τοίνυν προσάγειν ξηραίνοντα φάρμακα καὶ κενοῦν καὶ

avoir remué et filtré le mélange, vous ferez bouillir cette liqueur avec un demi-cotyle de vinaigre jusqu'à ce qu'il prenne une consistance visqueuse, et vous détergerez la tête avec ce mélange; puis vous ferez des ablutions avec une eau dans laquelle auront cuit de la bette ou du fenugrec, ou des lupins; pour les onctions, servez-vous de l'huile à l'iris comme du médicament le plus convenable et le plus efficace. —
2 *Autre :* Broyez avec du vinaigre parties égales de terre de Cimole et de soufre que le feu n'a pas touché, faites des détersions dans le bain et lavez à grande eau chaude; vous pourrez faire usage de ce moyen non-seulement dans le bain, mais partout ailleurs, puisqu'il possède toutes
3 les vertus nécessaires pour combattre l'affection. — *Autre :* Broyez dans la quatrième partie d'un cotyle de vinaigre de la litharge, de la rue, de
4 l'huile, et oignez-en la tête. Ce remède nous a donné un résultat satisfaisant.

11. DE LA MALADIE PÉDICULAIRE.

1 Souvent une grande quantité de pous s'engendrent sur la tête, lorsque des humeurs superflues et d'une chaleur modérée s'y amassent dans la

2. γλοιοῦ Gal.; οἴνου Codd.; vini Verss. τούτῳ Gal. *Syn.* VIII, 26; οὕτω Codd. antiq. (Voy. *Synopsis*, VIII, 26.) — Ib. — 8. χρᾶσθαι M.

ἕλκειν πεφυκότα. Κεδρία φθεῖρας καὶ κονίδας ἀναιρεῖ· καὶ κισσοῦ τὸ δάκρυον ὁμοίως. Σταφίδος ἀγρίας μέρη ϛ', σανδαράκης καὶ νίτρου ἀνὰ μέρος ἓν σὺν ὄξει καὶ ἐλαίῳ, ἄλειφε τὴν κεφαλήν· ἢ ὀξυλαπάθου ῥίζης σὺν ἐλαίῳ ὁμοίως· ἢ ἐλλέβορον λευκὸν καὶ σταφίδα ἀγρίαν καὶ νίτρον, ἴσα· ἐν βαλανείῳ μετὰ ἐλαίου χρῶ· ἢ [ἐν] θαλάττῃ ἢ [ἐν] ἅλμῃ ἀκράτῳ μετὰ ὄξους κατάντλει.

ιϛ'. Περὶ ἀχώρων καὶ κηρίων.

Ὁ καλούμενος ἀχὼρ ἐν τῷ τῆς κεφαλῆς συνίσταται δέρματι λεπτὰς πάνυ κατατρήσεις ἔχων διὰ ὧν ἀποῤῥεῖ λεπτὸς ἰχὼρ γλίσχρος μετρίως. Ὅμοιον δὲ ἐστὶν αὐτῷ πάθος καὶ τὸ καλούμενον κηρίον τὰς κατατρήσεις μείζονας ἔχον ὑγρὸν περιεχούσας μελιτῶδες. Σκοπός ἐστιν οὖν κενῶσαι τοὺς ποιοῦντας τὸ πάθος χυμοὺς, ἐπιῤῥέοντας δὲ αὐτοὺς ἔτι δὲ κωλῦσαι, κενοῦντας τὴν κεφαλὴν καὶ πρὸς ταύτης τὸ πᾶν σῶμα, ὡς ἐπὶ τῶν ἀλωπεκιῶν εἴρηται. Μικρᾶς δὲ οὔσης τῆς

profondeur de la peau; il faut donc avoir recours aux médicaments desséchants et qui ont la propriété d'attirer et d'évacuer. La résine de cèdre tue les pous et les lentes; les pleurs du lierre ont la même vertu. Prenez deux parties de staphisaigre, une de réalgar et de soude brute, avec du vinaigre et de l'huile, et oignez-en la tête; ou des racines de patience, ou de l'ellébore blanc, ou de la staphisaigre, parties égales; servez-vous-en dans le bain, ou bien lavez la tête avec l'eau de mer ou avec la saumure pure et du vinaigre.

12. DES ACHORES ET DU FAVUS.

La maladie appelée *achore* occupe la peau de la tête; elle est percée de petites ouvertures par lesquelles s'écoule un pus ténu et modérément visqueux. L'affection dite *favus* est semblable à celle-ci; il y a cependant des ouvertures plus grandes d'où sort une humeur semblable à du miel. L'indication thérapeutique doit donc être d'évacuer les humeurs qui produisent le mal et d'arrêter la marche des humeurs qui se dirigent encore vers la tête en purgeant cette partie et tout le corps, comme nous l'avons dit dans le chapitre *Sur l'alopécie* (ch. 5). Comme c'est une affec-

5 et 6. [ἐν] Gal.; om. Codd.

διαθέσεως ἤρκεσε πολλάκις τὰ τοπικὰ βοηθήματα· τοιαῦτα δὲ ἐστὶ
5 τὰ τέμνοντα καὶ διαφοροῦντα τὸ πάχος τοῦ χυμοῦ. Ἔνια δὲ τῶν
φαρμάκων ἰᾶται τοὺς ἀρχομένους ἀχῶρας, ὅταν ἀπέριτον ᾖ τὸ
σῶμα, σλυπτικὴν [ἔχοντα δύναμιν]· εἰσὶ δὲ τοιαῦτα μυρσίνη, καὶ
6 ὁ τῆς πίτυος φλοιός. Τινὰ δὲ τοῖς ἐπιπολαίοις καὶ μετρίοις βοη- 5
θεῖ, διαφοροῦντα μὲν καὶ ῥύπτοντα, χωρὶς αἰσθητῆς θερμασίας,
οὐ μὴν ἐρεθιστικὸν ἔχοντά τι· τοιοῦτον δὲ ἐστὶ τὸ τεῦτλον καὶ ἡ
7 κεκαυμένη κιμωλία. Τινὰ δὲ οὕτω σφοδρὰ τὴν δύναμιν ἐστὶν, ὡς
δύνασθαι κενοῦν τοὺς παχεῖς πάνυ καὶ γλίσχρους χυμοὺς, αἰτίους
γενομένους ἀχώρων, κἂν ἤδη σκιῤῥώδεις ὦσι, διαλύειν αὐτάς· 10
8 τοιαῦτα δὲ ἐστὶ χαλκίτης καὶ τρὺξ οἴνου καὶ τίτανος ἄσβεστος. Τὸ
δὲ ὄξος χρησιμώτατόν ἐστιν ἐν παντὶ καιρῷ πρὸς ἀχῶρας, τέμνον
καὶ διαφοροῦν καὶ ἀποκρουόμενον· δεῖ δὲ ἀκριβῶς ὀξὺ τυγχάνειν,
αὐτὸ καὶ μηδὲ ἡντινοῦν ἔχειν οἴνου ποιότητα· τούτῳ γὰρ ἀνα-
9 μιγνὺς ἄλλοτε τῶν μεταλλικῶν ἐξιάσῃ τοὺς ἀχῶρας. Ἄρχεσθαι δὲ 15
προσῆκεν ἀπὸ ἀσθενεστέρων, καὶ μάλιστα ὅταν σὺν ὀδύνῃ τυγχάνω-

tion légère, les remèdes extérieurs suffisent ordinairement; ces remèdes
5 sont ceux qui divisent et dissipent la partie épaisse de l'humeur. Quelques-uns de ces remèdes, doués d'une vertu styptique, guérissent les achores au début, lorsqu'il n'y a aucune superfluité dans le corps; ce
6 sont le myrte et l'écorce de pins. Quelques autres guérissent les affections superficielles et peu graves, en dissipant et en abstergeant sans produire une chaleur sensible et sans posséder aucune vertu irritante;
7 tels sont la bette et la terre de Cimole brûlée. D'autres médicaments ont une énergie si grande, qu'ils peuvent évacuer les humeurs épaisses et glutineuses qui produisent les achores et les dissoudre, quoiqu'ils soient déjà durcis; de ce genre sont le cuivre pyriteux, la lie de vin et
8 la chaux vive. En toute circonstance, le vinaigre est très-utile contre les achores par sa vertu incisive, digestive et dissipante; mais il doit être complétement aigre et ne conserver aucune des qualités du vin; vous guérirez les achores en ajoutant au vinaigre quelque substance métal-
9 lique. Toutefois il convient de commencer par les plus faibles, surtout

4. [ἔχοντα δύναμιν] Gal.; om. Codd.; *quæ sunt stiptica virtute* Verss. antiq.

σιν. Εἰς τοῦτο γοῦν χρήσιμος Κρητικὴ καὶ Σαμία γῆ, πομφόλυξ τε 10
καὶ σπόδιον καὶ λιθάργυρος. Μηδὲν δὲ ἀνυώντων τούτων, τὸ διὰ χάρ- 11
του ξηρὸν ἐπίχριε δεύσας ὄξει· μὴ παρόντος δὲ τοῦ διὰ χάρτου
κατὰ αὐτὸν χάρτην καύσας καὶ δεύσας ὄξει, χρήσῃ δεόντως ἐπὶ
5 τῶν σκληροσάρκων. Ὅταν δὲ φλεγμονώδης ᾖ ἀχὼρ ἢ μετὰ ὀδύνης, 12
δῆλον ὡς παρηγορήσεις αὐτὸν πρότερον πεπτικῷ καὶ μαλατικῷ
καὶ ὑγρῷ φαρμάκῳ καὶ ἀδήκτῳ, οἷα τὰ ἑδρασικά ἐστιν.

ιγ'. [Πρὸς τὰς τῶν ὀφθαλμῶν ταράξεις.]

Τὰς τῶν ὀφθαλμῶν ταράξεις ὑπό τε καπνοῦ γινομένας καὶ ἐγκαύ- 1
σεως, ἢ κόνεως, ἢ ἀτενὲς ἐνιδόντων αὐγὴν, παύσεις ῥᾳδίως ἐκσιὰς
10 μὲν τοῦ καπνοῦ, καὶ τὴν κεφαλὴν σκέπων, ὡς μὴ καθικνοῖτο ὁ ἥλιος,
καὶ εἰς σκιὰν πορευόμενος. Ἀπονίπτων δὲ τῶν ὄψεων, τὴν κόνιν 2
πρότερον μὲν χλιαρῷ ὕδατι θερμῷ καὶ γλυκεῖ, ψυχρῷ δὲ ὕστερον,
καὶ τὴν αὐγὴν ἀποστρεφόμενος, καὶ ἐπιμύων τοῖς ὀφθαλμοῖς· ἐπὶ

quand il y a douleur. On emploiera utilement pour cela la terre de Crète, 10
celle de Samos, les fleurs de zinc et la litharge. Si ces substances ne 11
